ΒΙΒΛΙΟΘΗΚΗ
ΕΛΛΗΝΩΝ
ΠΑΤΕΡΩΝ

ΕΥΣΕΒΙΟΣ
ΚΑΙΣΑΡΕΙΑΣ
ΜΕΡΟΣ [illegible]

23

Printed in Greece
Athens 1960

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΕΙΚΟΣΤΟΣ ΤΡΙΤΟΣ

ΕΥΣΕΒΙΟΣ ΚΑΙΣΑΡΕΙΑΣ

(ΜΕΡΟΣ Ε΄)

ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΑΘΗΝΑΙ 1960

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΕΥΣΕΒΙΟΣ ΚΑΙΣΑΡΕΙΑΣ

Σελ.

ΚΕΙΜΕΝΑ
- Ἀποσπάσματα εἰς τὰς Παροιμίας 11
- Ὑπομνήματα εἰς Ἡσαΐαν 12
- Ἀποσπάσματα εἰς τὸν Δανιὴλ 155
- Εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον 257
- Περὶ τῶν ἐν Εὐαγγελίοις ζητημάτων καὶ λύσεων πρὸς Στέφανον . 299
- Περὶ τῶν ἐν Εὐαγγελίοις ζητημάτων καὶ λύσεων πρὸς Μαρῖνον . 328
- Ἐρωτήσεις εἰς τὰς Εὐαγγελικὰς περικοπὰς 338
- Ἐρωτήσεις εἰς τὸν Μαρῖνον 347
- Συμπληρωματικὰ ἐρωτήσεων εἰς Μαρῖνον 360

ΠΙΝΑΞ ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ 365

ΠΙΝΑΞ ΘΕΜΑΤΩΝ ΟΝΟΜΑΤΩΝ ΠΡΑΓΜΑΤΩΝ 377

ΕΥΣΕΒΙΟΣ ΚΑΙΣΑΡΕΙΑΣ

ΕΥΣΕΒΙΟΥ ΑΠΟΣΠΑΣΜΑΤΑ*

ΕΙΣ ΤΑΣ ΠΑΡΟΙΜΙΑΣ

ΚΕΦ. Α'.

Στίχ. ιγ'. «Πλήσωμεν δὲ οἴκους ἡμετέρους σκύλων».

Εὐσεβίου. Σκυλεύουσιν οὓς νικῶσιν οἱ δαίμονες, λαμβάνοντες ἀπ' αὐτῶν τὴν τοῦ Θεοῦ πανοπλίαν, ἤγουν τὴν περικεφαλαίαν καὶ θώρακα καὶ τὴν μάχαιραν τοῦ πνεύματος· οἶκοι δὲ αὐτῶν αἱ τῶν κακούργων ἐκκλησίαι, ἃς καὶ ἐμπλῆσαι βούλωνται σκύλων, ἤτοι καρπῶν ὧν ἐκ τῶν δικαίων ἁρπάζουσι· πῶς δὲ καὶ σκῦλα προσαγορεύεις τὰ μὴ πολέμου νόμῳ ληφθέντα, ἀλλ' ἐκ γυμνῆς τῆς ἀδικίας κακῶς σοι περιγενόμενα;

Στίχ. θ'. «Καὶ κλοιὸν χρύσεον περὶ τῷ τραχήλῳ.»

Εὐσεβίου. Ὥσπερ δὲ κεφαλὴ καὶ τράχηλος τὸν νοῦν δηλοῦσιν, οὕτω καὶ κλοιὸς καὶ στέφανος τὴν γνῶσιν.

---

* Κατὰ τὴν ἔκδοσιν τῆς Πατρολογίας τοῦ Migne.

ΕΥΣΕΒΙΟΥ ΥΠΟΜΝΗΜΑΤΑ*

ΕΙΣ ΗΣΑ·Ι·ΑΝ

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Στίχ. α΄, β΄. «Ὅρασις ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμώς, ἣν εἶδεν κατὰ τῆς Ἰουδαίας καὶ κατὰ Ἱερουσαλὴμ ἐν βασιλείᾳ Ὀζίου, καὶ Ἰωαθάμ, καὶ Ἀχάζ, καὶ Ἐζεκίου, οἳ ἐβασίλευσαν τῆς Ἰουδαίας. Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν. Υἱοὺς ἐγέννησα καὶ ὕψωσα· αὐτοὶ δέ με ἠθέτησαν.»

Σύνθετος ὁ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος· ἡ σὰρξ ἀπὸ τῆς γῆς, ἡ ψυχὴ οὐρανία. Ἐπεὶ οὖν πρὸς ἀμφότερα αὐτῶν ἡ συγγένειά ἐστιν, ἐπὶ τῶν οἰκειοτάτων αὐτοῦ τὴν μαρτυρίαν ἐλέγχει· «Υἱοὺς ἐγέννησα καὶ ὕψωσα.» Γεννήσεως εἴδη δύο· ἡ μὲν ἡ κατὰ Θεὸν μόρφωσις, ἐξ ἔργων καὶ παραδοχῆς δογμάτων ἐπιτελουμένη· ὡς γεννᾷ Παῦλος δι' Εὐαγγελίου τοὺς μαθητὰς αὐτοῦ.

Στίχ. γ΄. «Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν.»

Βοῦς μὲν καὶ ὄνος, φυσικῇ φαντασίᾳ τοὺς τρέφοντας ἐπιγινώσκουσιν· οἱ δὲ τοσαύτης ἀξιωθέντες παρὰ τοῦ Θεοῦ προνοίας, ὡς μὴ μόνον λογικοὺς καταστῆναι, ἀλλὰ καὶ λαὸν Θεοῦ χρηματίσαι καταξιωθῆναι, υἱῶν τε προσηγορίᾳ τιμηθῆναι, οὐδ' ὁμοίως τοῖς ἀλόγοις θρέμμασι τὸν γεννήσαντα καὶ θρέψαντα, τιμήσαντά τε καὶ ὑψώσαντα αὐτοὺς Κύριον ἔγνωσαν. Οἶμαι δὲ διὰ τούτων προφητικῶς αἰνίττεσθαι, ὡς τὸν Χριστὸν τοῦ Θεοῦ αὐτὸν ὄντα τὸν Κύριον, μόνοις αὐτοῖς ἐξ ἁπάντων τῶν ἐθνῶν ἐπιδημήσαντα κατὰ τὴν ἐνανθρώπησιν, οὐ παραδέξονται, οὐδὲ ἐπιγνώσονται αὐτόν, οὐδὲ νοήσουσιν, ἀλλ' οὐδὲ συνήσουσι.

Στίχ. δ΄. «Οὐαὶ ἔθνος ἁμαρτωλόν, λαὸς πλήρης ἁμαρτίας, σπέρμα πονηρόν, υἱοὶ ἄνομοι. Ἐγκατελίπετε τὸν Κύριον, καὶ παρωργίσατε τὸν ἅγιον τοῦ Ἰσραήλ· ἀπηλλοτριώθησαν εἰς τὰ ὀπίσω.»

Διὰ ταῦτα γοῦν ἀπελέγχει τὸ Ἰουδαίων ἔθνος, καὶ ταλανίζει αὐτοὺς τὸ Πνεῦμα τὸ ἅγιον, ὡς πάντων τῶν ἐθνῶν χείρους, καὶ ὡς τὸ μηδὲν ὠφεληθέντας, μήτε ἐκ τῆς υἱοθεσίας, μήτε ἐξ ἧς παρὰ Θεοῦ τιμῆς ἠξιώθησαν· ὑψωθέντες καὶ πλείστων ὅσων ἐξαιρέτων παρὰ αὐτοῦ τετυχηκότες· ἀλλ' οὐδὲ ἐξ ὧν πολλάκις ἐπλήγησαν δι' ὑπερβολὴν ἀγάπης Θεοῦ τυπτόμενοι καὶ κολαζόμενοι, τῶν ἀσεβημάτων αὐτῶν ἕνεκεν· «Ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱόν,

---

* Κατὰ τὴν ἔκδοσιν τῆς Πατρολογίας τοῦ Migne.

ὃν παραδέχεται.[1]» Τίς δὲ ἦν ὃν ἐγκατέλιπον, ἢ ὁ Χριστός· ὃν διὰ τὸ παρωργικέναι καὶ ἐγκαταλελοιπέναι, τὰ ἑξῆς ἐπιλεγόμενα πεπόνθασιν;

Στίχ. ε', ς'. «Τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν; πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην· ἀπὸ ποδῶν ἕως κεφαλῆν οὐκ ἔστιν ἐν αὐτῷ ὁλοκληρία. Τραῦμα, μώλωψ, πληγὴ φλεγμαίνουσα. Οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδεσμούς.»

Πῶς δὲ καὶ οἷόν τε ἦν ἕτερον αὐτοὺς ὑγείας καὶ σωτηρίας ποιητικὸν εὑρέσθαι φάρμακον ἀρνησαμένους τὸν Κύριον· μηδὲ ἐπεγνωκότας αὐτόν, μηδὲ συνιέντας ἐπιδημήσαντα αὐτοῖς τὸν τῶν ψυχῶν ἰατρόν, τὸν μόνον πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ψυχῶν ὁμοῦ καὶ σωμάτων ἰάσασθαι δυνάμενον.

Στίχ. ζ', η'. «Ἡ γῆ ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτήν· καὶ ἠρήμωται κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων, ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ, ὡς πόλις πολιορκουμένη.»

Εἰς φρουρὰν τῶν ἐν ταῖς ἀμπέλοις καρπῶν αἱ σκηναὶ πήγνυνται. Ὅταν μὲν οὖν εὐθηνῇ τοῖς οἰκείοις καρποῖς ἡ ἄμπελος, σπουδάζεται ἡ σκηνὴ καὶ πάσης ἀξιοῦται ἐπιμελείας· ὥστε ἀπ' αὐτῆς κατοπτεύειν τὸν φύλακα, μήποτε τρυγῶσιν αὐτὴν οἱ παραπορευόμενοι τὴν ὁδόν. Ὅταν δὲ ἄκαρπος ᾖ, ἀμελεῖται ἀναγκαίως τῆς ἀμπέλου τὰ φυλακτήρια. Διὰ τοῦτο τοῦ Ἰσραηλιτικοῦ λαοῦ τὴν ἐγκατάλειψιν ἀπειλεῖ, ὡς μὴ καρποφοροῦντος τὰ ἐπιβάλλοντα. Φοβηθῶμεν οὖν εἶναι ἄκαρποι, μὴ ἐγκαταλειφθῶμεν ὑπὸ τῆς ὀργῆς τοῦ Θεοῦ. Τὸ φυλάσσον ἡμᾶς, τὸ Πνεῦμα τὸ ἅγιόν ἐστιν. Ὅταν μὲν οὖν καρποφορῇ ἡ ψυχὴ ἄξια τῶν αἰωνίων ἀποθηκῶν, παραμένει καὶ φυλάσσει, καὶ πόρρωθεν ἀπείργει τὰς τοῦ μονιοῦ τοῦ ἀγρίου ἐπιβουλάς· ὅταν δὲ σταφυλὴν χολῆς γεωργῇ καὶ βότρυν πικρίας ἐκφέρῃ, ἐγκαταλιμπάνει τὴν ἄκαρπον ψυχήν· καὶ τότε ὑπὸ παντὸς λογισμοῦ θηριώδους καὶ πάσης ἀλόγου ἐπιθυμίας καταπεσεῖται. Πολλαχοῦ δὲ τροπικῶς ἀμπελῶνα τὸν Ἰσραὴλ ὁ λόγος προσαγορεύει· ὡς τό, «Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας·[2]» καί, «Ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ·[3]» καί, «Ἐγὼ δὲ ἐφύτευσά σε ἄμπελον καρποφόρον, πᾶσαν ἀληθινήν.[4]» Εἰ δὲ ὁ Ἰσραὴλ ἀμπελών, σκηνὴ τῆς ἀμπέλου ταύτης ὁ οἶκος τάχα ὁ τοῦ ναοῦ· σκήνωμα γὰρ δόξης ἐλέγετο, καί, σκήνωμα, οὗ κατεσκήνωσεν ἐν ἀνθρώποις.[5]» Ἕως μὲν οὖν ὅτε ἐποίει καρπὸν πολύν, καὶ ἡ σκηνὴ διὰ τὴν τῶν καρπῶν φυλακὴν συνειστήκει· ἐπεὶ δὲ ὁ φυτεύσας αὐτὴν ἔμεινε τοῦ ποιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας, αἷς τὸν Κύριον ἐστεφάνωσαν, καὶ ἐστράφη πᾶσα εἰς πικρίαν· ἐποίησε γὰρ σταφυλὴν χολῆς καὶ βότρυν πικρίας· διὸ καὶ εἰς τὸ βρῶμα ἔδωκαν τῷ Κυρίῳ

---

1. Παρμ. 3, 12. 2. Ψαλμ. 79, 9. 3. Ἡσ. 5, 1. 4. Ἱερ. 2, 21. 5. Ψαλμ. 77, 60.

χολήν· διὰ τοῦτο ἐγκατελείφθη ἡ σκηνὴ τοῦ ἀμπελῶνος. «Ἰδοὺ γάρ», φησίν, «ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος·[1]» τότε ἐπληρώθη ἡ ἀπειλὴ αὕτη· «Ἐγκατελείφθη γὰρ ὡς σκηνὴ ἐν ἀμπελῶνι.» Ἐξ ἐκείνου λοιπὸν καὶ ταῖς νεφέλαις ἐνετείλατο τοῦ μὴ βρέξαι ἐπὶ τὸν ἀμπελῶνα. Διὰ τοῦτο οὐκέτι προφῆται παρ' αὐτοῖς, οὐκέτι οὐρανία χάρις· ἀλλὰ γέγονεν εἰς χέρσον καὶ καταπάτημα, οἵ τε φραγμοὶ τοῦ ναοῦ ἐκείνου καθηρέθησαν, ὁ ὑπερασπισμὸς τῶν ἁγίων δυνάμεων, κἂν τι ἐργάσωνται κατὰ τὸν νόμον, εἰς ἀπώλειάν ἐστι. «Καὶ ὡς ὀπωροφυλάκιον», φησίν, «ἐν σικυηλάτῳ.» Σημαίνει τοίνυν διὰ τούτου τὴν παντελῆ αὐτῶν ἀκαρπίαν· ἕως μὲν γὰρ καρπῶν ἀγαθῶν πεπλήρωται, τὸν φρουροῦντα καὶ φυλάσσοντα ἐκέκτητο· ὃς σκηνὴν πηξάμενος, ἄνωθεν ἀφ' ὑψηλοῦ ἀφορᾷ καὶ περισκοπεῖ, καὶ φυλάττει τὸν ἀμπελῶνα. Εἰ δ' ὁ τούτου καρπὸς ἀφαιρεθῇ, τηνικαῦτα ὁ φύλαξ, ὡς μὴ εἰς μάταιον κάμνῃ, τὴν σκηνὴν ἔρημον ἀπολιπών, ἀναχωρεῖ τῆς φυλακῆς.

Στίχ. θ', ι'. «Καὶ εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν. Ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων· προσέχετε νόμον Θεοῦ, λαὸς Γομόρρας.»

Ἐπειδήπερ ἐπὶ τῇ τῶν πατέρων ἀρετῇ σεμνυνόμενοι, μέγα ἐφρόνουν, ὡς τοῦ Ἀβραὰμ ὄντες σπέρμα καὶ τοῦ Ἰσραὴλ ἀπόγονοι· εἰκότως τὸ μεγάλαυχον αὐτῶν ὁ λόγος ταπεινοῖ, καὶ τὸ μάταιον οἴημα καθαιρεῖ· τοὺς μὲν ἄρχοντας τοῦ διαβοήτου Ἰσραήλ, Σοδόμων ἄρχοντας ὀνομάζων, αὐτὸν δὲ τὸν χρηματίζοντα λαὸν τοῦ Θεοῦ, λαὸν Γομόρρας ἀποκαλῶν, ὡς διὰ τῶν ἴσων ἐπιτηδευμάτων τοῖς πάλαι ἀσεβήσασιν ὁμοιωθέντα· Σοδόμων ἄρχουσι καὶ Γομόρρας λαῷ παραβάλλει αὐτούς, διὰ τὴν μέλλουσαν αὐτοῖς ἐπελεύσεσθαι καταστροφήν· ὡς τοῖς τὰ Σόδομα καὶ Γόμορρα οἰκήσασιν ἀνδράσι πάντων ἀνθρώπων ἀσεβεστάτοις γενέσθαι μνημονευομένοις.

Στίχ. ια', ιβ'. «Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν, λέγει Κύριος; Πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν· καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι, οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι. Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν;»

Πρὸς οὖν τοὺς τὰ δεινότατα κατὰ τοῦ Κυρίου τολμήσαντας, θυσίαις δὲ καὶ σπονδαῖς, καὶ ταῖς ἄλλαις κατὰ τὸν νόμον σωματικαῖς λατρείαις ἱλάσκεσθαι τὸν Θεὸν νομίζοντας, ὁ λόγος ἀποτείνεται φάσκων, «Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν, λέγει Κύριος;» καὶ τὰ ἑξῆς.

Στίχ. ιγ'-ιε'. «Πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε. Ἐὰν φέρητε σεμίδαλιν, μάταιον θυμίαμα, βδέλυγμά μοί ἐστι. Τὰς νουμηνίας ὑμῶν, καὶ τὰ Σάββατα, καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι, νηστείαν καὶ ἀργίαν καὶ τὰς νουμηνίας ὑμῶν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου. Ἐγενήθητέ μοι εἰς πλησμονήν· οὐκέτι ἀνήσω τὰς ἁμαρτίας

1. Ματθ. 23, 38.

ὑμῶν. Ὅταν τὰς χεῖρας ἐκτείνητε πρὸς μέ, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν· αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις.»

Ἀλλ' ὅτι μὴ ἔγνωσαν τὸν Κύριον, καὶ ὅτι μὴ συνῆκαν αὐτόν, ὅτι ἐγκατέλιπον αὐτόν, καὶ παρώξυναν τὸν ἅγιον τοῦ Ἰσραήλ, καὶ πρὸς ἅπασι τούτοις, ὅτι αἱ χεῖρες αὐτῶν γεγόνασιν αἵματος πλήρεις διὰ τῆς κατὰ τοῦ Χριστοῦ μιαιφονίας, ἣν μετὰ μυρίας προφητοκτονίας εἰργάσαντο, καὶ γεγόνασιν αἵματος πλήρεις, πάντα γοῦν διεξελθών, καὶ τὴν τοῦ νόμου λύσιν, καὶ τοῦ ναοῦ τὴν κατάλυσιν, καὶ τὰς παντοδαπὰς τιμωρίας, τὸ εἶδος τῆς ἁμαρτίας ἐδίδαξεν, οὗ χάριν πεπόνθασι· καὶ κατηγορεῖ αὐτῶν, οὐκ εἰδώλων θεραπείαν, οὐδὲ μοιχείαν καὶ πλεονεξίαν, ἀλλὰ μιαιφονίαν. Πάσης γὰρ δυσσεβείας καὶ παρανομίας, χαλεπωτέρα ἡ κατὰ τοῦ Κυρίου μανία· αὐτῶν γάρ ἐστιν ἡ φωνή, «Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.[1]» Τοῦτο τὸ αἷμα, τῆς παλαιᾶς αὐτοὺς ἐστέρησεν εὐκληρίας· τοῦτο τὸ αἷμα μετοίκους τῆς οἰκουμένης ἀπέφηνε.

Στίχ. ις΄, ιζ΄. «Λούσασθε, καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν· παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν, μάθετε καλὸν ποιεῖν.»

Σφόδρα γοῦν ἀκολούθως τὰ πρῶτα εἰρηκὼς ὁ Θεός, ἔτι καὶ ταῦτα πρὸς τοὺς δηλωθέντας ἄρχοντας Σοδόμων, καὶ τὸν λαὸν Γομόρρας διεξέρχεται, ἐπὶ ἀγαθὰς ἐλπίδας αὐτοὺς προκαλούμενος, εἰ μεταθέμενοι τῆς κακίας καὶ τῆς ἐθελοθρησκείας τῆς κατὰ τὸν σωματικὸν νόμον ἀναχωρήσαντες, ὑπήκοοι γένοιντο τῆς Καινῆς Διαθήκης καὶ τοῦ καινοῦ νόμου καὶ λόγου. Διὸ μετὰ τὴν παρόρασιν τῶν ἐν τῇ Παλαιᾷ Διαθήκῃ, τὰ τῆς Καινῆς Διαθήκης εἰσάγει μυστήρια. Ἃ δὴ καὶ ἐν τοῖς Εὐαγγελίοις αὐτὸς παρεδίδου λέγων· «Ἐὰν μή τις ἀναγεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.[2]» — «Ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήρᾳ.» Ἤγουν μεταβαλόντες τῆς κακίας, μὴ μέχρι τούτου στῆτε, τὸν δὲ κατ' ἀρετὴν ἀναλάβετε βίον.

Στίχ. ιη΄. «Καὶ δεῦτε, καὶ διαλεχθῶμεν, λέγει Κύριος· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ.»

Εἶθ' ὡς ἐν δικαστηρίῳ διελεγχθῶμεν ἐγώ τε καὶ ὑμεῖς· ἐγὼ μὲν ὅσα πέπονθα ὑφ' ὑμῶν, ὅσα τε ὑμᾶς ἔτυχον εὐεργετήσας καταριθμούμενος, καὶ ὡς μετὰ τοσαῦτα πλημμελήματα πάντων κακῶν ἀμνηστείαν ποιούμενος, πεφοινιγμένας ὑμῶν τὰς ψυχὰς ἐκ τοῦ προλεχθέντος αἵματος ἐκάθηρα, λαμπροτέρας χιόνος αὐτὰς διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας καταστήσας· ὑμεῖς δὲ εἴ τις ὑμῖν πρὸς τὴν τοσαύτην χάριν ἔνεσται λόγος, εἰς φανερὸν τοῦτον ἄγετε.

---

1. Ματθ. 27, 25. 2. Ἰω. 3, 5.

Στίχ. ιθ΄, κ΄. «Καὶ ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα.»

Ἐνταῦθα δὲ ὁ λόγος ὡς πρὸς Ἰουδαίους διαλεγόμενος, οἷα νηπίους αὐτοὺς διὰ τῆς σωματικῆς ἐπαγγελίας πείθεσθαι τοῖς εἰρημένοις προτρέπει· πρὸς δὲ τὸν ἀληθῆ λόγον, γῆς τῆς ψυχῆς νοουμένης κατὰ τὴν σωτήριον παραβολήν· ἣ τὸν ἐπουράνιον λέγεται παραδέχεσθαι σπόρον, ἀκόλουθόν ἐστιν ἀγαθὰ ψυχῆς νοεῖν ἤτοι τὰς κατ' ἀρετὴν προκοπὰς καὶ τελειώσεις, ἢ τὰ ἐπηγγελμένα αὐτῇ ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ. Ὅθεν πρὸς μὲν τὴν λέξιν, αὐτίκα τοῖς λόγοις ἐπηκολούθει ἡ διὰ τῶν ἔργων ἔκβασις· παραχρῆμα γὰρ καὶ οὐκ εἰς μακρὰν οἱ ἀπειθήσαντες, τῇ τῶν πολεμίων μαχαίρᾳ παρεδόθησαν· ἐπελθόντων αὐτοῖς Ῥωμαίων, καὶ πολέμου νόμῳ πάντας χειρωσαμένων· εἰ δὲ καὶ διαβολική τίς ἐστι μάχαιρα, καὶ ταύτῃ ἔκδοτοι γεγόνασι, διὰ τὸ ἀπειθῆσαι τῇ κλήσει τῆς τοῦ Θεοῦ χάριτος.

Στίχ. κα΄. «Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιών, πλήρης κρίσεως; ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονευταί.»

«Τίνα τῶν προφητῶν οὐκ ἀπέκτειναν οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς; [1]»

Διδάσκει τοίνυν ὁ λόγος, ὡς πάλαι μὲν τὴν πόλιν ᾤκησαν ἄνδρες πιστοί, δι' ὧν πιστὴ πόλις ἐχρημάτιζεν· ὥσπερ ἂν εἴ τις εἴποι, πιστῶν πόλις· ἀλλὰ καὶ πλήρης κρίσεως ἦν καὶ δικαιοσύνης, ὡς ἂν ἐναρέτων ψυχῶν οἰκητήριόν ποτε γενομένη· διὸ κεκοιμᾶσθαι ἐν αὐτῇ δικαιοσύνην, τουτέστιν, ἐνοικῆσαι καὶ ἀναπεπαῦσθαι εἴρηται. Πάλαι γὰρ πλήρης τούτων ἐτύγχανε· τάχα που κατὰ τοὺς χρόνους Δαυίδ, ὃς πρῶτος ἑλὼν τὴν πόλιν ἐκ χειρὸς ἀλλοφύλων, τὴν κιβωτὸν τοῦ Θεοῦ καὶ τὴν σκηνὴν ἐν αὐτῇ κατεστήσατο, αὐτός τε αὐτὴν ᾤκησε βασίλειον ἀποδείξας ἑαυτοῦ, ὡς χρηματίσαι πόλιν Δαυίδ.

Στίχ. κβ΄. «Τὸ ἀργύριον ὑμῶν ἀδόκιμον· οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι.»

Ἦν γὰρ τὸ ἀργύριον αὐτῶν ἀδόκιμον, ἐπειδὴ μετὰ τὸ ἐκπορνεῦσαι, καὶ φονευτὰς γενέσθαι, προσεποιοῦντο θεοσεβείας λόγον ἀπαγγέλλειν καὶ τὰς θείας Γραφὰς διερμηνεύειν καὶ δευτερώσεις μυθικὰς ποιεῖσθαι τῶν ἀναγνωσμάτων. Καὶ αὐτοὶ δὲ οἱ διδάσκαλοι αὐτῶν καπηλεύοντες τὴν διδασκαλίαν, κάπηλοι προσφυῶς ὠνομάσθησαν μιγνύντες τὸν οἶνον ὕδατι, λόγῳ ἐξυδαροῦντι τὸν ἄκρατον καὶ ἐπιστυπτικὸν τῶν θεοπνεύστων Γραφῶν νοῦν διὰ τῆς μυθικῆς αὐτῶν καὶ ληρώδους δευτερώσεως.

Στίχ. κβ΄. «Οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν.»

Οὕτω καλούμενοι ὑπὸ τοῦ Σωτῆρος οὐχ ὑπήκουον· ἁπλῶς δὲ εἰπεῖν, Θεῷ ἀπειθοῦσιν, ἐκκλίνοντες ἀπ' αὐτοῦ καὶ τοῖς διατεταγμένοις ὑπ' αὐτοῦ μὴ ἐμμένοντες, «ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπό-

1. Πράξ. 7, 52.

δομα, ὀρφανοῖς οὐ κρίνοντες, καὶ κρίσιν χηρῶν οὐ προσέχοντες.» Τῷ οὖν προδότῃ Ἰούδᾳ κλέπτοντι συνιόντες, τὴν ὀρθότητα τοῦ δικαίου δώροις ἐπίπρασκον.

Στίχ. κδ΄-κς΄. «Διὰ τοῦτο τάδε λέγει Κύριος ὁ Δεσπότης Σαβαώθ, Οὐαὶ οἱ ἰσχύοντες Ἰσραήλ· οὐ παύσεται γάρ μου ὁ θυμὸς ἐν τοῖς ὑπεναντίοις, καὶ κρίσιν ἐκ τῶν ἐχθρῶν μου ποιήσω· καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ σέ, καὶ πυρώσω σε εἰς καθαρόν, τοὺς δὲ ἀπειθοῦντας ἀπολέσω, καὶ τοὺς συμβούλους σου ὡς τὸ ἀπ' ἀρχῆς.»

Πυρώσω σε οὖν εἰς καθαρόν, τουτέστιν, ἐπὶ τῷ καθᾶραι καὶ διακρῖναι τοὺς φαύλους ἀπὸ τῶν ἀστείων. Διὸ κατὰ τὸν Σύμμαχον εἴρηται· «Καὶ πυρώσω εἰς καθαρὸν τὴν σκωρίαν σου·» κατὰ δὲ τὸν Ἀκύλαν· «Καὶ πυρώσω εἰς καθαρὸν τὸ γιγαρτῶδές σου.» Ὥσπερ γὰρ οἱ καθαίροντες διὰ τοῦ πυρὸς χαλκὸν ἢ σίδηρον, τὴν σκωρίαν ἀποβάλλουσι, καὶ οἱ τοὺς βότρυς τῆς ἀμπέλου ἐν ταῖς ληνοῖς πιέζοντες, τὸ γιγαρτῶδες, καὶ τὰ περισσὰ τῶν ἐκπατηθέντων βοτρύων ἀπορρίπτουσι, τὸν αὐτὸν τρόπον κἀγώ, φησί, πυρώσω εἰς καθαρὸν τὸ γιγαρτῶδές σου.

Στίχ. κζ΄. «Καὶ μετὰ ταῦτα κληθήσῃ πόλις δικαιοσύνης, μητρόπολις πιστὴ Σιών· μετὰ γὰρ κρίματος σωθήσεται ἡ αἰχμαλωσία αὐτῆς.»

Τῇ μετὰ ταῦτα συστησομένῃ κοινῇ πόλει, ἥν τινα καὶ πόλιν δικαιοσύνης ὀνομάζει, καὶ μητρόπολιν πιστὴν Σιών, οὕτω προσειπὼν τὸ σύστημα τοῦ θεοφιλοῦς πολιτεύματος. Ὁ πάλαι μὲν συνετὸς παρὰ Ἰουδαίοις διεπεπτώκει· νῦν δὲ καθ' ὅλης τῆς οἰκουμένης διὰ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἐγήγερται τεθεμελιωμένος ἐπὶ τὴν πέτραν. Αὐτοὶ δὲ τῆς καλῆς πόλεως οἱ προεστῶτες, κριταί, καὶ σύμβουλοι, οἳ ἀρχὴν μὲν ἀπὸ τῶν ἀποστόλων καὶ μαθητῶν τοῦ Σωτῆρος ἡμῶν εἰλήφασιν· ἐκ δὲ τῆς ἐκείνων διαδοχῆς εἰσέτι καὶ νῦν, ὥσπερ ἐκ σπέρματος ἀγαθοῦ φύντες διαλάμπουσιν, πρόεδροι τῆς τοῦ Θεοῦ Ἐκκλησίας καθεστῶτες. Οἱ γὰρ σωτηρίας ἄξιοι παρὰ Θεῷ κριθέντες, μόνοι τεύξονται, φησί, τῆς ἐπαγγελίας, τῶν Ἰουδαίων μάτην φανταζομένων ἐπιστροφὴν ἔσεσθαι τοῦ παντὸς αὐτῶν ἔθνους. Αἰχμαλωσίας δὲ ἐλευθερίαν χρὴ νοεῖν, τὴν ἀπὸ τῆς πλάνης ἐπὶ τὴν ἀληθῆ τοῦ Θεοῦ γνῶσιν μεταβολὴν τῶν ψυχῶν· ἣν καὶ ὁ Σωτὴρ παρίστη, ὁπηνίκα ἐν τῇ συναγωγῇ λαβὼν τὴν βίβλον τοῦ Ἡσαΐου, τήν τε περικοπὴν ἀναγνοὺς τὴν ἐκ προσώπου αὐτοῦ φήσασαν· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με· κηρύξαι αἰχμαλώτοις ἄφεσιν·[1]» καὶ πτύξας τὴν βίβλον, εἶπε· «Σήμερον ἡ Γραφὴ αὕτη πεπλήρωται ἐν τοῖς ὠσὶν ὑμῶν·[2]» διδάσκων δή, ὡς αὐτὸς εἴη ὁ λυτρωτὴς τῶν ἀνθρωπίνων ψυχῶν.

Στίχ. κη΄. «Καὶ συντριβήσονται οἱ ἄνομοι, καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οἱ ἐγκαταλιπόντες τὸν Κύριον συντελεσθήσονται.»

1. Λουκ. 4, 18. 2. Λουκ. 4, 21.

Ἀλλ' ἐκποδὼν γίνεσθαι τοὺς τῆς πονηρίας διδασκάλους. Τίνες δὲ ἦσαν οὗτοι, ἐδίδαξεν ὁ λόγος διὰ τῶν ἔμπροσθεν, εἰπών· «Οὐαὶ ἔθνος ἁμαρτωλόν· λαὸς πλήρης ἀνομίας.»

Στίχ. κθ'. «Διότι καταισχυνθήσονται ἐπὶ τοῖς εἰδώλοις αὐτῶν, ἃ αὐτοὶ ἠβούλοντο, καὶ ἐπαισχυνθήσονται ἐπὶ τοῖς κήποις αὐτῶν, ἃ ἐπεθύμησαν.»

Πλὴν ἐπὶ τοῖς αἰσχροῖς αἰσχύνη ἐκ συναισθήσεως αὐτοῖς ἐγγενομένη, τῆς ἀναισχύντου καὶ ἀναιδοῦς προαιρέσεως μεταβολὴν αὐτοῖς ἔμελλεν ἐμποιήσειν.

Στίχ. λ'. «Ἔσονται γὰρ ὡς τερέβινθος ἀποβεβληκυῖα τὰ φύλλα, καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων·»

Οἱ πάλαι ὄντες ἀμπελὼν Κυρίου Σαβαώθ, καὶ ἐλαία εὔσκιος. Εἰ γοῦν τις θεάσαιτο τὰς παρ' αὐτοῖς τῶν θείων Γραφῶν ἐπαγγελίας, νομικῶν τε καὶ προφητικῶν Γραφῶν ἀναγνώσεις, βίβλων τε ἱστορικῶν καὶ στιχηρῶν λόγον, ὑμνῳδίας τε τρόπους, καὶ ψαλμῳδίας· ὄψεται παράδεισον ἀληθῶς, καὶ λειμῶνα παντοίων ἀγαθῶν. Εἰ δὲ ζητήσειε παρ' αὐτοῖς τὸν ἔμψυχον καὶ γόνιμον καὶ ζῶντα Λόγον, οὗ ὁ πίνων πηγὴν ἕξει ὕδατος ζῶντος ἀλλομένου εἰς ζωὴν αἰώνιον· οὐκ ἂν εὕροι.

Στίχ. λα'. «Καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη στυππείου, καὶ αἱ ἐργασίαι αὐτῶν ὡς σπινθῆρες· καὶ κατακαυθήσονται οἱ ἄνομοι, καὶ οἱ ἁμαρτωλοὶ ἅμα· καὶ οὐκ ἔσται ὁ σβέσων.»

Οὐ σίτου, οὐδέ τινος ἑτέρου τῶν ἀναγκαίων καλάμη, διὰ τὸ ἀφῃρῆσθαι ἀπ' αὐτῶν ἰσχύοντα καὶ ἰσχύουσαν, καὶ ἰσχὺν ἄρτου, καὶ τὰ ἑξῆς. Διὸ οὐδὲ δύναται λέγειν, τοῖς Χριστοῦ μαθηταῖς ὁμοίως· «Πάντα ἰσχύομεν ἐν τῷ ἐνδυναμοῦντι ἡμᾶς Θεῷ·[1]» καί, «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἢ στενοχωρία;[2]» καὶ τὰ ἑξῆς. Οὕτω δὲ γέγονεν αὐτῶν ἡ ἰσχὺς ὡς καλάμη στυππείου, ὡς μὴ μόνον ἀπολέσαι τὴν ἐλευθερίαν, ἐν ᾗ πρότερον ἐκόμων, αὐτονομίᾳ καὶ βασιλείᾳ οἰκείᾳ χρώμενοι, ἀλλὰ καὶ τοῖς τυχοῦσι Ῥωμαίων στρατιώταις ἀνδράσι δουλεύειν. Καὶ αὐτῶν γὰρ αἱ ἐργασίαι πυρὶ αἴτιαι, ἅτε οὐ χρυσὸν οὐδὲ ἄργυρον οὐδὲ λίθους τιμίους, ξύλον δὲ μόνον καὶ καλάμην οἰκοδομούντων. Ὁρᾷς ὅπως πυρπόλησιν καὶ ἐμπρησμὸν ἀπειλεῖ αὐτοῖς ὁ λόγος· καὶ τοῦτο τέλος τῆς παρούσης κατ' αὐτῶν προφητείας· ὃ δὴ καὶ παραχρῆμα πρὸς λέξιν ἀπέβη, καὶ οὐκ εἰς μακρὰν μετὰ τὴν κατὰ τοῦ Σωτῆρος ἡμῶν τόλμαν πυρποληθείσης αὐτοῖς τῆς μητροπόλεως, τῶν τε ἐν αὐτῇ ἀσεβῶν ἐκ τῶν οἰκείων σπινθήρων τὸ ἄσβεστον πῦρ τὸ αἰώνιον, καὶ τὴν ἐκ Θεοῦ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῖς ταμιευσαμένων.

1. Φιλιπ. 4, 13. 2. Ῥωμ. 8, 35.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Στίχ. α'-δ'. «Ὁ λόγος ὁ γενόμενος παρὰ Κυρίου πρὸς Ἡσαΐαν υἱὸν Ἀμὼς περὶ τῆς Ἰουδαίας καὶ περὶ Ἱερουσαλήμ· ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος τοῦ Κυρίου, καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων, καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη. Καὶ πορεύσονται ἔθνη πολλά, καὶ ἐροῦσι· Δεῦτε, καὶ ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ· καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ. Καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν, καὶ ἐξελέγξει λαὸν πολὺν αὐτός.»

Αὐτὸς δὲ καὶ διέκρινεν ἀνὰ μέσον τῶν ἐθνῶν, ἀφορίσας ἑαυτῷ τοὺς ἀξίους, καὶ ἐκλεξάμενος τοὺς κλητοὺς ἀπὸ τῶν μὴ τοιούτων. Οὕτως οὖν ἀνὰ μέσον τῶν ἐθνῶν διακρίνας ὁ εὐαγγελικὸς νόμος, λαὸν πολὺν ἤλεγξεν, ἤτοι τοὺς εἰς αὐτὸν πεπιστευκότας ἀπελέγξας τὴν ἐν αὐτοῖς προτέραν πλάνην, ἢ τοὺς μὴ εἰς αὐτὸν πεπιστευκότας ἐλέγξας παρὰ τὴν αὐτῶν αἰτίαν ἀπολλυμένους.

«Καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα· καὶ οὐ μὴ ἄρῃ ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν.»

Οὐκέτι γὰρ διδάσκονται τὰ πολεμικά, ἃ δὴ πρότερον ὡς ἀναγκαῖα ἐκ παίδων κατ' ἀγροὺς καὶ κατὰ πόλεις ἠσκοῦντο διὰ τὸν ἀπὸ τῶν πλησιοχώρων πολεμίων φόβον· ἀλλὰ καὶ οἱ καταδεξάμενοι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, πάσης πολεμικῆς προαιρέσεως ἀπαλλαγέντες, ἐν εἰρήνῃ λοιπὸν διάγουσιν· ὡς μηκέτι ὑπὸ τῶν ἀντικειμένων δυνάμεων πολεμεῖσθαι, μηδὲ ὑποχειρίους εἶναι τῶν πάλαι κρατούντων αὐτῶν δαιμόνων. Οἷς καὶ ὁ Σωτὴρ αὐτὸς τὴν ἑαυτοῦ προξενῶν εἰρήνην φησί· «Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν.[1]»

Στίχ. ε'. «Καὶ νῦν, ὁ οἶκος τοῦ Ἰακώβ, δεῦτε, πορευθῶμεν ἐν τῷ φωτὶ Κυρίου.»

Ἀκολούθως τοίνυν ὁ προφήτης, διεξελθὼν τῶν ἐθνῶν τὴν κλῆσιν, καὶ τὴν χυθεῖσαν εἰς πάντας ἀνθρώπους εἰρήνην, τὴν εἰς τοὺς οἰκείους ἐνδείκνυται φιλοστοργίαν, παρακαλῶν τὸν λαὸν αὐτοῦ, ὑποδέξασθαι τὴν πᾶσι τοῖς ἔθνεσι δωρηθεῖσαν τοῦ Χριστοῦ χάριν, καὶ τὸ φῶς τὸ εὐαγγελικόν. Συγκαταλέγει δὲ ἐκείνοις καὶ ἑαυτόν, εἰς προτροπὴν καὶ παρόρμησιν τοῦ λαοῦ, παραινετικῶς παρακαλῶν τοῦ φωτὸς Κυρίου μεταλαγχάνειν· φῶς Κυρίου ὀνομάζων τὸν ἐκ Σιὼν προελθόντα νόμον τῆς Καινῆς Διαθήκης, καὶ τὸν σωτήριον καὶ εὐαγγελικὸν λόγον.

Στίχ. ς'. «Ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ, τὸν οἶκον Ἰσραήλ, ὅτι ἐπλήσθη ὡς τὸ ἀπ' ἀρχῆς ἡ χώρα αὐτῶν κληδονισμῶν, ὡς ἡ τῶν ἀλλοφύλων, καὶ τέκνα πολλὰ ἀλλόφυλα ἐγενήθη αὐτοῖς.»

1. Ἰω. 14, 27.

Διὰ τί δὲ αὐτὸν ἀνῆκεν, ὥσπερ ἀπολογούμενος ὑπὲρ τοῦ Θεοῦ, τὰς αἰτίας τίθησιν ἑξῆς ἐπιφέρων· «Ὅτι ἐνεπλήσθη ἡ χώρα αὐτῶν ὡς τὸ ἀπ' ἀρχῆς κληδονισμῶν», καὶ τὰ ἑξῆς· δι' ὧν παρίστησιν, ὅτι μὴ ἀλόγως αὐτοὺς ἀνῆκεν.

Στίχ. ζ'-θ'. «Ἐνεπλήσθη γὰρ ἡ χώρα αὐτῶν ἀργυρίου καὶ χρυσίου, καὶ οὐκ ἦν ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν· καὶ ἐνεπλήσθη ἡ γῆ ἵππων, καὶ οὐκ ἦν ἀριθμὸς τῶν ἁρμάτων αὐτῶν· καὶ ἐνεπλήσθη ἡ γῆ βδελυγμάτων τῶν ἔργων τῶν χειρῶν αὐτῶν, καὶ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν· καὶ ἔκυψεν ἄνθρωπος, καὶ ἐταπεινώθη ἀνήρ.»

Τίνων αὐτῶν, ἢ τῶν ἀλλοφύλων οἰκητόρων οἳ καὶ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν; Ταῦτα πάντα σημαντικὰ τυγχάνει ἀλλοφύλων ἐθνῶν, μελλόντων οἰκεῖν αὐτήν τε τὴν Ἱερουσαλὴμ καὶ τὴν Ἰουδαίαν χώραν. Ἃ δὴ ἐπληροῦτο μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν παρουσίαν, καὶ μετὰ τὸν λόγον τὸν φωτίσαντα πάντα τὰ ἔθνη· ἐπειδὴ μὴ ὑπήκουσαν τοῦ κεκληκότος αὐτοὺς προφήτου· «Δεῦτε καὶ πορευθῶμεν ἐν τῷ φωτὶ Κυρίου.»

Στίχ. ι'-ιβ'. «Καὶ οὐ μὴ ἀνήσω αὐτούς, καὶ συνεισέλθετε εἰς τὰς πέτρας, καὶ κρύπτεσθε εἰς τὴν γῆν ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. Οἱ γὰρ ὀφθαλμοὶ Κυρίου ὑψηλοί, ὁ δὲ ἄνθρωπος ταπεινός. Καὶ ταπεινωθήσεται τὸ ὕψος τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· ἡμέρα γὰρ Κυρίου Σαβαὼθ ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον, καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον, καὶ ταπεινωθήσονται.»

Ὅπερ ἡγοῦμαι περὶ τῆς ἡμέρας τῆς κρίσεως λέγεσθαι· διὸ οὐ περὶ μόνων Ἰουδαίων ὁ λόγος τὰ παρόντα θεσπίζει, καθολικῶς δὲ περὶ πάντων τῶν τοιῶνδε ἀνθρώπων. Προαναφωνεῖ τοίνυν καθαίρεσιν ἔσεσθαι τῆς ἐν ἀνθρώποις εἰδωλολατρείας· μόνον δὲ παρὰ τοῖς πᾶσιν ἀνθρώποις ὑψοῦσθαι τὸν Κύριον, παντὸς ὑψώματος ἐπαιρομένου κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, ταπεινουμένου.

Στίχ. ιγ'-ιζ'. «Καὶ ἐπὶ πᾶσαν κέδρον τοῦ Λιβάνου τῶν ὑψηλῶν καὶ μετεώρων, καὶ ἐπὶ πᾶν δένδρον βαλάνου Βασάν, καὶ ἐπὶ πᾶν ὑψηλὸν ὄρος, καὶ ἐπὶ πάντα βουνὸν ὑψηλόν, καὶ ἐπὶ πάντα πύργον ὑψηλόν, καὶ ἐπὶ πᾶν τεῖχος ὑψηλόν, καὶ ἐπὶ πᾶν πλοῖον θαλάσσης, καὶ ἐπὶ πᾶσαν θέαν πλοίων κάλλους· καὶ ταπεινωθήσεται πᾶς ἄνθρωπος, καὶ πεσεῖται ὕβρις τῶν ἀνθρώπων.»

Ἐπιβαλῶ ἐπ' αὐτοὺς τὸ δίκτυόν μου, καθὼς τὰ πετεινὰ τοῦ οὐρανοῦ κατάξω αὐτούς. Τάχα δὲ καὶ κατὰ τὴν προσδοκωμένην τοῦ Κυρίου ἡμέραν τῆς κρίσεως, τὴν τῶν τοιούτων πάντων ἀπώλειαν ἔσεσθαι προφητεύει· ὧδέ πως αἰνιξάμενος ἐπικεκαλυμμένως τοὺς κρατοῦντας τοῦ αἰῶνος τούτου, καὶ τὰ ὕψη, καὶ τὰ ἀξιώματα, τάς τε ἀρχὰς καὶ τὰς ἐξουσίας, καὶ τοὺς ἐν τῷ βίῳ κοσμοκράτορας τοὺς τὸν Θεὸν μὴ ἐπεγνωκότας.

Στίχ. ιη', ιθ'. «Καὶ ὑψωθήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ τὰ χειροποίητα πάντα κατακρύψουσιν, εἰσενέγκαντες εἰς τὰ σπήλαια καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν, καὶ εἰς τὰς τρώγλας τῆς γῆς, ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν.»

Ἀλλὰ καὶ οἱ ἀσεβεῖς, τῆς τοῦ Κυρίου ἐπιστάσης ἡμέρας, τὰς δόξας αὐτῶν, ἃς εἶχον πρότερον ἐν τῇ ψυχῇ περὶ τῆς πολυθέου πλάνης, κατακρύψουσιν ἐν ταῖς διερρωγυίαις αὐτῶν διανοίαις, ἐκβαλοῦσί τε καὶ ἀπορρίψουσι τοῦ ἑαυτῶν λογισμοῦ πᾶσαν τὴν ψευδῆ περὶ τῶν εἰδώλων ὑπόληψιν.

Στίχ. κ' κβ'. «Τῇ γὰρ ἡμέρᾳ ἐκείνῃ ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ, ἃ ἐποίησε προσκυνεῖν τοῖς ματαίοις καὶ ταῖς νυκτερίσι, τοῦ εἰσελθεῖν εἰς τὰς τρώγλας τῆς στερεᾶς πέτρας καὶ τὰς σχισμὰς τῶν πετρῶν ἀπὸ προσώπου τοῦ φόβου Κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν.»

Εἰδωλολατρούσης τῆς Ἱερουσαλήμ, μᾶλλον δὲ ἁπάσης πεπυρωμένης τῆς Ἰουδαίας, κατεχεῖτο τρόπον τινὰ τῆς Ἰουδαίας ὁ Βαβυλωνίων πόλεμος· οἵ, πᾶσαν καταδῃώσαντες, ἀπεκτόνασι μὲν τοὺς κατειλημμένους· γύναια δὲ καὶ παῖδας ἀπεκόμισαν εἰς τὴν ἑαυτῶν γῆν. Πλὴν τῆς ἐφόδου προαπηγγελμένης καὶ μελλούσης ἔσεσθαι, τοσοῦτον τοῖς Ἰουδαίοις γέγονε δεῖμα, καὶ ἀγωνίας εἰς τοῦτο πεπτώκασιν, ὡς ἐν σπηλαίοις καὶ ταῖς τῶν ὀρῶν ῥωγμαῖς κατακρύπτεσθαι, καὶ τόπους ἀβάτους καταλαμβάνειν, ἁπάσης αὐτῶν ἀτονούσης χειρὸς πρὸς τὴν τῶν ἐπιόντων ἀντίστασιν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Στίχ. α', β'. «Ἰδοὺ δὴ ὁ δεσπότης Κύριος Σαβαὼθ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας καὶ ἀπὸ Ἱερουσαλήμ, ἰσχύοντα καὶ ἰσχύουσαν, ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος, γίγαντα καὶ ἰσχύοντα ἄνθρωπον, πολεμιστὴν καὶ δικαστήν, καὶ προφήτην, καὶ στοχαστήν, καὶ πρεσβύτερον.»

Τοῦτο δὲ συμβήσεται αὐτοῖς, οὔτε δι' εἰδωλολατρείαν, οὔτε δι' ἑτέρας πράξεις τινάς· διὰ μόνην δὲ βουλὴν ἄθεον ἀληθῶς, καὶ ἀσεβῆ, καὶ πονηράν, τὴν κατὰ τοῦ Κυρίου. Θέα γοῦν ὅπως μετὰ πάσας τὰς κατ' αὐτῶν ἀπειλὰς ἐπάγει λέγων·

«Τὴν δὲ ἁμαρτίαν αὐτῶν ὡς Σοδόμων ἀπήγγειλαν καὶ ἐνεφάνισαν. Οὐαὶ τῇ ψυχῇ αὐτῶν, ὅτι βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν εἰπόντες, ὅτι Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι.» Τὸ γὰρ αἴτιον τῶν ἀπειλουμένων ἁπάντων τοῦτο ἦν. Καὶ ἐκ τούτων δὲ ἀναμφιλέκτως οἶμαι συνίστασθαι τὸ μετὰ τὴν σωτήριον παρουσίαν ταῦτα τέλους τετυχηκέναι. Ἀθρόως οὖν ἐξέλιπε καὶ

ἀφηρέθη κατὰ τὴν προφητείαν, ἀπό τε τῆς Ἱερουσαλὴμ καὶ ἀπὸ τῆς Ἰουδαίας, ὁμοῦ τὰ πάντα, οὐκ ἄλλοτε ἢ κατὰ τὴν τοῦ Σωτῆρος ἡμῶν ἐπιβουλήν. Καὶ πρῶτον ἀφηρέθησαν ἰσχύοντα καὶ ἰσχύουσαν· ἢ κατὰ τὸν Ἀκύλαν, «ἔρεισμα καὶ ἐρεισμόν·» ἢ κατὰ τὸν Σύμμαχον, «στήριγμα καὶ στηριγμόν.» Ὅπερ νοήσεις κατὰ τὸν ἀποστολικὸν λόγον, ὃς τοὺς βίῳ τῷ κατὰ Θεὸν ἐμπρέποντας στύλους τε καὶ ἑδραίωμα ὠνόμασε. Πάντως δέ που καὶ παρὰ τῷ προτέρῳ λαῷ ἦσάν τινες ὥσπερ ἑδραιώματα τοῦ παντὸς αὐτῶν ἔθνους, οὓς ἀρθήσεσθαι ἀπ' αὐτῶν ὁ λόγος ἀπειλεῖ.

«Ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος.» Νοητῶς δὲ ἐκλαμβανόμενος ταῦτα, ὅρα, ὅτι οὐκ ἄρτον, οὔτε ὕδωρ εἶπεν ἀφελεῖν, ἀλλ' ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος· ὅπερ νοήσεις ἀφ' ἑτέρου προφήτου φήσαντος· «Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἀποστελῶ λιμὸν ἐπὶ τὴν γῆν· οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου.[1]» Ἔστιν οὖν ψυχῆς ἄρτος θρεπτικός τις λόγος, καὶ ποτὸν ὡσαύτως λογικόν· ὧν εἰ καὶ νομίζουσι μεταλαμβάνειν Ἰουδαίων παῖδες, ἐν τῷ τὰς θείας διέρχεσθαι Γραφάς, καὶ περὶ τὰς ἐκμαθήσεις καὶ ἐπαγγελίας αὐτῶν φιλοκαλεῖν· ἀλλὰ τὴν ἰσχὺν τῶν θρεπτικῶν λόγων, καὶ τὸ θρεπτικὸν τῆς ζωοποιοῦ γῆς οὐκ ἂν εὕροις παρ' αὐτοῖς. Ἄρτου τοίνυν πάλιν οὐκ αἰσθητοῦ μνημονεύει· ἀλλ' οὐδὲ ὑδάτων τῶν ἐν καταχρήσει κοινῇ· ἐκείνου δὲ μᾶλλον περὶ οὗ φησιν ὁ Δαυῒδ «ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς, ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος.[2]» Ὑδάτων τε διαμεμνῆσθαί φαμεν αὐτὸν νοητῶν, περὶ ὧν αὐτός πού φησιν ὁ προφήτης Ἡσαΐας· «Καὶ ἀντλήσουσιν ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ Σωτηρίου·[3]» καὶ μὴν καὶ αὐτὸς ὁ Σωτήρ· «Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον.[4]» Σύνες δὲ ἀκριβῶς τὰς περὶ τούτων τοῦ προφήτου φωνάς· οὐ γὰρ εἴρηκεν ἁπλῶς ἀφαιρεθήσεσθαι τῶν Ἰουδαίων ἄρτον τε καὶ ὕδωρ, ἀλλ' «ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος·» καὶ δεῖ ἡμᾶς οἴεσθαι τοιοῦτόν τι διδάσκειν βούλεσθαι αὐτόν. Ἡμεῖς γὰρ τοῖς ἱεροῖς περιτυγχάνοντες λόγοις, καὶ τὰς θείας ἀναγινώσκοντες Γραφάς, εἶτα συνιέντες αὐτάς, ἰσχὺν ἄρτου νοητοῦ δεχόμεθα· «Οὐ γὰρ ἐπ' ἄρτῳ μόνῳ», φησί, «ζήσεται ἄνθρωπος· ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ.[5]» Ὁμοίως δὲ νοήσεις καὶ ἐφ' ὑδάτων νοητῶν. Ἰουδαῖοί γε μὴν ἔχουσι μὲν τὸν ἄρτον καὶ τὸ ὕδωρ ἔτι πολυπραγμονοῦσι γὰρ τὰ Μωϋσέως γράμματα, καὶ ἀναγινώσκουσι τὸν νόμον· ἐπειδὴ δὲ γινώσκουσιν οὐδέν, οὐκ ἔχουσι τὴν ἰσχὺν τοῦ ἄρτου, οὔτε μὴν τὴν ἰσχὺν τοῦ ὕδατος. Ψιλὸν γὰρ αὐτοῖς καὶ μόνον τὸ γράμμα δέδοται, ἄρτου μὲν

---

1. Ἀμ. 8, 11. 2. Ψαλμ. 77, 24-25. 3. Ἡσ. 12, 3. 4. Ἰω. 4, 13-14. 5. Ματθ. 4, 4.

καὶ ὕδατος ὑπόληψιν ἔχον, τρέφον δὲ αὐτοὺς κατ' οὐδένα τρόπον εἰς εὐεξίαν τὴν νοητήν. Καὶ μαρτυρήσει γράφων ὁ Παῦλος· «Ἄχρι γὰρ σήμερον, ἡνίκα ἀναγινώσκεται Μωϋσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται[1]», μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται. Καὶ καθ' ἕτερον δὲ τρόπον ἀφῃρῆσθαί φαμεν ἐκ τῆς Ἰουδαίων συναγωγῆς ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος· καὶ λόγος ἐστὶ μυστικός. Ἡμεῖς μὲν γὰρ οἱ διὰ πίστεως κεκλημένοι πρὸς ἁγιασμόν, τὸν ἄρτον ἔχομεν τὸν ἐξ οὐρανοῦ, τουτέστι Χριστόν, ἤτοι τὸ σῶμα αὐτοῦ. Εἰ δὲ δή τις ἔροιτο, ποία τίς ἐστιν ἡ ἰσχὺς αὐτοῦ, φαμὲν ὅτι ζωοποιός· δίδωσι γὰρ τῷ κόσμῳ ζωήν. Προσίεμεν δὲ ὁμοίως καὶ τῇ διὰ τοῦ ἁγίου βαπτίσματος χάριτι, τοῦ ἁγιάζοντος ἡμᾶς ὕδατος τὴν ἰσχὺν εἶναι λέγοντες, ἁμαρτιῶν ἀπόθεσιν, ἀναγέννησιν πνευματικὴν εἰς συμμορφίαν τὴν εἰς αὐτὸν τὸν Χριστόν· καὶ πρὸς ἐπὶ τούτοις, παρρησίαν εἰσόδου τῆς εἰς τὴν τῶν οὐρανῶν βασιλείαν. Ἐὰν γάρ τις, φησί, «μὴ γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.[2]» Ἐστέρηνται δὲ οἱ Ἰουδαῖοι τῶν τοιούτων ἀγαθῶν· οὐ γάρ ἐστι παρ' αὐτοῖς ἰσχὺς ἄρτου, τουτέστιν ἡ ἐν Χριστῷ ζωοποίησις, οὐδ' ἔχουσι τὴν τοῦ ὕδατος ἰσχύν· ἀπομεμένηκε γὰρ ἐν αὐτοῖς ἀναπόνιπτος ἡ ἁμαρτία· οὐκ εἰσελαύνουσιν εἰς τὴν τῶν οὐρανῶν βασιλείαν, τὸν εἰσκομίζοντα Χριστὸν ἀτιμάζοντες. Οὐ γὰρ ἐπίστευον λέγοντι· «Ἐγώ εἰμι ἡ ὁδός[3]», καί, «Ἐγώ εἰμι ἡ θύρα.[4]»

Στίχ. γ', δ'. «Καὶ πεντηκόνταρχον, καὶ θαυμαστὸν σύμβουλον, καὶ σοφὸν ἀρχιτέκτονα, καὶ συνετὸν ἀκροατήν. Καὶ ἐπιστήσω νεανίσκους ἄρχοντας αὐτῶν, καὶ ἐμπαῖκται κυριεύσουσιν αὐτῶν.»

Τίς οὖν ὁρῶν τοὺς παρὰ Ἰουδαίοις ὀνομαζομένους πατριάρχας, νεανίσκους ἀληθῶς, οὐ τὴν τῶν σωμάτων ἡλικίαν, ἀλλὰ τὰς ψυχὰς ἀτελεῖς καὶ ἐνδεεῖς φρενῶν, τούς τε λοιποὺς αὐτῶν διδασκάλους, οὐκ ἂν εἴποι ἐμπαίκτας εἶναι, καὶ οὓς ἡ προφητεία ἐδήλου;

Στίχ. ε'. «Καὶ συμπεσεῖται ὁ λαός, ἄνθρωπος πρὸς ἄνθρωπον, καὶ ἄνθρωπος πρὸς τὸν πλησίον αὐτοῦ.»

Μηδεμιᾶς τάξεως οὔσης, μηδὲ λόγου Θεοῦ ἐν αὐτοῖς πολιτευομένου.

Στίχ. ς'-η'. «Ὅτι ἐπιλήψεται ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ, ἢ τοῦ οἰκείου τοῦ πατρὸς αὐτοῦ, λέγων· Ἱμάτιον ἔχεις, ἀρχηγὸς γενοῦ ἡμῶν, καὶ τὸ βρῶμα τὸ ἐμὸν ὑπὸ σὲ ἔστω. Καὶ ἀποκριθεὶς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐρεῖ· Οὐκ ἔσομαί σου ἀρχηγός· οὐ γὰρ ἐν τῷ οἴκῳ μού ἐστιν ἄρτος, οὐδὲ ἱμάτιον. Οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου, ὅτι ἀνεῖται Ἱερουσαλήμ, καὶ ἡ Ἰουδαία συμπέπτωκε.»

Διὸ καὶ εἰς τοσαύτην πτωχείαν φρενῶν καὶ ἔνδειαν ἐλάσειν αὐτοὺς φησιν, ὡς μηδὲ ἱματίου, μηδὲ ἄρτου εὐπορεῖν· ἱματίου μέν, ἐκλαμβά-

1. Β' Κορ. 3, 15. 2. Ἰω. 3, 3. 3. Ἰω. 14, 6. 4. Ἰω. 10, 7.

νεσθαι δυναμένου νοητῶς, τοῦ εὐσχήμονος καὶ κοσμίου λόγου τοῦ καλύπτοντος αὐτῶν τῆς ψυχῆς τὴν ἀσχημοσύνην· ἄρτου δὲ τοῦ τῆς διανοίας θρεπτικοῦ.

«Καὶ αἱ γλῶσσαι αὐτῶν μετὰ ἀνομίας, τὰ πρὸς Κύριον ἀπειθοῦντες· διότι νῦν ἐταπεινώθη ἡ δόξα αὐτῶν.» Ἢ οὐχὶ τὰς ἑαυτῶν ἠκόνησαν γλώσσας κατὰ τοῦ Κυρίου, ὁπηνίκα τὰς ἀσεβεῖς ἠφίεσαν φωνὰς λέγοντες· «Αἶρε, αἶρε αὐτόν· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν;[1]» Τότε γὰρ ὡς ἀληθῶς ἡ γλῶσσα αὐτῶν καὶ τὰ ἐπιτηδεύματα αὐτῶν, κατὰ τὸν Ἀκύλαν, κατὰ τοῦ Κυρίου γέγονεν, εἰς τὸ παραπικρᾶναι αὐτόν, κατὰ Σύμμαχον.

Στίχ. θ'-ιβ'. «Καὶ αἱ γλῶσσαι αὐτῶν μετὰ ἀνομίας, τὰ πρὸς Κύριον ἀπειθοῦντες. Διότι νῦν ἐταπεινώθη ἡ δόξα αὐτῶν, καὶ ἡ αἰσχύνη αὐτῶν τοῦ προσώπου ἀντέστη αὐτοῖς. Τὴν δὲ ἁμαρτίαν αὐτῶν ὡς Σοδόμων ἀνήγγειλαν καὶ ἐνεφάνισαν. Οὐαὶ τῇ ψυχῇ αὐτῶν, διότι βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν, εἰπόντες· Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν. Τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγονται. Οὐαὶ τῷ ἀνόμῳ, πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται αὐτῷ. Λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς, καὶ οἱ ἀπαιτοῦντες κυριεύουσιν ὑμῶν. Λαός μου, οἱ μακαρίζοντες ὑμᾶς πλανῶσιν ὑμᾶς, καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ἐκταράσσουσι.»

Βουλόμενοι τὰ παρὰ τοῦ λαοῦ συνάγειν οἱ ἄρχοντες τοῦ Ἰουδαίων ἔθνους δι' ἀπαρχῶν καὶ δεκατῶν, καὶ ἄλλων τῶν αὐτοῖς ὡς ἄρχουσι καὶ διδασκάλοις προσφερομένων, οὐκ ἐπέτρεπον τὴν εἰς Χριστὸν γνῶσιν αὐτοὺς ἀναλαβεῖν. Ἀπαιτοῦντες τοίνυν τὰ προλεχθέντα κέρδη, τούτων ἕνεκα οὐδὲ τοὺς ἁμαρτάνοντας ἤλεγχον· πάντα δὲ πρὸς κολακείαν ὁμιλοῦντες, ἐμακάριζον αὐτούς· καὶ ἀποτρέποντες τῆς εὐθείας ὁδοῦ, τῆς ἀγούσης ἐπὶ τὸν σωτήριον λόγον, διέστρεφον αὐτῶν τὰ τῆς ψυχῆς βήματα.

Στίχ. ιγ'-ιδ'. «Ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν, καὶ στήσει εἰς κρίσιν τὸν λαὸν αὐτοῦ· αὐτὸς Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ.»

Σφόδρα δὲ ἀκολούθως τὴν πρώτην τοῦ Σωτῆρος παρουσίαν θεσπίσας, καὶ τὴν τῶν ἀρχόντων τοῦ λαοῦ διαστροφήν, τῆς δευτέρας ἀφίξεως αὐτοῦ παραδίδωσι τὴν γνῶσιν, λέγων· «Αὐτὸς Κύριος ἥξει εἰς κρίσιν», καὶ τὰ ἑξῆς. «Ὑμεῖς δὲ ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου, καὶ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν.» Οὓς ὡς παραστάντας τῷ τοῦ Κυρίου βήματι καταμέμφεται, καὶ εἰς πρόσωπον αὐτοὺς ἀπελέγχει· λαὸν δὲ αὐτοῦ ἀποκαλεῖ, καὶ ἀμπελῶνα αὐτοῦ ἐμπεπυρισμένον, τοὺς κατὰ συναρπαγὴν καὶ διαστροφὴν τῶν διδασκάλων ἠπατημένους, οὓς ἀνακαλούμενος καὶ πρὸς ἑαυτὸν ἐπιστρέφων, ἀποτρέπει τῆς τῶν προλεχθέντων διαστρόφου διδασκαλίας.

---

1. Ματθ. 27, 25. Ἰω. 19, 15.

Στίχ. ιε'. «Τί ὑμεῖς ἀδικεῖτε τὸν λαόν μου, καὶ τὸ πρόσωπον τῶν πτωχῶν καταισχύνετε;»

Ἔθος τοῖς ἀδικοῦσιν καὶ ἀποστεροῦσιν, ἐπειδὰν ἐγκαλοῦνται παρὰ τῶν ἠδικημένων, ὕβρεσι καὶ λοιδορίαις καταισχύνειν αὐτούς, ἐξευτελίζοντες καὶ πληγὰς ἀπειλοῦντες. Τοῦτο οὖν φησι, Τὴν ὑμῖν προσήκουσαν ἐκ τῆς ἀδικίας αἰσχύνην ταύτην, ἐκ τῆς τυραννίδος ὑμῶν τοῖς πτωχοῖς περιτρέπετε.

Στίχ. ις', ιζ'. «Τάδε λέγει Κύριος· Ἀνθ' ὧν ὑψώθησαν αἱ θυγατέρες Σιών, καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ, καὶ ἐν νεύμασιν ὀφθαλμῶν, καὶ τῇ πορείᾳ τῶν ποδῶν, ἅμα σύρουσαι τοὺς χιτῶνας, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι· καὶ ταπεινώσει Κύριος ὁ Θεὸς ἀρχούσας θυγατέρας Σιών, καὶ Κύριος ἀποκαλύψει τὸ σχῆμα αὐτῶν.»

Δύναται δὲ ταῦτα μὴ περὶ μόνων γυναικῶν λέγεσθαι, ἀλλὰ καὶ περὶ ψυχῶν χαύνων καὶ τεθηλυμένων.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Στίχ. α'. «Καὶ ἐπιλήψονται ἑπτὰ γυναῖκες ἀνθρώπου ἑνὸς λέγουσαι· Τὸν ἄρτον ἡμῶν φαγόμεθα, καὶ τὰ ἱμάτια ἡμῶν περιβαλούμεθα· πλὴν τὸ ὄνομα τὸ σὸν κεκλήσθω ἐφ' ἡμᾶς.»

Μὴ γὰρ ἐνδεῖν τι αὐταῖς ἢ μόνον τὸ αὐτοῦ ὄνομα, καὶ δοκεῖν ἔχειν τὸν προεστῶτα. Διὸ ὡς πρὸς σπάνιόν τινα τοῦτον, τῶν πολλῶν ἀπολωλότων, φασὶ πρὸς αὐτόν· «Πλὴν τὸ ὄνομά σου κεκλήσθω ἐφ' ἡμᾶς», καὶ τὰ ἑξῆς.

Στίχ. β', γ'. «Τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἐπιλάμψει ὁ Θεὸς ἐν βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι καὶ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ἰσραήλ. Καὶ ἔσται τὸ ὑπολειφθὲν ἐν Σιών, καὶ τὸ καταλειφθὲν ἐν Ἱερουσαλήμ, οἱ κληθήσονται πάντες, οἱ γραφέντες εἰς ζωὴν ἐν Ἱερουσαλήμ.»

Καὶ ἔστιν ἔργῳ παραλαβεῖν ὅπως οἱ πρῶτοι ἐκ τοῦ Ἰσραὴλ εἰς τὸν Χριστὸν πεπιστευκότες, ἀπόστολοι, καὶ μαθηταί, καὶ εὐαγγελισταὶ τοῦ Σωτῆρος, ὑψώθησαν καὶ ἐδοξάσθησαν, ὡς πανταχοῦ γῆς καὶ καθ' ὅλης τῆς οἰκουμένης ἐπιφανεῖς αὐτοὺς γενέσθαι· καὶ εἰσέτι καὶ νῦν παρὰ πᾶσι τοῖς ἔθνεσιν, Ἕλλησί τε καὶ βαρβάροις, δοξάζεσθαι αὐτῶν καὶ τοὔνομα καὶ τὴν διδασκαλίαν. Μόνοι οὖν οὗτοι ἅγιοι κληθήσονται οἱ καταξιωθέντες γραφῆναι εἰς τὴν αἰώνιον ζωὴν τῆς ἐπουρανίου Ἱερουσαλήμ. Καὶ τούτοις παράθες τοῦ Σωτῆρος ἡμῶν τὴν πρὸς τοὺς ἀποστόλους φωνήν, δι' ἧς εἴρηται, «Ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς.[1]»

Στίχ. δ'-ς'. «Ὅτι ἐκπλυνεῖ Κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιών, καὶ τὸ αἷμα Ἱερουσαλὴμ ἐκκαθαριεῖ ἐκ μέσου

---

1. Λουκ. 10, 20.

αὐτῶν ἐν πνεύματι κρίσεως καὶ πνεύματι καύσεως. Καὶ ἥξει, καὶ ἔσται πᾶς τόπος τοῦ ὄρους Σιών, καὶ πάντα τὰ περικύκλῳ αὐτῆς σκιάσει νεφέλη ἡμέρας, καὶ ὡς καπνοῦ, καὶ ὡς φωτὸς καιομένου νυκτός, πάσῃ τῇ δόξῃ σκεπασθήσεται. Καὶ ἔσται εἰς σκιὰν ἀπὸ καύματος, καὶ ἐν σκέπῃ καὶ ἐν ἀποκρύφῳ, ἀπὸ σκληρότητος καὶ ὑετοῦ.»

Σαφῶς γὰρ τὸ λουτρὸν τῆς παλιγγενεσίας, ὃ καὶ διὰ τῶν ἔμπροσθεν ἐδήλου λέγων· «Λούσασθε, καὶ καθαροὶ γένεσθε», καὶ νῦν ἐπαγγέλλεται. Λέγει δὲ ταῦτα περὶ τῶν κεκοινωνηκότων μὲν τῇ κατὰ τοῦ Σωτῆρος μιαιφονίᾳ, μικρὸν δὲ ὕστερον μεταβαλόντων καὶ γνωρισάντων αὐτοῦ τὸ Εὐαγγέλιον. Καὶ θυγατέρας Σιὼν ἐπιφέρει, τὰς ἐν τῇ ἔμπροσθεν περικοπῇ κατηγορηθείσας, ἐν τῷ λέγεσθαι· «Ἀνθ' ὧν ὑψώθησαν αἱ θυγατέρες Σιών, καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ», καὶ τὰ τούτοις ἑπόμενα. Αἷμα δὲ Ἱερουσαλὴμ θαυμαστῶς ἀποκαλεῖ τὴν κατὰ τοῦ Σωτῆρος προαχθεῖσαν ἐν αὐτῇ μιαιφονίαν, διὰ τὸ ταύτην αἰτίαν γεγονέναι τῆς ἐσχάτης ἐρημίας τοῦ τόπου. Καὶ θέα εἰ μὴ σφόδρα σύμφωνός ἐστιν ὁ παρὼν λόγος τῇ εὐαγγελικῇ μαρτυρίᾳ περὶ τοῦ Σωτῆρος ἡμῶν, ἣ ἐδίδασκε λέγουσα· «Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί.[1]» Τὸ γάρ, «ἐν πνεύματι κρίσεως καὶ πνεύματι καύσεως» τοῦ, «ἐν Πνεύματι ἁγίῳ καὶ πυρί», οὐδὲν διαφέρει. Καὶ οἱ πυρωτικοὶ δὲ λόγοι, καθαπτόμενοι αὐτῶν, κάθαρσιν ἐνεποίουν τῶν ἁμαρτημάτων. Καὶ ὁ Σωτὴρ ὁμοίως ἐν τῷ Εὐαγγελίῳ βαπτίσειν λέγεται οὐχὶ ὕδατι, ἀλλ' ἐν Πνεύματι καὶ ἐν πυρί. Τοῦτο γὰρ ἐδίδαξεν ὁ Ἰωάννης, περὶ μὲν ἑαυτοῦ εἰπών, «Ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι·[2]» περὶ δὲ τοῦ Σωτῆρος· «Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί.[3]»

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Στίχ. α'. «Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ Ἀγαπητοῦ μου, τῷ ἀμπελῶνί μου. Ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι, ἐν τόπῳ πίονι.»

Διὰ τοίνυν τῆς ᾠδῆς ταύτης τὰς εἰς τὸν ἀμπελῶνα ἑαυτοῦ ἐργασίας καταριθμεῖται, καὶ τοῦ ἀμπελῶνος τὴν μοχθηρίαν ἐλέγχει· θεσπίζει δὲ καὶ τὰ μέλλοντα αὐτῷ συμβήσεσθαι. Λέγεται γοῦν ἐν κέρατι εἶναι, διὰ τὸ συστῆναι βασιλικὴν μητρόπολιν ἐν αὐτῇ τῇ Ἱερουσαλήμ· εἴωθε γὰρ ἡ Γραφὴ κέρατα τῆς βασιλείας ὀνομάζειν.

Στίχ. β'. «Καὶ φραγμὸν περιέθηκα καὶ ἐχαράκωσα, καὶ ἐφύτευσα ἄμπελον Σορήκ· καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ, καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ».

Περιέθηκεν οὖν αὐτῷ φραγμόν, δηλαδὴ τῷ παντὶ λαῷ, πάντως που ἀγγέλοις αὐτὸν περιφράξας. Ἐχαράκωσε δὲ καὶ ἄλλως αὐτόν,

1. Ματθ. 3, 11. 2. Ἰω. 1, 26. 3. Ἰω. 1, 33.

προφήταις καὶ ἁγίοις ἀνδράσιν ὑποστηρίξας. Ἀλλὰ καὶ κατεφύτευσεν αὐτὴν ἄμπελον Σορήκ· ἣν ὁ Σύμμαχος ἡρμήνευσεν ἐκλεκτήν. Τίς δὲ ἦν αὕτη ἡ ἄμπελος ἢ πάντως που ἡ θεόπνευστος Γραφή, καὶ ὁ τῆς θεοσεβείας λόγος, ἢ καὶ αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος, ὁ ἐν Εὐαγγελίοις περὶ ἑαυτοῦ διδάξας καὶ εἰπών, «Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ Πατήρ μου ὁ γεωργός;[1]» Ἐξ αὐτοῦ γὰρ καὶ ὁ πρῶτος λαὸς τὴν τῶν θείων μαθητῶν [μαθημάτων] φυτείαν εἴληφε. Προλήνιον οὖν ὀρύττει ἐν αὐτῷ τὸ πρὸ τοῦ ναοῦ θυσιαστήριον.

Στίχ. γ'-ς'. «Καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, καὶ ἐποίησεν ἀκάνθας. Καὶ νῦν οἱ ἐνοικοῦντες ἐν Ἱερουσαλήμ, καὶ ἄνθρωπος τοῦ Ἰούδα, κρίνατε ἐν ἐμοί, καὶ ἀνὰ μέσον τοῦ ἀμπελῶνός μου. Τί ποιήσω ἔτι τῷ ἀμπελῶνί μου, καὶ οὐκ ἐποίησα αὐτῷ; διότι ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας. Νῦν οὖν ἀναγγελῶ ὑμῖν τί ποιήσω τῷ ἀμπελῶνί μου· Ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγήν· καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα· καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τιμηθῇ, οὐδ' οὐ μὴ σκαφῇ, καὶ ἀναβήσεται εἰς αὐτόν, ὡς εἰς χέρσον, ἄκανθα. Καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν.»

Νεφέλαις δηλῶν τοὺς προφήτας· ἀλλὰ καὶ διὰ τὸ καθαρὸν αὐτῶν καὶ διαυγὲς τοῦ βίου, νεφέλας αὐτοὺς καλεῖ· διὰ τούτων γὰρ ὁ οὐράνιος αὐτοῖς ἐχορηγεῖτο λόγος· οἷς ἀπειλεῖ ὁ Κύριος ἀποστήσειν αὐτῶν.

Στίχ. ζ'. «Ἔμεινα τοῦ ποιῆσαι κρίσιν, ἐποίησε δὲ ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν.»

Κραυγὴν γὰρ ἀφίησι πᾶσα πρὸς θάνατον ἁμαρτία, βοώσης τῆς πράξεως αὐτῆς· οὕτω γοῦν εἴρηται τό, «Φωνὴ αἵματος Ἄβελ τοῦ ἀδελφοῦ σου βοᾷ πρός με.[2]»

Στίχ. ι'. «Οὗ γὰρ ἐργῶνται δέκα ζεύγη βοῶν, ποιήσει κεράμιον ἕν· καὶ ὁ σπείρων ἀρτάβας ἕξ, ποιήσει μέτρα τρία.»

Σπανίους τινὰς τοὺς ἐν αὐτοῖς εὑρεθησομένους σωτηρίας ἀξίους αἰνίττεται.

Στίχ. ια'. «Οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωΐ, καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει.»

Τῆς ἀποστολικῆς λέξεως τὴν ἐξήγησιν τὸ παρὸν τοῦτο μέρος τῆς προφητείας περιέχει· διότι γάρ, φησί, «Μέθυσοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι·[3]» τουτέστιν οἱ ἄρτι τὴν ἐκ τῆς νεότητος ἄνοιαν ἀποθέμενοι, καὶ ἀντὶ τῆς τοῦ λόγου δυνάμεως εὐτόνως καταπαλαίειν τὰ πάθη, ἀνατρεπόμενοι παρ' αὐτῶν, καὶ οἷόν τινα μέθην τὰ πάθη μεταδιώκοντες. Εἰκὸς δὲ τοὺς Ἰουδαίους καὶ μετὰ τὴν κατὰ τοῦ Σωτῆρος ἡμῶν τόλμαν, ὅτε ἐχρῆν αὐτοὺς πενθεῖν διὰ τὴν μέλλουσαν καταλήψεσθαι αὐτοὺς ὀργήν, κραιπάλαις, καὶ οἰνοφλυγίαις, καὶ

---

1. Ἰω. 15, 1. 2. Γεν. 4, 10. 3. Α' Κορ. 6, 10.

τῇ ἄλλῃ τρυφῇ σχολάζειν. Διὸ ταλανίζονται ὑπὸ τοῦ λόγου, ὡς ἀνεπαισθήτως ἔχοντες τῶν ὅσον οὔπω καταληψομένων αὐτοὺς κακῶν.

Στίχ. ιβ'. «Μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου, καὶ τυμπάνων τὸν οἶνον πίνουσι· τὰ δὲ ἔργα Κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσιν.»

Ἀλλ' οὐδὲ τοῖς θείοις προσέχειν λογίοις, καὶ τὴν ἐκεῖθεν ὠφέλειαν καρποῦσθαι οἷόν τε τοὺς κωμαστικὸν βίον ἀσπαζομένους, καὶ μέθῃ καὶ κορδακισμοῖς κεχρημένους.

Στίχ. ιγ'. «Τοίνυν αἰχμάλωτος ὁ λαός μου ἐγενήθη, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν Κύριον, καὶ πλῆθος ἐγενήθη νεκρῶν διὰ λιμὸν καὶ δίψος ὕδατος.»

Ῥητῶς μὲν οὖν ἐπῆλθεν αὐτοῖς ταῦτα καθ' ἱστορίαν ἐπὶ Οὐεσπασιανοῦ καὶ Ἀδριανοῦ Ῥωμαίων αὐτοκρατόρων· καὶ κατὰ διάνοιαν δὲ στερηθέντες τοῦ λογικοῦ ἄρτου τῆς ζωῆς, ἔτι καὶ νῦν τροφῆς ἐπουρανίου τὰς ψυχὰς λιμώττουσι κατὰ τὴν φάσκουσαν περὶ αὐτῶν Γραφήν· «Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν.[1]» Καὶ τὸν ἀρχηγὸν δὲ τῆς ζωῆς ἀπαρνησάμενοι, τῷ τῆς ψυχῆς θανάτῳ περιπεπτώκασι· τόν τε λυτρωτὴν τῆς τῶν ψυχῶν αἰχμαλωσίας ἀποστραφέντες, τὸν ἐλθόντα κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, τοῖς νοητοῖς πολεμίοις παρεδόθησαν, καὶ τὴν ψυχῶν ὑπέμειναν αἰχμαλωσίαν.

Στίχ. κ'. «Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλόν, καὶ τὸ καλὸν πονηρόν· οἱ τιθέντες τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος· οἱ τιθέντες τὸ πικρὸν γλυκύ, καὶ τὸ γλυκὺ πικρόν.»

Καὶ ταῦτα δὲ τοῖς προλεχθεῖσιν ἕπεται ὡς ἐπὶ Χριστοῦ. Πολλῶν γὰρ ἐπακούσαντες διδασκαλικῶν λόγων τοῦ Σωτῆρος, τῶν τε μετ' αὐτὸν ἀποστόλων αὐτοῦ, οὐδὲν μὲν πρὸς ὠφέλειαν ἐκαρποῦντο· τῇ δὲ ἀπιστίᾳ ἐπιμένοντες καὶ τοῖς τῶν ἔργων ἀτοπήμασι, προσθήκας ἐποιοῦντο τῶν ἁμαρτημάτων. Καὶ ἄλλως δὲ ταῦτα τοῖς ἀνωτέρω κατηγορηθεῖσιν ἁρμόζει· οἱ γὰρ αὐτοὶ τὸν ὑγιῆ διαστρέφοντες λόγον, καὶ τὸ φῶς τοῦ σωτηρίου Εὐαγγελίου βλασφημοῦντες, πικρούς τε εἶναι τοὺς γλυκεῖς καὶ τροφίμους τοῦ Σωτῆρος ἡμῶν λόγους ἡγούμενοι, ἀνάπαλιν τοὺς μοχθηροὺς καὶ πονηροὺς λογισμοὺς ὡς ἀγαθοὺς προσεδέχοντο, καὶ τὸ σκότος τῆς πλάνης τὸ συνέχον αὐτῶν τὰς ψυχάς, ἐν χώρᾳ φωτὸς ἐτίθεντο· τῆς τε κακίας τὴν πικρὰν καὶ δηλητήριον φύσιν, ὥσπερ τινὰ γλυκερὰν ἡδονὴν κατεδίωκον. Ἴδοις δ' ἂν εἰσέτι καὶ νῦν τοιούτους τοὺς τῶν Ἰουδαίων παῖδας, τὴν μὲν ἀλήθειαν τοῦ Εὐαγγελίου ἀποστρεφομένους, τοὺς δὲ γραώδεις μύθους καὶ τὸ τῆς ἀγνοίας σκότος μεταδιώκοντας. Ταύτῃ τῇ προαιρέσει ἠρνήσαντο μὲν τὸν Χριστόν, ᾐτήσαντο δὲ τὸν Βαραββᾶν, μετὰ λῃστῶν καὶ κακούργων τὴν ἑαυτῶν θέμενοι μερίδα. Ἀλλὰ καὶ τοῖς

1. Ψαλμ. 58, 7.

ἀθέοις καὶ ἀσεβέσιν ἔθνεσι συναγελαζόμενοι, τοὺς μὲν εἰδωλολάτρας ἀποδέχονται, τὸν δὲ σεμνὸν καὶ σώφρονα τοῦ Χριστοῦ λαὸν ἀποστρέφονται καὶ διώκουσιν.

Στίχ. κα', κβ'. «Οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες. Οὐαὶ οἱ ἰσχύοντες ὑμῶν, οἱ πίνοντες τὸν οἶνον, καὶ οἱ δυνάσται οἱ κεραννύντες τὰ σίκερα.»

Καθ' ἑτέραν δὲ ἐπιβολὴν μὴ προσέχοντες οἱ τῶν Ἰουδαίων καθηγηταὶ τοῖς τοῦ Σωτῆρος λόγοις, κακοῖς διδασκάλοις αὐτοὶ ἑαυτοῖς ἐχρήσαντο, ὡς συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες. Ἔπειτα ὡς ἰσχύοντες καὶ πολλὰ δυνάμενοι ἐν τῷ λαῷ, μέθῃ μὲν τὴν ἑαυτῶν ψυχὴν περιέβαλλον, τῷ τῆς ἀγνοίας σκότῳ καρούμενοι. Ἤδη δὲ καὶ ἑτέροις ποτὸν δεδολιωμένον ἐκίρνων, τὸ καλούμενον σίκερα· ὅπερ οἱ λοιποὶ ἑρμηνευταὶ μέθυσμα ὠνόμασαν· καὶ τοῦτο ἔπραττον καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ.

Στίχ. κδ'. «Ἡ ῥίζα αὐτῶν ὁ χοῦς ἔσται, καὶ τὸ ἄνθος αὐτῶν ὡσεὶ κονιορτὸς ἀναβήσεται.»

Ἡ ὡραιότης, φησί, τοῦ σώματος, καὶ ἡ τοῦ πλούτου δόξα καὶ τοῦ παντὸς ἔθνους ἡ εὐπρέπεια, ὅσον οὐδέπω κονιορτοῦ δίκην διασκεδασθήσεται. «Οὐ γὰρ ἠθέλησαν τὸν νόμον Κυρίου Σαβαώθ· ἀλλὰ τὸ λόγιον τοῦ ἁγίου Ἰσραὴλ παρώξυναν.» Ποῖον νόμον, ἢ τάχα περὶ οὗ ἀνωτέρω ἔλεγεν, «Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ;» Ἐπειδή, φησίν, οὐκ ἠβουλήθησαν τὸν νόμον τῆς καινῆς Διαθήκης· ἀλλὰ τὸν ζῶντα τοῦ Θεοῦ Λόγον παρώξυναν.

Στίχ. κε'. «Τούτου χάριν ἐθυμώθη Κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ.»

Ὃν αὐτὸς μὲν ἠβούλετο οἰκεῖον αὐτοῦ λαὸν εἶναί τε καὶ χρηματίζειν· οἱ δ' οὐκ ἐβούλοντο. Σημαίνει δὲ διὰ τούτων πολεμίων ἔφοδον καὶ πλῆθος τῶν ἀναιρουμένων· ὡς καὶ αὐτὰ πληροῦσθαι τὰ ὄρη νεκρῶν σωμάτων, καὶ τὴν χώραν ἅπασαν τῶν θνησιμαίων αὐτῶν μεστὴν γενέσθαι. Πάντα δὲ ταῦτα αὐτοῖς συμβήσεται ἐκ τῆς τῶν πολεμίων ἐφόδου· ἣν οὐκ ἐξ αὐτῶν ἐποιήσαντο· Θεὸς δὲ ἦγεν αὐτούς, μονονουχὶ σύρων καὶ ἕλκων ἐπὶ τὴν τῶν κατηγορηθέντων πολιορκίαν.

Στίχ. κς'. «Ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή· τοιγαροῦν ἀρεῖ σύσσημον τοῖς ἔθνεσι τοῖς μακρόθεν, καὶ συριεῖ αὐτοὺς ἀπ' ἄκρου τῆς γῆς.»

Ὑψηλὴ γοῦν ἡ τοῦ Θεοῦ χεὶρ κατ' αὐτῶν ὑπῆρχε διὰ τὸ ἐπίμονον αὐτῶν τῆς ἀπιστίας. Τὸ γὰρ δὴ χεῖρον, ὅτι οὐδὲ τούτων γινομένων, φησί, ἐπιεικέστεροι γεγόνασιν, ἀλλὰ τοῖς αὐτοῖς ἐπιμένουσιν.

Στίχ. λ'. «Καὶ βοήσει δι' αὐτοὺς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὡς φωνὴ θαλάσσης κυμαινούσης.»

Ἐνταῦθα οὖν προσήκει ἐπιστῆσαι τὸν νοῦν, ὡς τὸ πλῆθος τῶν πολεμίων φωνῇ θαλάσσης ἐξομοιοῖ.

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Στίχ. α'. «Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς.»

Διὰ τί μὴ ἔτι ζῶντος Ὀζίου τὴν προκειμένην ὄψιν ἑώρα, ἀλλ' ἐν τῷ ἔτει ᾧ ἀπέθανεν; οἶμαι, ὅτι, διὰ τὸ ἐπαρθῆναι αὐτόν, καὶ τὴν μηδαμῶς προσήκουσαν αὐτῷ ἐγχειρῆσαι θυσίαν προσενεγκεῖν, ὥστε καὶ τὴν λέπραν ἐπανθῆσαι τῷ προσώπῳ αὐτοῦ, εἰκὸς ἦν ἀνακεχωρηκέναι τὴν χάριν τοῦ Θεοῦ πάντα τὸν χρόνον τῆς αὐτοῦ ζωῆς, καθ' ὃν λελεπρωμένος κατῴκει τὴν Ἱερουσαλήμ. Λεπροῦ γὰρ βασιλέως οἰκοῦντος τὸν τόπον, εἰκότως ἀνακεχωρήκει ἡ δόξα τοῦ Θεοῦ. Ἐπεὶ δὲ ἐτελεύτα μὲν ἐκεῖνος, Ἰωάθαν δὲ ὁ υἱὸς αὐτοῦ τὴν βασιλείαν διεδέξατο, περὶ οὗ γέγραπται, «Καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς Κυρίου·[1]» εἰκότως κατ' αὐτὸν ἐκεῖνον τὸν ἐνιαυτὸν ἐν ᾧ ὁ λελεπρωμένος μετηλλάχει τὸν βίον, ὁ δὲ εὐάρεστος τῷ Θεῷ τὴν βασιλείαν διεδέξατο, αὖθις ἡ δόξα Κυρίου ἐπανήει ἐπὶ τὸν οἶκον, δηλαδὴ τὸν ναὸν Κυρίου. Ὃ δὴ καὶ ἱστορεῖ ὁ προφήτης λέγων, «Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου· καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ.» Οἶμαι δὲ καὶ διὰ τούτων παρίστασθαι τίς ποτ' ἦν ὁ διὰ πάσης τῆς προφητείας δηλούμενος Κύριος Σαβαώθ. Τίς δὲ οὗτος; Ὁ Μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ὑποκαταβαίνων τοῦ ἰδίου μεγέθους, σμικρύνων δὲ ἑαυτόν, ἐξ ἐκείνου ὁρατὸν καὶ καταληπτὸν ἀνθρώποις ποιεῖ. Ὤφθη καὶ τῷ Ἀβραάμ, ἡνίκα εἶπεν αὐτῷ· «Σπέρματί σου δώσω τὴν γῆν ταύτην.[2]» Ἐπιλέγει οὖν ἡ Γραφή· «Καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον τῷ Κυρίῳ τῷ ὀφθέντι αὐτῷ·[3]» καὶ πάλιν «Ἀβραὰμ ἐγένετο ἐτῶν ἐνενήκοντα, καὶ ὤφθη αὐτῷ Κύριος·[4]» καὶ πάλιν· «Καὶ ὤφθη Κύριος τῷ Ἀβραὰμ πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ.[5]» Καὶ περὶ τοῦ Ἰσαὰκ εἴρηται· «Καὶ ἐπορεύθη, καὶ ἀνέβη ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου, καὶ ὤφθη Κύριος αὐτῷ ἐν τῇ νυκτὶ ἐκείνῃ·[6]» καὶ αὖθις ἐπὶ τοῦ Ἰακὼβ εἴρηται· «Ἐγώ εἰμι ὁ Θεός, ὁ ὀφθείς σοι·» ἀλλὰ καὶ ὅτε ἦλθεν «εἰς Βαιθὴλ αὐτὸς καὶ ὁ λαὸς ὁ μετ' αὐτοῦ, ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ οἴκου Βαιθήλ· ἐκεῖ γὰρ αὐτῷ ἐφάνη ὁ Θεός.[7]» Καὶ πάλιν εἴρηται· «Ὤφθη δὲ ὁ Θεὸς τῷ Ἰακὼβ καὶ ἔτι ἐν Λουζᾶ·[8]» καὶ ἄλλοτε εἶπεν αὐτῷ ἐν σχήματι ἀνθρώπου ὀφθείς· «Οὐκ ἔτι κληθήσεται τὸ ὄνομά σου Ἰακώβ· ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου·[9]» ὅτε καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου «Εἶδος Θεοῦ» εἰπών· «Εἶδον γὰρ Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή.[10]» Καὶ Μωϋσῆς

---

1. Δ' Βασ. 15, 34. 2. Γεν. 12, 7. 3. Γεν. 12, 7. 4. Γεν. 17, 1. 5. Γεν. 18, 1. 6. Γεν. 26, 23-24. 7. Γεν. 35, 7. 8. Γεν. 48, 3. 9. Γεν. 32, 28. 10. Γεν. 32, 30.

δὲ τὸν χρηματίζοντα αὐτῷ Θεὸν ἱκέτευσε λέγων· «Εἰ εὕρηκα χάριν ἐνώπιόν σου, ἐμφάνισόν μοι σεαυτόν· γνωστῶς ἴδω σε.[1]» Ὁ δὲ ἀπεκρίνατο αὐτῷ λέγων· «Καὶ τοῦτόν σοι τὸν λόγον ὃν εἴρηκας ποιήσω· εὕρηκας γὰρ χάριν ἐνώπιόν μου.[2]» Ἀλλὰ καὶ ὁ Ἰεζεκιὴλ τὸν ἐπὶ τῶν χερουβὶμ καθήμενον εἶδεν, ὡς ὅρασιν ἀνθρώπου, ἀπὸ τῆς ὀσφύος αὐτοῦ καὶ ἕως κάτω πῦρ, καὶ ἀπὸ τῆς ὀσφύος αὐτοῦ καὶ ἕως ἄνω ὑπέρ, ὅρασιν ἠλέκτρου. Δι' ὧν ἁπάντων μανθάνομεν οὐχ ὁμοίας τὰς ὀπτασίας γεγενῆσθαι τοῖς προλεχθεῖσιν, ἀλλὰ διαφόρους· τῷ μὲν γὰρ Μωϋσῇ εἴρητο· «Οὐ δυνήσῃ ἰδεῖν τὸ πρόσωπόν μου· οὐ γὰρ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου, καὶ ζήσεται·[3]» τὸ γὰρ πρόσωπον τοῦ Θεοῦ Λόγου καὶ ἡ θεότης τοῦ Μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ θνητῇ φύσει οὐκ ἂν γένοιτο καταληπτή· καὶ τῷ Ἰεζεκιὴλ δὲ ἡ τοῦ Λόγου δόξα δι' αἰνιγμάτων ἐθεωρεῖτο· τῷ δὲ Ἀβραὰμ ἐσχηματισμένος ἑωρᾶτο ἐν ἀνθρώπου μορφῇ, ὡς καὶ ὑπὸ τὴν δρῦν γενέσθαι, καὶ τοὺς πόδας ἀπονίψασθαι, καὶ τραπέζης κοινωνῆσαι· ὁμοίως καὶ ἐπὶ τοῦ Ἰακὼβ ἄνθρωπος εἰσῆκται παλαίων, ὃν ἡ μὲν Γραφὴ ἄνθρωπον ὀνομάζει, αὐτὸς δὲ ὁ χρηματίζων, «Οὐ κληθήσεται τὸ ὄνομά σου», φησίν, «Ἰακώβ· ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου, ὅτι ἐνίσχυσας μετὰ Θεοῦ·[4]» ὅθεν καὶ Ἰακὼβ ἔλεγεν· «Εἶδον γὰρ Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή.[5]» Ὁ δὲ παρὼν προφήτης ἰδεῖν καὶ αὐτὸς μαρτυρεῖται τὴν δόξαν αὐτοῦ. Οὐκοῦν τῆς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ δόξαν διὰ τῶν προκειμένων ἑώρακεν, οὐ πάντως σαρκὸς ὀφθαλμοῖς, τοῖς δὲ τῆς διανοίας, πεφωτισμένοις ὑπὸ τοῦ ἁγίου Πνεύματος· ὡς γὰρ οἱ τοῦ σώματος ὑπὸ τῆς ἔξωθεν χορηγουμένης τοῦ φωτὸς αὐγῆς συνεργοῦνται εἰς τὸ βλέπειν τὰ αἰσθητά, τὸν αὐτὸν τρόπον τὰ τῆς κεκαθαρμένης ψυχῆς ὄμματα ὑπὸ νοεροῦ φωτὸς καταυγαζόμενα, τὰ θεῖα κατοπτεύειν δύναται. Διὸ καὶ ὁ Σωτὴρ τοῦτ' ἐδίδασκε· «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.[6]»

Στίχ. β'. «Καὶ σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί.»

Ἀσώματοί τινες θεῖαι καὶ ὑπερκόσμιοι δυνάμεις, ἃς καὶ ὁ Δανιὴλ ἐδήλου λέγων, «Χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ.[7]» Δύο μὲν εἶναι τὰ σεραφὶμ ἐντεῦθεν ἐνόμισαν ἄλλοι· ἐγὼ δέ, ἐπιστήσας τῇ διανοίᾳ τῆς λεγούσης Γραφῆς κύκλῳ αὐτοῦ τὰ σεραφὶμ ἑστάναι, ἡγοῦμαι ταῦτα στεφάνου δίκην πανταχόθεν ὥσπερ μέγαν βασιλέα δορυφοροῦντα. Ἓξ δὲ πτέρυγες τῷ ἑνὶ λέγονται προσπεφυκέναι, τῷ ἕκαστον κεκοσμῆσθαι, ὥσπερ πτέρυξιν, ἐμφύτοις ἀρεταῖς καὶ μετεωροπόροις, αἷς διιπτάμενα δι' οὐρανοῦ καὶ αἰθεροφόροι φέρονται, νοηταῖς τισι

1. Ἔξ. 33, 13. 2. Ἔξ. 33, 14. 3. Ἔξ. 33, 20. 4. Γεν. 32, 28. 5. Γεν. 32, 30. 6. Ματθ. 5, 8. 7. Δαν. 7, 10.

χρώμενα ἐνεργείαις, πραγμάτων τινῶν ἀρρήτων ἡμῖν ἀποτελεστικαῖς. Ὡς γὰρ ἐν ἀνθρώποις οἱ ἅγιοι τοῦ Θεοῦ χαρισμάτων μετεῖχον κρειττόνων, ὡς προφητεύειν τὰ μέλλοντα, καὶ νόσους ἰᾶσθαι, καὶ νεκροὺς ἀνιστᾶν, καὶ γλώσσαις λαλεῖν, σοφίας τε καὶ γνώσεως μετέχειν· ἢ καὶ ὥσπερ κατὰ τὸ σῶμα φυσικοῖς αἰσθητηρίοις κεχρήμεθα τὸν ἀριθμὸν πέντε, οὕτω που τάχα τὴν τῶν ἀγγέλων φύσιν εἰκός, δυνάμεσι θείαις τισὶ καί τινων παραδόξων ἐνεργητικαῖς, ἡμῖν δὲ ἀγνώστοις, κεχρῆσθαι· ἃς δὴ πτέρυγας ὁ λόγος ὠνόμασεν· ἐπεὶ καὶ περὶ τῶν ἀνέμων εἴρηται· «Ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων·[1]» οὐ πάντως ἐκπιπτόντων ἡμῶν ἐπὶ τὰ σωματικὰ σχήματα, ὡς τῶν ἀνέμων ὀρνέων δίκην πτερυσσομένων.

«Καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τὸ πρόσωπον, καὶ ταῖς δυσὶ κατεκάλυπτον τοὺς πόδας, καὶ ταῖς δυσὶν ἐπέταντο.» Τὸ πρόσωπον τοίνυν ἐκάλυπτον, οὐ τὸ τοῦ Κυρίου, ὡς ἂν οἰηθείη τις, ἀλλὰ τὸ ἑαυτῶν· ὡς μὴ τολμᾶν ἀτενὲς ἀφορᾶν εἰς τὸ θεωρούμενον. «Διὸ οὐδεὶς ἔγνω τὸν Υἱόν, εἰ μὴ μόνος ὁ γεννήσας αὐτὸν Πατήρ.» Ἐκάλυπτον δὲ καὶ τοὺς πόδας, τὰ ἔσχατα τῆς οἰκείας πορείας καὶ ὡς ἂν εἴποι τις, τὰ βήματα τοῦ βίου τὰς πράξεις ἐπισκιάζοντα, μὴ ἀκαλύπτοις ποσὶ τῷ ἑαυτῶν παραστήκοιεν βασιλεῖ.

Στίχ. γ'. «Καὶ ἐκέκραγον ἕτερος πρὸς ἕτερον, Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ· πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ.»

Οὐ μίαν γὰρ ἠφίεσαν φωνήν, οὐδὲ ἀθρόως ὁμοῦ πάντα κοινῇ ταύτην ἀνέπεμπον, ἀλλ' ἕτερον πρὸς τὸ ἕτερον ἐμφαῖνον τὸ ἑαυτοῦ θαῦμα, καὶ τὴν ἔκπληξιν τὴν ἐπὶ τῷ θεωρουμένῳ· μᾶλλον δὲ ὑπερεξέπληττεν αὐτὰ ἡ ἀπὸ τῶν ὑψηλοτάτων ἐπὶ τὰ ταπεινὰ κατάβασις τοῦ Θεοῦ Λόγου. Ἐκέκραγον οὖν οὐχ ἅπαξ τὸν ἁγιασμὸν αὐτοῦ, ἀλλὰ καὶ πολλάκις· μᾶλλον δὲ εἰς ἀναρίθμητον καὶ εἰς ἄπειρον, καὶ εἰς ἀεὶ ὑπερεκπληττόμενα. Προγνώσει τοίνυν τοῦ μέλλοντος ὑπερεθαύμαζον τὰ σεραφίμ, ὃ δὴ καὶ ἀκολούθως τοῖς θεσπίσμασιν ἐτελεῖτο, μετὰ τὴν εἰς ἀνθρώπους τοῦ Σωτῆρος ἡμῶν παρουσίαν. Ἐξ ἐκείνου γὰρ ὡς ἀληθῶς πᾶσιν ἐγνώσθη τοῖς ἔθνεσι, καὶ εἰς πᾶσαν ἐκηρύχθη τὴν γῆν, οὐ μόνον ἡ γνῶσις, ἀλλὰ καὶ ἡ δόξα τῆς περὶ αὐτοῦ θεολογίας.

Στίχ. δ'. «Καὶ ἐπήρθη ὑπέρθυρον ἀπὸ τῆς φωνῆς, ἧς ἐκέκραγον, καὶ ὁ οἶκος ἐπλήσθη καπνοῦ.»

Αἰνίττεται τοίνυν ὁ λόγος, ὡς ἄρα, πληρουμένης τῆς γῆς τῆς δόξης αὐτοῦ, γυμνοῦσθαι ἔμελλεν ὁ ἐν ἐκείνῳ τῷ τόπῳ, ὡς καὶ τοῦ ὑπερθύρου ἀρθέντος, καταληφθήσεσθαι, καπνοῦ τε πλήρης ἔσεσθαι παραδοθεὶς πυρί· πυρὸς γὰρ σημεῖον ὁ καπνός. Ἠνίξατο τοίνυν διὰ τούτων ὁ λόγος, τὸν ἐπὶ τέλει κατειληφότα τὸν τόπον ἐμπρησμόν· μεθ' ὃν ἐπληρώθη πᾶσα ἡ γῆ τῆς δόξης Κυρίου· οὐκ ἔτι ἑνὸς οἴκου,

1. Ψαλμ. 103, 3.

μυρίων δὲ καθ' ὅλην τὴν οἰκουμένην πολὺ κρειττόνων ἐκείνου συστάντων.

Στίχ. εʹ. «Καὶ εἶπα· Ὦ τάλας ἐγώ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα τὰ χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ· καὶ τὸν βασιλέα Κύριον Σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου.»

Ὁμολογεῖ δὲ ἀκάθαρτος εἶναι οὐ τὴν ψυχήν, ἀλλ' οὐδὲ τὸ σῶμα· ἐπεὶ μηδεμίαν ἑαυτῷ ἀκάθαρτον πρᾶξιν συνῄδει· μόνα δὲ τὰ χείλη ἀκάθαρτα ἐσχηκέναι φησί, ὡς τοῦ λοιποῦ σώματος αὐτῷ καθαρεύοντος καὶ τῆς ψυχῆς, κατὰ τό, «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.[1]» Καὶ τὰ χείλη δὲ ἀκάθαρτα εἶχεν οὐκ ἄλλοθεν, ἢ ἀπὸ τῆς πρὸς τοὺς ἀκαθάρτους ὁμιλίας. Ἠναγκάζετο γάρ, ὡς εἰκός, ἀκαθάρτοις ἀνδράσι προσομιλῶν, ἄξια τῆς ἐκείνων φθέγγεσθαι μοχθηρίας, δι' ὧν ἐμολύνετο τὰ χείλη.

Στίχ. ϛʹ, ζʹ. «Καὶ ἀπεστάλη πρός με ἓν τῶν σεραφίμ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ εἶχεν ἄνθρακα πυρός, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου, καὶ ἥψατο τὰ χείλη μου. Καὶ εἶπε· Ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου.»

Τοιοῦτός ἐστιν ὁ ἄνθραξ τοῦ θυσιαστηρίου, τάχα που τοῦ φιλανθρώπου Κυρίου πληροῦντος τὸ ἑαυτοῦ θυσιαστήριον τοιούτων τινῶν σωτηρίων καὶ καθαρτικῶν ἀνθράκων. Διὸ λέλεκταί που· «Ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ.[2]» Καὶ ὁ Θεὸς δὲ αὐτὸς παρὰ Μωϋσῇ πῦρ καταναλίσκον εἴρηται· καὶ Σωτὴρ ἐν Εὐαγγελίοις βαπτίσαι ἐν Πνεύματι ἁγίῳ καὶ πυρὶ μεμαρτύρηται· διὰ τούτων ἁπάντων παιδεύοντος ἡμᾶς τοῦ λόγου μὴ ἄλλως δύνασθαί τινα τυχεῖν ἀφέσεως ἁμαρτημάτων ἢ διὰ τοῦ θείου πυρός. Εἰκότως οὖν καὶ ὁ τοσοῦτος προφήτης δι' ἄνθρακος πυρὸς καθαίρεται. Ποίας δὲ ἀνομίας καὶ ἁμαρτίας ἀφαιρεῖται ἢ ὧν τὰ χείλη αὐτοῦ πεπληρῶσθαι ὁμολογεῖ; Μετὰ δὲ τὴν τούτων κάθαρσιν, ἀκολούθως καὶ φωνῇ ἀξιοῦται τοῦ καθημένου ἐπὶ θρόνου, λεγούσης·

Στίχ. ηʹ. «Τίνα ἀποστελῶ; Καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; Καὶ εἶπα· Ἰδοὺ ἐγώ, ἀπόστειλόν με.»

Ἐδοκίμαζε δὲ ἄρα τοιαύτη φωνῇ μέσως ἀφειμένη τὴν τοῦ προφήτου προθυμίαν, ὡς ἂν τῆς ἀγαθῆς προαιρέσεως μισθὸν κτήσηται. Διὸ οὐ προστακτικῶς αὐτὸν ἐκέλευσεν ἀπιέναι· μέσως δὲ ἠρώτα, τίς εἴη ἕτοιμος τοῦτο πράττειν.

Στίχ. θʹ. «Καὶ εἶπε· Πορεύθητι, καὶ εἶπον τῷ λαῷ τούτῳ· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε.»

Τίνα δὲ βλέποντες βλέψουσι, καὶ τίνος ἀκοῇ ἀκούσονται, οὐ παρέστησεν· ἡμῖν καταλιπὼν σκοπεῖν ἐκ τῆς τοῦ λόγου ἀκολουθίας, λεγούσης ὅτι, Τοῦτον ὃν σὺ τεθέασαι Κύριον, καὶ ὃν τοῖς σοῖς ὀφθαλ-

1. Ματθ. 5, 8. 2. Ψαλμ. 17, 9.

μοῖς εἶδες, ὦ προφῆτα, τοῦτον καὶ ὁ λαὸς οὗτός ποτε ὄψεται· ἀλλὰ καὶ τῆς φωνῆς ἧς ἐπὶ τοῦ παρόντος ἀκήκοας, ἐπακούσεται καιρῷ τινι καὶ αὐτός, οὐ μὴν καὶ συνήσει, οὐδὲ γνώσεται, οὐδὲ βουλήσεται αὐτοῦ τὴν χάριν παραδέξασθαι. Σαφῶς δὲ διὰ τούτων τὴν εἰς ἀνθρώπους αὐτοῦ παρουσίαν ἐδήλου.

Στίχ. ι΄. «Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς.»

Ὁ μὲν γὰρ Σωτήρ, ἅτε φῶς ὑπάρχων, πάντων ἐφώτιζε τὰς ψυχάς· ὡς καὶ τυφλοῖς τὸ βλέπειν χαρίζεσθαι· οἱ δὲ τοὺς ὀφθαλμοὺς ἔμυον, ὥστε μὴ βλέπειν· καὶ οὕτω βλέποντες οὐκ ἔβλεπον. Ὅταν γάρ τις, ἐνατενίσας καὶ ἀκριβῶς θεασάμενος, ὑπερίδῃ, καὶ καταφρονήσῃ τοῦ ὁρωμένου, ἢ μύσῃ τὰ ὄμματα προσποιούμενος μὴ ἑωρακέναι, τότε βλέπων οὐκ εἶδε. Τὸ μὲν οὖν βλέψαι ὑπῆρξεν αὐτοῖς ἀπὸ τῆς χάριτος τοῦ ὀφθέντος· τὸ δὲ μὴ ἰδεῖν συμβέβηκεν ἀπὸ τοῦ αὐτοὺς μῦσαι τοὺς ἑαυτῶν ὀφθαλμούς, καὶ προσποιηθῆναι μὴ βλέπειν. Οὕτω δὲ καὶ ἀκοῇ ἀκούει τις, καὶ πάλιν οὐκ ἀκούει· ἐπειδὰν μὴ συνῇ τὰ λεγόμενα, ἢ ὅταν παρακούῃ καὶ καταφρονῇ τῶν λεγομένων. Συμβαίνει δὲ τοῦτο, ἐπειδάν τις τὰ ὦτα ἑαυτοῦ βαρύνῃ, ὥσπερ ἀποφράξας καὶ ἀποκωφώσας αὐτά. Ταῦτ' οὖν ἔσεσθαι περὶ τὸν τῶν Ἰουδαίων λαὸν ἡ φωνὴ τοῦ Κυρίου ἐθέσπισεν. Ἐπληροῦτο δὲ τὸ ἔργον ἐπὶ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας, καθ' ἥν, παρόντα αὐτὸν ὀφθαλμοῖς ὁρῶντες, οὐκ ἔβλεπον, καὶ διδάσκοντα τὰ μυστήρια τῆς βασιλείας οὐ συνῆκαν.

Στίχ. ια΄. «Καὶ εἶπα· Ἕως πότε, Κύριε; Καὶ εἶπεν· Ἕως ἂν ἐρημωθῶσι πόλεις», καὶ τὰ ἑξῆς.

Καὶ μέχρι τίνος παρατείνῃ τὸ ἀρρώστημα; Καὶ ἐρωτᾷ λέγων· «Ἕως πότε, Κύριε;» τί γὰρ ἔσται τέλος τῆς τοιαύτης αὐτῶν ἀβλεψίας; Σημαίνει οὖν διὰ τούτων τὴν ἐπελθοῦσαν πρώτην ὑπὸ Ῥωμαίων τῷ τόπῳ πολιορκίαν, μετὰ τὰ κατὰ τοῦ Σωτῆρος αὐτοῖς τολμηθέντα, καθ' ἣν τῶν Ἰουδαίων πλεῖσται πόλεις ἐπὶ αὐτοκράτορος Οὐεσπασιανοῦ δῃωθεῖσαι ἀφανεῖς παντελῶς κατέστησαν· ὡς μηδὲ μνήμην αὐτῶν μηδὲ ὄνομα περιλείπεσθαι. Οὕτω πως ἐρημίαν παντελῆ προαγορεύοντος τοῦ λόγου, ἐπληροῦτο δὲ καὶ αὕτη κατὰ τοὺς Ἀδριανοῦ χρόνους, καθ' οὓς δευτέραν ὑπομείναντες Ἰουδαῖοι πολιορκίαν, εἰς τοῦτο τὸ κακὸν περιέστησαν, ὡς νόμοις καὶ διατάγμασιν αὐτοκρατορικοῖς μηδὲ ἐξ ἀπόπτου τὴν ἐρημίαν τῆς ἑαυτῶν μητροπόλεως θεωρεῖν ἐπιτρέπεσθαι.

Στίχ. ιβ΄. «Καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους, καὶ οἱ καταλειφθέντες πληθυνθήσονται ἐπὶ τῆς γῆς. Καὶ ἔτ' ἐπ' αὐτῆς ἐστι τὸ ἐπιδέκατον.»

Σύμμαχος ἐξέδωκε· «Μακρὰν ποιήσει Κύριος τοὺς ἀνθρώπους.» Σημαίνει γὰρ ὁ λόγος διὰ τῆς τοιᾶσδε τοῦ, «μακρυνεῖ», ἑρμηνείας,

ἤγουν τοῦ, «μακρὰν ποιήσει», ἣν κατὰ τὸν αὐτὸν χρόνον ὑπέμειναν αἰχμαλωσίαν τὸ πλῆθος τοῦ Ἰουδαίων ἔθνους, καὶ τὸν διασκεδασμὸν ὃν διεσκεδάσθησαν φεύγοντες τὰς ἐπικειμένας αὐτοῖς συμφοράς. «Καὶ οἱ καταλειφθέντες δὲ πληθυνθήσονται ἐπὶ τῆς γῆς·» ἕτεροι ὄντες τῶν προτέρων. Τοσοῦτοι δὲ οὗτοι ἔσονται, ὡς, παραβαλλομένους αὐτοὺς τοῖς πρώτοις, πολλοστημόριον εἶναι νομίζεσθαι τοῦ ἐκείνων πλήθους.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Στίχ. α'-γ'. «Καὶ ἐγένετο ταῖς ἡμέραις Ἀχὰζ τοῦ Ἰωάθαμ, τοῦ υἱοῦ Ὀζίου βασιλέως Ἰούδα, ἀνέβη Ῥαασσὶν βασιλεὺς Ἀράμ, καὶ Φακὲε υἱὸς Ῥωμελίου βασιλεὺς Ἰσραὴλ ἐπὶ Ἱερουσαλήμ, πολεμῆσαι αὐτήν· καὶ οὐκ ἠδυνήθησαν πολιορκῆσαι αὐτήν. Καὶ ἀνηγγέλη εἰς τὸν οἶκον Δαυΐδ, λέγοντες· Συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραΐμ· καὶ ἐξέστη ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ. Καὶ εἶπε Κύριος πρὸς Ἡσαΐαν· Ἔξελθε εἰς συνάντησιν Ἀχάζ, σὺ καὶ ὁ καταλειφθεὶς Ἰασοὺβ ὁ υἱός σου.»

Ἔδει δὲ καὶ τὸν υἱὸν προφήτου, μὴ συνδιαφθαρέντα τῷ πλήθει, ἐναπομείναντα δὲ τῇ πατρικῇ διδασκαλίᾳ, μαθητεύεσθαι ἐξ ἐκείνου τῷ πατρί, διὰ τοῦ παρεῖναι αὐτῷ θαρσαλέως προσιόντι καὶ πράττοντι τὰ κελευόμενα.

Στίχ. δ'. «Καὶ ἐρεῖς αὐτῷ· Φύλαξαι τοῦ ἡσυχάσαι, καὶ μὴ φοβοῦ, μηδὲ ἀσθενείτω ἡ ψυχή σου ἀπὸ τῶν δύο ξύλων τῶν δαλῶν τῶν καπνιζομένων τούτων»,

οὐδαμῶς μὲν φῶς ἐχόντων, δαλῷ δὲ μόνον ἐσβεσμένῳ ἐοικότων. Τοιοῦτοι γάρ τινές εἰσιν οἱ δύο βασιλεῖς, ὧν ἐν φόβῳ καὶ ἀγῶνι καθέστηκας. Εἰ γὰρ καὶ τὰ μάλιστα ἡ παιδευτική μου δύναμις, ἣν ὀργὴν ἀποκαλεῖν εἴωθε τὰ λόγια, μετῆλθεν ὑμᾶς τὸ πρότερον, εἰς ἔλεγχον τῶν ὀνομαζομένων ὑμῶν θεῶν, οἷς ἐθαρσεῖτε μὲν αὐτοί, οἳ δὲ τὸ μηδὲν ὄντες ἀπηλέγχοντο, ὁπηνίκα ὑποχειρίους ὑμᾶς εἷλον οἱ πολέμιοι· ὅμως, ἐπεὶ μή ἐστιν ἡ ἐμὴ ὀργὴ παράνομος, ὡς ἀγαθὸς Θεὸς αὐτὸς καὶ τὸ πρῶτον ὑμᾶς ἐπὶ τῷ συμφέροντι παίσας· καὶ νῦν αὖθις πᾶν τὸ νόσημα ὑμῶν ἰάσομαι, ἐάν, ἐπιστραφέντες τῆς προτέρας πλάνης, μάθοιτε εὐσεβεῖν ἀληθῶς.

Στίχ. η'. «Ἀλλ' ἔτι ἑξήκοντα πέντε ἐτῶν ἐκλείψει ἡ βασιλεία Ἐφραΐμ ἀπὸ λαοῦ.»

Μανθάνει τοίνυν καὶ τοῦτο παρὰ τοῦ προφήτου ὁ Ἀχάζ· ὡς ὅσον οὔπω ἡ τῆς Σαμαρείας βασιλεία καταλυθήσεται, τοῦ ἐν αὐτῇ βασιλευομένου λαοῦ αὐτοῖς βασιλεῦσιν αἰχμαλώτου γενησομένου, καὶ εἰς Ἀσσυρίους ἀποικισθησομένου διὰ τὰς ὑπερβαλλούσας αὐτῶν ἀθεμίτους πράξεις. Εἰ δὲ καὶ τὸν χρόνον ποθεῖς, φησί, μαθεῖν, γίνω-

σκε, ὡς εἴσω ἑξήκοντα καὶ πέντε ἐτῶν, ἐπιβὰς ὁ τῶν Ἀσσυρίων βασιλεύς, πάντας αὐτοὺς λήψεται καὶ αἰχμαλώτους εἰς τὴν ἑαυτοῦ μετοικιεῖ χώραν. Ταῦτα τῷ προφήτῃ λέγειν ὁ Θεὸς προσέταττεν αὐτῷ τε τῷ Ἀχάζ, καὶ τῷ ὑπ' αὐτὸν λαῷ· παρορμῶν αὐτοὺς πρὸς αὐτὸν ἐπιστρέφειν, πιστεύειν τε καὶ μὴ ἀπιστεῖν τοῖς εἰρημένοις· τά γε μὴν ἑξήκοντα πέντε ἔτη φασὶν Ἑβραίων παῖδες εἰς τὸ ἀκριβὲς συμπληροῦσθαι, εἴ τις ἀριθμεῖν ἄρξηται τοὺς χρόνους ἀπὸ τοῦ πέμπτου καὶ εἰκοστοῦ ἔτους τῆς Ὀζίου βασιλείας.

Στίχ. ι', ια'. «Καὶ προσέθετο Κύριος λαλῆσαι πρὸς Ἀχάζ· Αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου τοῦ Θεοῦ σου εἰς βάθος, ἢ εἰς ὕψος.»

Ἀντὶ δὲ τοῦ, «εἰς βάθος, ἢ εἰς ὕψος», ὁ μὲν Σύμμαχος, «Αἴτησαι σεαυτῷ», φησί, «σημεῖον παρὰ Κυρίου Θεοῦ σου· βάθυνον εἰς ᾅδην, ἢ εἰς ὕψος ἄνω·» ὁ δὲ Ἀκύλας, «Ἐπερώτησον σεαυτῷ σημεῖον παρὰ Κυρίου τοῦ Θεοῦ σου· βάθυνον εἰς ᾅδην, μετεώρισον εἰς ὕψος·» ὁ δὲ Θεοδοτίων, «Αἴτησαι σεαυτῷ παρὰ Κυρίου τοῦ Θεοῦ σου· βάθυνον εἰς ᾅδην, ὕψωσον ἄνω.» Κελεύεται τοίνυν ὁ Ἀχὰζ σημεῖον αἰτῆσαι, δι' οὗ σωθήσεσθαι ἔμελλεν αὐτός τε καὶ ὁ σὺν αὐτῷ λαός. Ἐξουσίαν δὲ δίδωσιν αὐτῷ ὁ Θεὸς αἱρέσεως τοῦ σημείου, εἴτε ἐκ βάθους αἰτήσειεν, αὐτῷ δοθῆναι τοῦτο, ἐκ βάθους οὐχ ἑτέρου ἢ τοῦ κατὰ τὸν ᾅδην· εἴτε ἐξ ὕψους, καὶ αὐτῶν τῶν ἄνω μετεώρων.

Στίχ. ιβ'. «Καὶ εἶπεν Ἀχάζ, Οὐ μὴ αἰτήσω, οὐδ' οὐ μὴ πειράσω Κύριον.»

Ἀναίνεται δὴ οὖν, ἅτε δὴ ἀσεβὴς ὤν, καὶ μὴ πειθαρχῶν τῷ Θεῷ κελεύοντι, μὴ δὲ θέλων ἀπόπειραν λαβεῖν τῆς τοῦ Θεοῦ παραδοξοποιοῦ δυνάμεως.

Στίχ. ιγ'. «Καὶ εἶπεν· Ἀκούσατε δή, οἶκος Δαυΐδ· Μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις, πῶς Κυρίῳ παρέχετε ἀγῶνα;»

Ἐπὶ τῇ τοῦ ἀνδρὸς ἀπονοίᾳ σχετλιάσας ὁ προφήτης, ἐξ οἰκείου προσώπου τὰ ἑξῆς ἐπιλέγει. Ταῦτα δὲ ὁ μὲν Ἀκύλας τοῦτον ἡρμήνευσε τὸν τρόπον· «Ἀκούσατε δή, οἶκος Δαυΐδ· Μήτι ὀλίγον μοχθοῦν ἄνδρας, ὅτι μοχθεῖτε καί γε τὸν Θεόν μου;» Ὁ δὲ Θεοδοτίων· «Ἀκούσατε δή, οἶκος Δαυΐδ· Μὴ μικρὸν ἀγῶνα παρέχειν ἀνδράσιν, ὅτι ἀγῶνα παρέχετε καί γε τῷ Θεῷ μου;» Ὁ δὲ Σύμμαχος «Ἀκούσατε δή, οἶκος Δαυΐδ· Μὴ οὐκ αὔταρκες ὑμῖν κοποῦν ἀνθρώπους, ὅτι κοποῦτε ἔτι καὶ τὸν Θεόν μου;» Ἔστι δὲ ὁ νοῦς τῶν προκειμένων τοιοῦτος· Οὐ παύσεσθέ ποτε τοῖς τοῦ Θεοῦ ἀνθρώποις, λέγει δὴ τοῖς προφήταις, κόπους καὶ μόχθους, καὶ ἀγῶνας τοὺς ὑπὲρ τῆς ὑμετέρας σωτηρίας παρέχοντες; Ἀλλὰ δὴ καὶ αὐτῷ τῷ ἐμῷ Θεῷ, ὃν ὑμεῖς ἀγνοεῖτε καὶ ἀρνεῖσθε, τῇ πολυθέῳ προσέχοντες πλάνῃ, σκυλμοὺς καὶ κόπους, καὶ ἀγῶνας παρέχοντες, τῷ μὴ βούλεσθαι πιστεύειν αὐτοῦ ταῖς ἐπαγγελίαις, μηδὲ τὰ κεκελευσμένα πράττειν;

Στίχ. ιδ'. «Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον· Ἰδοὺ

παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ.»

Τί, φησίν, ἐστὶ τὸ σωτήριον σημεῖον, ὃ καὶ μὴ βουλομένοις ὑμῖν παρέξει; παράδοξόν τι θαῦμα ἔσται ποτὲ ἐν ἀνθρώποις, καὶ σημεῖον μηδέποτε ἀκουσθὲν ἐκ τοῦ παντὸς αἰῶνος. Παρθένος κυήσει δίχα τῆς πρὸς ἄνδρα κοινωνίας, καὶ Θεὸν γεννήσει, Σωτῆρα τοῦ τῶν ἀνθρώπων γένους. Τοῦτον αὐτὸν τὸν μέλλοντα λαγχάνειν τοιαύτης γεννήσεως Θεὸν σημεῖον ὑμῖν σωτήριον ἐντεῦθεν ἤδη ὁ Θεὸς παρέχει· ὃ δὴ καὶ εἰς βάθος μὲν δι' ἣν ποιήσεται μέχρις ᾅδου κατάβασιν, εἰς ὕψος δὲ διὰ τὴν εἰς οὐρανοὺς ἐπάνοδον. Σὺ οὖν, οἶκος Δαυΐδ, ἐντεῦθεν ἤδη κατὰ τὸν καιρὸν τῆς πρὸς τοὺς παρόντας πολεμίους συμβολῆς ἀνακαλοῦ αὐτόν, Ἐμμανουὴλ ἐπονομάζων, ὅπερ ἐκ τῆς ἑρμηνείας τὴν τοῦ λόγου παρίστησι δύναμιν· «μεθ' ἡμῶν» γὰρ «ὁ Θεός» δηλοῖ τοὔνομα. Πιστεύων οὖν δῆτα τῷ σημείῳ θάρσει, καὶ μηκέτι μὲν θεοὺς ἀνακαλοῦ Δαμασκοῦ, μηδὲ τοὺς μὴ ὄντας βοηθοὺς ἐπιγράφου σεαυτοῦ· τὸν δὲ Ἐμμανουήλ, ὡς ἂν Θεὸν ἀνθρώποις συνεσόμενόν ποτε, κάλει, θαρσῶν σὺν πεποιθήσει τελείᾳ, πιστεύων τῇ τῆς προσηγορίας δυνάμει.

Ἀλλ' ἐνταῦθα γενομένους ἡμᾶς ἐπιστῆσαι προσήκει, ὡς ἀκριβῶς ἡ προφητεία τῷ οἴκῳ Δαυΐδ προστάττει, καλέσαι τὸν ἐκ τῆς Παρθένου γενησόμενον Ἐμμανουήλ. Σὺ γὰρ αὐτός, ὁ οἶκος Δαυΐδ, ὁ νῦν τῷ προφήτῃ συμπαρών, καὶ τούτου ἀκροώμενος τῶν λόγων τὸν θεσπιζόμενον καλέσεις Ἐμμανουήλ· ὡς εἰ σαφέστερον ἔλεγεν, Ἐπικαλοῦ βοηθὸν ἑαυτῷ συνεχῶς, πολλάκις Ἐμμανουὴλ ὀνομάζων, καὶ ὡς συνόντα σοι Θεόν, τοῦτον ἀνακαλούμενος· εἰ γὰρ καὶ τὰ μάλιστα μακροῖς ὕστερον χρόνοις ἡ Παρθένος τοῦτον κυήσει καὶ τέξεται· ὅτε καὶ τὸ ἀποτέλεσμα γενήσεται τῆς προφητείας, ὅτε καὶ Σωτὴρ ἀναφανήσεται τοῦ παντὸς ἀνθρώπων γένους, τῷ ἑτέρῳ χρήσεται ὀνόματι τῆς σωτηρίας ἐπωνύμῳ· ἀλλ' ἐντεῦθεν ἤδη, σύ, ὁ οἶκος Δαυΐδ, ἀγαθὸν σύνθημα παρὰ Θεοῦ λαβών, ἀνακαλοῦ, τὸν Ἐμμανουὴλ ὀνομάζων· σωτηρίαν γάρ σοι πιστεύοντι καὶ πειθαρχοῦντι τοῖς λεγομένοις ἡ τοιαύτη προξενήσει κλῆσις. Εἰ μὲν οὖν εἴρητο, «Καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ», ἔδοξεν ἂν εἰς μέλλοντα χρόνον τὴν πᾶσαν παραπέμπειν προφητείαν· οὕτω γὰρ ἀμφιβολίαν εἶχεν ὁ λόγος· ἐπεὶ μὴ Ἐμμανουήλ, ἀλλὰ Ἰησοῦς κέκληται τὸ ὄνομα τοῦ ἐκ τῆς ἁγίας Παρθένου γεννηθέντος Σωτῆρος ἡμῶν, κατὰ τὸν τοῦ ἀγγέλου χρηματισμὸν φήσαντα τῷ Ἰωσήφ· «Μὴ φοβηθῇς παραλαβεῖν Μαρίαν τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου. Τέξεται δὲ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ.[1]» Εἰ οὖν Ἰησοῦς, ἀλλ' οὐχὶ Ἐμμανουὴλ τὸ ἐπώνυμον εἴληφεν ὁ Κύριος

1. Ματθ. 1, 20-21.

ἡμῶν καὶ Σωτήρ, ἐκ τῆς Παρθένου γεννηθεὶς κατὰ τὴν προφητείαν· πῶς ἂν ἔτι ἠλήθευσε τὸ λόγιον φῆσαν, «Καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ;» Διόπερ οὐκ εἴρηται μὲν οὕτως· οὐ γὰρ ἔμελλεν ὑπὸ πάντων τούτῳ καλεῖσθαι τῷ προσρήματι· ἀκριβῶς δὲ ὁ προφητικὸς λόγος, «Καὶ καλέσεις», περιέχει. Σὺ γὰρ αὐτός, ὁ οἶκος Δαυΐδ, δι' ὃν ταῦτα θεσπίζεται, σύνθημα σωτηρίας λαβὼν κατὰ τὸν καιρὸν τῆς πρὸς τοὺς πολεμίους συμβολῆς, Ἐμμανουὴλ κάλει, καὶ τῆς τῶν πολεμίων ἥττης ἐπιγράφου τοῦτον αἴτιον· ἐκ Παρθένου μὲν γεννησόμενόν ποτε, ἤδη δὲ Θεὸν ὄντα, καὶ μεθ' ἡμῶν ὄντα, ἐντεῦθεν δὲ ἤδη τὰ μεγάλα πρὸς σωτηρίαν χαριτούμενόν σοι. Πιστεύων οὖν τῷ θείῳ προστάγματι, συνεχῶς αὐτὸν ἐπικαλοῦ βοηθόν, Ἐμμανουὴλ ὀνομάζων. Τοιαύτης γάρ τινος ὥσπερ ἐπῳδῆς χρεία, πρὸς τὸ μὴ δαίμοσι βοηθοῖς προσέχειν· μόνον δὲ τὸν Ἐμμανουὴλ ἐπικαλεῖσθαι, καὶ δι' αὐτοῦ σῴζεσθαι. Ταῦτα μὴ νοήσαντές τινες ἐν τῷ κατὰ Ματθαῖον Εὐαγγελίῳ, ἀντὶ τοῦ, «καὶ καλέσεις», — «καὶ καλέσουσι», πεποιήκασιν· οὐχ οὕτως ἐχούσης τῆς προφητικῆς λέξεως· ἥ τε γὰρ Ἑβραϊκὴ φωνή, ταύτῃ τε καταλλήλως, καὶ ἅπαντες οἱ ἑρμηνευταί, «καλέσεις», ἐκδεδώκασιν.

Στίχ. ιε΄. «Βούτυρον καὶ μέλι φάγεται, πρὶν ἢ γνῶναι αὐτόν, ἢ προελέσθαι πονηρά, ἐκλέξασθαι τὸ ἀγαθόν.»

Εἰ γοῦν θαυμάζεις Θεὸν γεννώμενον ἀκούων, πίστευσον, ὅτι καὶ τροφῇ νηπίων χρήσεται. Οὐ γὰρ κατά τινα φαντασίαν ὀφθήσεται ἄνθρωπος, οὔτε τῷ δοκεῖν ἔσται τὸ γινόμενον· ἀλλ' ἀληθῶς τοιαύτην ὑπομενεῖ γέννησιν, ὡς κοινωνῆσαι νηπίων τροφῇ· βουτύρῳ λέγω καὶ μέλιτι ὁμοίως τοῖς λοιποῖς βρέφεσι. Τοῦτο μὲν οὖν ἀνθρώπινον· τὸ δὲ τῆς θεότητος αὐτοῦ παραστατικὸν ἐκεῖνο ἂν εἴη, ὅτι πρὶν ἢ γνῶναι αὐτόν, ἢ προελέσθαι πονηρά, ἐκλέξεται τὸ ἀγαθόν, καὶ τὰ ἑξῆς. Σημαίνει δὲ ὁ λόγος, ὅτι καὶ παρ' αὐτὴν τὴν γέννησιν διακριτικός τις ἦν, καὶ ἀγαθῶν ποιητικός, ὁ Ἐμμανουήλ, τὸ κριτικὸν ἐξ ἐκείνου κεκτημένος, καὶ ἀποσειόμενος μὲν τὸ κακόν· μόνον δὲ τὸ ἀγαθὸν ἀποδεχόμενος. Τοιαύτης γὰρ ἔσται, φησί, φύσεως καὶ ἐξ αὐτῆς τῆς γεννήσεως.

Στίχ. ιη΄. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, συριεῖ Κύριος μυίαις, αἳ κυριεύσουσι μέρος ποταμοῦ Αἰγύπτου, καὶ τῇ μελίσσῃ, ἥ ἐστιν ἐν χώρᾳ Ἀσσυρίων.»

Σημαίνει διὰ τούτων ὁ λόγος Αἰγυπτίων ἀνδρῶν ἔφοδον, οὕς φησι ἥξειν ἐπὶ τὴν Ἰουδαίαν χώραν οὐκ ἄνευ Θεοῦ, νεύματι αὐτοὺς τοῦ Κυρίου διεγείροντος, καὶ ὥσπερ συρίγματι παρορμῶντος αὐτοὺς ἀπὸ τῆς Αἰγύπτου· καὶ οὐκ ἀπὸ πάσης ταύτης, ἀλλ' ἐκ μέρους αὐτῆς. Ἢ καὶ διὰ τὸ λύθροις καὶ αἵμασι τοῖς κατὰ τὴν ἀκάθαρτον εἰδωλολατρείαν χαίρειν τοὺς Αἰγυπτίους, παραβάλλει μυίαις αὐτούς· τὴν δὲ τῶν Ἀσσυρίων πολεμικὴν δύναμιν διὰ τὸ πολεμικῷ κέντρῳ κεχρῆσθαι, καὶ τῶν λοιπῶν ἐθνῶν τότε κρατεῖν, μελίσσῃ ἀπείκασε.

Ταῦτα δὲ ἐπληροῦτο κατὰ τοὺς χρόνους τῆς πρώτης πολιορκίας Ἱερουσαλήμ, καθ' οὓς Αἰγύπτιοι μὲν οἱ καλούμενοι μυῖαι, ὅτε τούτων βασιλεὺς Φαραὼ ἐπελθὼν τῇ Ἰουδαίων, τὸν Ἰωσίαν τὸν βασιλέα τῆς Ἱερουσαλήμ, τῶν ἐπιφανῶν καὶ θεοφιλῶν ἀνδρῶν οὐδενὸς δεύτερον, ἀναιρεῖ. Εἶτ' οὐκ εἰς μακρὰν ὁ τῶν Βαβυλωνίων βασιλεὺς Ναβουχοδονόσορ σὺν μεγάλῃ στρατιᾶς δυνάμει ἐπελθών, τὴν μὲν πόλιν αὐτὴν ἐκ βάθρων εἶλε, τὸν νεὼν πυρπολήσας· τὸ δὲ πᾶν ἔθνος ἐξανδραποδισάμενος καὶ τὰς λοιπὰς δῃώσας πόλεις, Ἀσσυρίους οἰκήτορας τῆς Ἰουδαίων κατέστησε χώρας.

Στίχ. κ'. «Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ξυριεῖ Κύριος τῷ ξυρῷ τῷ μεγάλῳ καὶ μεμεθυσμένῳ, ὅ ἐστι πέραν τοῦ ποταμοῦ τοῦ βασιλέως Ἀσσυρίων.»

Οὐ τὴν κεφαλὴν οὖν μόνην ξυρήσει, τὴν πάλαι κομῶσαν, ὅτε τῆς οἰκουμένης ἐκράτουν Ἀσσύριοι, ἀλλὰ καὶ τὰς τρίχας τῶν ποδῶν, δηλαδὴ τὸ ἀνδρεῖον σχῆμα, καὶ τὸν πώγωνα· τουτέστι τὸν κατὰ φύσιν ἀνδράσι πρέποντα κόσμον. Ξυρὸν δὲ μεμεθυσμένον ὑπὸ τοῦ Κυρίου ὁ προφητικὸς ἐκάλεσε λόγος ἕτερόν τι πολεμίων γένος· δι' οὗ τὸν βασιλέα τῶν Ἀσσυρίων, δηλαδὴ τὴν πᾶσαν αὐτῶν βασιλείαν τε καὶ δυναστείαν ξυρήσειν ἔφη τὸν Θεόν, ὡς ταπεινὴν αὐτήν, καὶ ἄνανδρον, καὶ ἄκοσμον καὶ ἀσχήμονα δειχθῆναι. Παρ' ἑτέρῳ δέ, ἀντὶ τοῦ «μεμεθυσμένῳ ξυρῷ», «μεμισθωμένῳ» εὕρηται οὕτως εἰπόντι.

Στίχ. κα', κβ'. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θρέψει ἄνθρωπος δάμαλιν βοῶν καὶ δύο πρόβατα. Καὶ ἔσται ἀπὸ τοῦ πλεῖστον ποιεῖν γάλα, βούτυρον καὶ μέλι φαγεῖν πᾶς ὁ καταλειφθεὶς ἐπὶ τὴν γῆν.»

Πτωχείαν τε καὶ πενίαν ὑπερβάλλουσαν αἰνίττεται διὰ τούτων· ἀλλὰ καὶ ἔνδειαν καὶ σπάνιν τῆς ἀπὸ τοῦ σίτου τροφῆς· τὸ γὰρ μὴ βοῶν ἀγέλας, μίαν δὲ μόνην δάμαλιν κεκτῆσθαι ἄνθρωπον, καὶ τὸ μὴ ποίμνιον προβάτων, δύο δὲ πρόβατα μόνα τρέφειν, τῆς ἐσχάτης ἂν γένοιτο ἀπορίας σύμβολον· ἀλλὰ καὶ τὸ βουτύρῳ τρέφεσθαι καὶ μέλιτι πάντα τὸν καταλειφθέντα ἐπὶ τῆς γῆς λαόν, λιμὸν ἄρτου παρίστησιν. Οὗτος δὲ ἦν ὁ ἐπὶ τοῦ Γοδολίου λαός, ὃν διὰ ἀπορίαν τῆς ἀπὸ σίτου τροφῆς ἐν βραχυτάτῳ θρεμμάτων γάλακτι καὶ βουτύρῳ τραφήσεσθαι προαγορεύει, τῆς χώρας ἁπάσης εἰς χέρσον καὶ ἄκανθαν διὰ ἀνδρῶν ἐρημίαν μεταβληθείσης.

Στίχ. κγ'. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, πᾶς τόπος οὗ ἐὰν ὦσι χίλιαι ἄμπελοι, χιλίων σίκλων, εἰς χέρσον ἔσονται καὶ εἰς ἄκανθαν.»

Οὐκοῦν διὰ τὸ χέρσον εἶναι τὴν γῆν καὶ ἀκανθῶν πλήρη, σῖτον οὐχ ἕξει· οὐδὲ τραφήσεται τῇ κατὰ φύσιν ἄνθρωπος τροφῇ περιλειφθείς, ἀλλ' οὐδὲ οἴνῳ χρήσεται, γάλακτι δὲ καὶ βουτύρῳ, καὶ μέλιτι· καὶ τούτοις, οὐκ ἀπὸ πλήθους ἀγέλης βοῶν, οὐδ' ἀπὸ ποιμνίων προβάτων συναγομένοις, ἀλλ' ἐξ εὐτελῶν καὶ οἰκτρῶν ζῴων. Ὁ μὲν γάρ τις ἀπὸ μιᾶς δαμάλεως, ὁ δὲ ἀπὸ δύο προβάτων ποιήσεται ταῦτα.

Στίχ. κε'. «Καὶ πᾶν ὄρος ἠροτριωμένον ἀροτριωθήσεται, καὶ οὐ μὴ ἐπέλθῃ ἐκεῖ φόβος· ἔσται γὰρ ἀπὸ τῆς χέρσου καὶ ἀκάνθης εἰς βόσκημα προβάτου.»

ΚΕΦΑΛΑΙΟΝ Η'.

Στίχ. α'. «Καὶ εἶπε Κύριος πρὸς μέ, Λάβε σεαυτῷ τόμον καινὸν μέγαν, καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου.»

Συντελέσας ὁ λόγος τὰ γενησόμενα ἐν ταῖς καταλεχθείσαις ἡμέραις, ἐπαναλαμβάνει τὴν διήγησιν τὴν περὶ τῆς γεννήσεως τοῦ Ἐμμανουήλ· περὶ οὗ τῷ οἴκῳ Δαυῒδ παρεκελεύετο ἀντὶ ἐπῳδῆς τὸ τοῦ Ἐμμανουὴλ ἐπικαλεῖσθαι ὄνομα, θαρσοῦντος καὶ πιστεύοντος δι' αὐτοῦ σωθήσεσθαι ἀπὸ τῶν ἐπικειμένων αὐτοῖς δύο βασιλέων. Ἐπειδὴ δὲ ἐδίδαξε τὸν Ἐμμανουὴλ ξένην τινὰ καὶ ἀλλοτρίαν τῆς θνητῆς φύσεως ἕξειν γέννησιν· ἐξ ἀδιαφθόρου γὰρ νεάνιδος καὶ ἐξ ἀπειρογάμου παρθένου τεχθήσεσθαι, σφόδρα ἀναγκαίως ἐν τούτοις αὐτοῖς ὁ Κύριος, οὐκ ἔτι τῷ Ἀχάζ, οὐδὲ τῷ οἴκῳ Ἰούδα, ἀλλ' αὐτῷ μόνῳ τῷ προφήτῃ τὸ μυστήριον ἀποκαλύπτει τῆς ἀπορρήτου γεννήσεως τοῦ Ἐμμανουήλ· ὅπως ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν. Ἵν' οὖν τὰ περὶ τοῦ Ἐμμανουὴλ μὴ εἰς τὰς πάντων ἀκοὰς τῶν ποτε χωρήσῃ, φυλαχθείη δὲ μᾶλλον ἐν ἀπορρήτῳ γραφῇ· παρακελεύεται τῷ προφήτῃ λαβεῖν ἑαυτῷ τόμον καινόν, μέγαν, ἢ «τεῦχος», ἢ «διφθέρωμα», ἢ «κεφαλίδα», κατὰ τοὺς λοιπούς· «γραφίδι ἀνθρώπου», τουτέστι, τῇ συνήθει καὶ γνωριζομένῃ ἀνθρώποις γραφῇ· εἶναι γὰρ ἄλλην Θεοῦ Γραφήν, οὐ γραφίδι ἀνθρώπου γραφομένην, ἀλλὰ δυνάμει Θεοῦ Λόγου, τοὺς ἀξίους ἀπογραφομένην ἐν βίβλῳ ζώντων.

Στίχ. γ'. «Καὶ προσῆλθον πρὸς τὴν προφῆτιν, καὶ ἔτεκεν υἱόν. Καὶ εἶπέ μοι Κύριος· Κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον, ὀξέως προνόμευσον.»

Ἐπείπερ εἴρηται ἀνωτέρω, «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν[1]», ἀναγκαίως ἐπὶ τοῦ παρόντος, πῶς ἂν γένοιτο τοῦτο διασαφεῖ αὐτὸς ὁ Κύριος λέγων· «Καὶ προσῆλθον πρὸς τὴν προφῆτιν·» ἀντὶ τοῦ, Ἐγὼ αὐτὸς προσελεύσομαι τῇ προφήτιδι. Προφῆτιν γὰρ ὀνομάζει τὴν τὸν Ἐμμανουὴλ τεξομένην, διὰ τὸ Πνεύματος ἁγίου μετασχεῖν κατὰ τὸν φήσαντα πρὸς αὐτήν· «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.[2]» Αὕτη τοίνυν ἡ δύναμις τοῦ Ὑψίστου, ἡ διὰ τῆς προφητείας λέγουσα, «καὶ προσῆλθον πρὸς τὴν προφῆτιν», τὰ μέλλοντα ὡς ἤδη γεγονότα διεξέρχεται κατά τινα προφητικὴν συνήθειαν. «Ταχέως σκύλευσον.» Αὐτὸς ἄρα ἦν, ὁ καὶ τὸν πάλαι ἰσχυρὸν τὸν διάβολον καταδήσας, καὶ τὰ σκῦλα αὐτοῦ διαρπάσας.

---

1. Πρβλ. καὶ Ματθ. 1, 23. 2. Λουκ. 1, 35.

Στίχ. ε', ς'. «Καὶ προσέθετο Κύριος λαλῆσαί μοι ἔτι λέγων, διὰ τὸ μὴ βούλεσθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ Σιλωάμ, τὸ πορευόμενον ἡσυχῇ· ἀλλὰ βούλεσθαι ἔχειν τὸν Ῥαασσίν, καὶ τὸν υἱὸν Ῥωμελίου βασιλέα ἐφ' ὑμῶν.»

Τί δὲ τοῦτο ἦν τὸ ὕδωρ τοῦ Σιλωάμ; Ὁ ἐπηγγελμένος αὐτοῖς Ἐμμανουήλ, «Πηγὴ τυγχάνων ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον», καὶ πηγὴ ὕδατος πορευομένου εἰς ζωὴν ἡσυχῇ. Ἔτι γὰρ τότε λανθανόντως καὶ ἡσύχως συνεπορεύετο τῷ λαῷ, ἀρδεύειν αὐτὸν καὶ ἐπισκοπεῖν βουλόμενος τὰς ψυχάς, καὶ μηδέπω κηρυττόμενος εἰς πάντα τὰ ἔθνη. Διὸ κέκληται προσφυῶς τὸ ὕδωρ, πορευόμενον ἡσυχῇ, καὶ πηγὴ τοῦ Σιλωάμ, ὅ ἐστιν «ἀπεσταλμένος.» Ὁ δὲ ἐνταῦθα κατηγορούμενος ὑπὸ τοῦ Κυρίου λαός, οὐ βουληθεὶς πιστεῦσαι τῷ προστάγματι, καὶ τὸν Ἐμμανουὴλ καλεῖν, ὃς ἦν ὕδωρ τὸ πορευόμενον ἡσυχῇ, ἔρημος αὐτοῦ γίνεται. Ἐπεὶ τοίνυν ἄπιστοι ὄντες, ἠγάπων μᾶλλον ὑποτάττειν ἑαυτοὺς τῷ βασιλεῖ Δαμασκοῦ, ἢ βασιλεῖ τῆς Σαμαρείας, πολεμίοις οὖσιν, ἢ πράττειν τὰ κεκελευσμένα· τούτου χάριν ἀπειλεῖ ὁ λόγος μὴ ἐκείνοις αὐτοὺς ὑποχειρίους ἔσεσθαι, ἀλλὰ τῷ τῶν Ἀσσυρίων βασιλεῖ.

Στίχ. ζ', η'. «Διὰ τοῦτο ἰδοὺ ἀνάγει Κύριος ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ, τὸ ἰσχυρὸν καὶ τὸ πολύ, τὸν βασιλέα τῶν Ἀσσυρίων, καὶ τὴν δόξαν αὐτοῦ· καὶ ἀναβήσεται ἐπὶ πᾶσαν φάραγγα ὑμῶν, καὶ περιπατήσει ἐπὶ πᾶν τεῖχος ὑμῶν, καὶ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας ἄνθρωπον.»

Πρὸς ἀντιδιαστολὴν γὰρ τοῦ ὕδατος τοῦ Σιλωὰμ τοῦ πορευονου ἡσυχῇ, τὸ ὕδωρ ἀντέθηκε τοῦ ποταμοῦ, τὸ ἰσχυρὸν καὶ τὸ πολύ· ἦν δὲ οὗτος ὁ βασιλεὺς τῶν Ἀσσυρίων. Τοσοῦτον γὰρ πλῆθος ἥξειν τῶν πολεμίων θεσπίζει, ὡς πᾶν τὸ πλάτος τῆς Ἰουδαϊκῆς χώρας πληρώσειν, ἀφαιρεθῆναι δὲ ἀπ' αὐτῆς ἄνθρωπον, ὃς δυνήσεται κεφαλὴν ἆραι, ἢ δυνατὸν συντελέσασθαί τι· ὡς μηκέτι κεφαλὴν αὐτοὺς ἔχειν τοῦ λοιποῦ, τουτέστιν, ἄρχοντας καὶ βασιλέας. Ἅπερ δι' ἔργων ἐχώρει ἐπὶ τῶν Ἱερεμίου τοῦ προφήτου χρόνων, καθ' οὓς ἐπιστὰς Ναβουχοδονόσορ ὁ τῶν Ἀσσυρίων βασιλεύς, τέλος ἐπῆγε τοῖς προειρημένοις.

«Καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ, ὥστε πληρῶσαι τὸ πλάτος τῆς χώρας σου, Μεθ' ἡμῶν ὁ Θεός.» Καὶ ταῦτα τῆς περὶ τοῦ Ἐμμανουὴλ ἔχεται ὑποθέσεως· ἄρχεται γοῦν ἀπὸ τοῦ Ἐμμανουήλ, ὅπερ ἐστί, «μεθ' ἡμῶν ὁ Θεός· γνῶτε ἔθνη·» καὶ αὖθις πρὸς τῷ τέλει τῷ λέγεσθαι· «Καὶ λόγον ὃν ἂν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν, ὅτι μεθ' ἡμῶν ὁ Θεός·» Ἐμμανουὴλ πάλιν εἴρηται. Διελέγξας τοίνυν ὁ προφήτης τοὺς δηλωθέντας, ὅτι μὴ ἐβουλήθησαν, ἐπικαλεσάμενοι τὸν Ἐμμανουήλ, κρείττους γενέσθαι τῶν πολεμίων, αὐτὸς ἐπικαλεῖται τὸν Ἐμμανουὴλ ἐξ ἰδίου προσώπου καὶ τῶν αὐτῷ παραπλησίων, λέγων·

Στίχ. θ', ι'. «Μεθ' ἡμῶν ὁ Θεός. Γνῶτε ἔθνη καὶ ἡττᾶσθε, καὶ ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς, ἰσχυκότες ἡττᾶσθε, ἐὰν γὰρ πάλιν

ἰσχύσητε, πάλιν ἡττηθήσεσθε· καὶ ἣν ἂν βουλεύσησθε βουλήν, διασκεδάσει Κύριος· καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ἡμῖν, ὅτι μεθ' ἡμῶν ὁ Θεός.»

Τίνα δὲ γνῶτε; Αὐτὸν τὸν Ἐμμανουήλ· ὁ γὰρ ἐκ περιτομῆς λαὸς οὔτε ἔγνω αὐτόν, οὔτε συνῆκεν, οὔτε πιστεῦσαι ἠβουλήθη τῇ προφητείᾳ· ἀλλ' οὐδὲ ἡττήθη οὐδὲ ὑπετάγη τῷ προστάγματι. Ὑμεῖς δὲ τὰ ἔθνη, γνῶσιν ἀναλάβετε τοῦ προφητευομένου, καὶ συνέντες αὐτά, μὴ τολμᾶτε ἀνθίστασθαι· νικᾶσθε δὲ ἡττώμενοι. Ἐπακούσατε δὲ καὶ τοῦ προστάγματος ὑμεῖς πάντες οἱ μέχρις ἐσχάτου τῆς γῆς οἰκοῦντες· οἵ τε ἐν ὑμῖν ἰσχυροὶ καὶ δυνατοί, παραχωρεῖτε τῷ λόγῳ, νικώμενοι καὶ ἡττώμενοι, καὶ τοῦτο πράξετε προθύμως, εἰδότες, ὅτι, κἂν μὴ θέλητε, ἄκοντες ἡττηθήσεσθε. Εἰ δὲ ἀνθιστάμενοι τῇ τοῦ Θεοῦ βουλήσει, μηχανάς τινας, καὶ ἐπιβουλὰς τυρεύετε κατὰ τοῦ καλοῦντος ὑμᾶς λόγου, ματαιοπονοῦντες ἐλεγχθήσεσθε. Ταῦτα δέ φαμεν, ἐπεὶ μεθ' ἡμῶν ἐστιν ὁ Ἐμμανουήλ.

Στίχ. ια'. «Οὕτω λέγει Κύριος τῇ ἰσχυρᾷ χειρί, ἀπειθοῦσι τῇ πορείᾳ τῆς ὁδοῦ τοῦ λαοῦ τούτου.»

Μεταβαίνει οὖν ἐπὶ τὸν τῶν Ἰουδαίων λαόν, ἐλέγχων αὐτὸν ὡς ἀπειθοῦντα τῇ ἰσχυρᾷ χειρί· καλούμενοι γὰρ ὑπ' αὐτῆς, δέον ὑπακούειν, οἱ δὲ ἠπείθουν καὶ ἀντέλεγον. Μὴ εἴπητε, φησί, σκληρὸν εἶναι τὸν λόγον, τὸν περὶ τοῦ ἀποστῆναι δεῖν τῆς πορείας τοῦ λαοῦ τούτου· ὁ γὰρ λαὸς οὗτος σκληρὸν αὐτὸν νομίζει· ὑμεῖς δέ, οἱ ἀποστάντες τῆς πορείας τοῦ λαοῦ τούτου, μὴ λέγητε τοῦτον εἶναι σκληρόν· εἰ δὲ ἐπιβουλεύοιεν ὑμῖν ὡς ἀποστᾶσιν, οἱ τοῦ λαοῦ αὐτοῦ ἄπιστοι, ἀλλ' ὑμεῖς τὸν φόβον αὐτῶν μὴ φοβηθῆτε, μηδὲ ταράσσεσθε ὑπ' αὐτῶν ἐλαυνόμενοι, μόνον δὲ τὸν Κύριον τῶν δυνάμεων ἁγιάζοντες ἐπιγράφεσθε ἑαυτοῖς φόβον· «ἀρχὴ» γὰρ «σοφίας φόβος Κυρίου·[1]» καὶ διὰ τούτου πᾶς ὁ ἐξ ἀνθρώπων ἀπελαύνεται φόβος.

Στίχ. ιβ'. «Κύριον αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σου φόβος· καὶ ἐὰν ἐπ' αὐτῷ πεποιθὼς ᾖς, ἔσται σοι εἰς ἁγίασμα.»

Ἐὰν οὖν ἐπ' αὐτῷ, φησί, πεποιθὼς ᾖς, αὐτὸς ἔσται σοι εἰς ἁγίασμα ὡς μηκέτι δεῖσθαι τοῦ σωματικοῦ ἁγιάσματος. Ἁγίασμα δὲ ἐκαλεῖτο παρ' Ἑβραίοις ὁ πάλαι συνεστὼς παρ' αὐτοῖς νεώς, καὶ τούτου τὰ ἐνδοτάτω. Ἔσται σοι τοίνυν τῷ ἐλαυνομένῳ ὑπ' ἐκείνων, πεποιθότι δὲ ἐπὶ Κύριον, ἁγίασμα, οὐχ ὁ σωματικὸς νεώς, ἀλλ' αὐτὸς ὁ Κύριος ἁγιάζων σε, ἐὰν πεποιθὼς ᾖς ἐπ' αὐτόν. Διὸ μηδὲν φοβούμενος τὸν ναὸν τοῦτον, ἀναχώρει αὐτοῦ· πίστευε δὲ καὶ θάρσει τῷ σῷ φόβῳ· ἕξεις γὰρ αὐτὸν ἁγίασμα. «Καὶ οὐχ ὡς λίθου προσκόμματι συναντήσεσθε αὐτῷ, οὐδὲ ὡς πέτρας πτώματος.» Ὁρᾷς ὅπως αὐτὸν τὸν Κύριον λίθον προσκόμματος καὶ πέτραν σκανδάλου ὀνομάζει; καὶ τοιοῦτον μὲν ἔσεσθαι αὐτόν φησι τοῖς καθημένοις ἐν Ἱερουσαλήμ, καὶ τοῖς

1. Ψαλμ. 110, 10.

δυσὶν οἴκοις Ἰσραήλ· τοῖς δὲ εἰς αὐτὸν πεπιστευκόσιν ἁγίασμα ἔσεσθαι διδάσκει. Πῶς οὖν ἐγένετο λίθος προσκόμματος καὶ πέτρα σκανδάλου τοῖς εἰρημένοις Ἐμμανουήλ; διὰ τῆς ἐκ Παρθένου κυήσεως. Ὅθεν καὶ θεῖος Ἀπόστολος ταῦτα διδάσκων ἔλεγεν, «Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρία.[1]» Οἱ τοίνυν ἀπειθοῦντες τῇ ἰσχυρᾷ χειρὶ Κυρίου ἔσχον αὐτὸν λίθον προσκόμματος καὶ πέτραν πτώσεως, μὴ ὄντα τῇ φύσει τοιοῦτον· τοῖς γὰρ πιστεύουσιν εἰς αὐτὸν ἁγίασμα τυγχάνει. Τίνες δέ; Οἱ οἶκοι, εἶπεν, Ἰακώβ, καὶ οὐχὶ ὁ οἶκος. Δύο γὰρ ἦσαν οἶκοι Ἰσραήλ, εἷς μὲν ὁ τῶν ἐν αὐτοῖς ἀρχόντων, ἕτερος δὲ ὁ τῶν ἀρχομένων. Τούτοις δὲ τοῖς δυσὶν οἴκοις, δηλαδὴ ἀθρόως τῷ ὅλῳ ἔθνει ἄρχουσί τε καὶ ἀρχομένοις, τὸν Κύριον εἰς παγίδα καὶ εἰς σκάνδαλον ἔσεσθαί φησιν.

Στίχ. ις΄. «Τότε φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ μαθεῖν.»

Οἱ γὰρ τὸ Εὐαγγέλιον παραδεξάμενοι, καὶ ζῆν δεδιδαγμένοι κατὰ τὴν καινὴν Διαθήκην, ὥσπερ σφραγῖδα ἐπιθέντες τῷ νόμῳ, ἀποτίθενται αὐτόν, ἅτε οὐκέτι ὄντα χρήσιμον διὰ τὴν τοῦ κρείττονος παράθεσιν· οἱ αὐτοί, δηλονότι οἱ τὸ Εὐαγγέλιον παραδεξάμενοι, τὴν διὰ Χριστοῦ περιμένοντες χάριν, ἐροῦσι·

Στίχ. ιζ΄. «Μενῶ Κύριον τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακώβ, καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ.»

Στίχ. ιη΄. «Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός.»

Τὰ μὲν Ἰουδαϊκὰ παιδία σωματικὰ ἐξ ἀνδρὸς καὶ γυναικός· τὰ δὲ αὐτὰ τοῦ ταῦτα χρηματίζοντος Κυρίου «οὐκ ἐξ αἵματος οὐδὲ ἐκ θελήματος σαρκός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν[2]», τοῦ Πατρὸς τοιαῦτα αὐτῷ δεδωρημένου τέκνα· μηκέτι τῷ διὰ Μωϋσέως προσέχοντα νόμῳ, ἀλλ' εἰδότα περιμένειν τὸν Κύριον καὶ εἰς αὐτὸν πεποιθέναι. «Καὶ ἔσται εἰς σημεῖα καὶ τέρατα πολλὰ ἐν τῷ οἴκῳ Ἰσραὴλ παρὰ Κυρίου Σαβαώθ, ὃς κατοικεῖ ἐν τῷ ὄρει Σιών.» Ἢ καὶ ἄλλως, Οὐ μόνον τὰ παιδία ταῦτα, φησί, ἐκ Θεοῦ μοι παραδόξως δέδοται, ἀλλὰ καὶ ἄλλα πλεῖστα σημεῖα καὶ τέρατα γενήσεται ἐν τῷ οἴκῳ Ἰσραὴλ κατὰ τοὺς προφητευομένους χρόνους.

Στίχ. ιθ΄, κ΄. «Καὶ ἐὰν εἴπωσι πρὸς ὑμᾶς, Φωνήσατε τοὺς ἀπὸ τῆς γῆς φωνοῦντας, καὶ τοὺς ἐγγαστριμύθους οἳ ἐκ τῆς κοιλίας φωνοῦσι, οὐκ ἔθνος πρὸς Θεὸν αὐτοῦ ἐκζητήσουσι περὶ τῶν ζώντων τοὺς νεκρούς· νόμον γὰρ εἰς βοήθειαν ἔδωκεν, ἵνα εἴπωσιν, Οὐχ ὡς ῥῆμα τοῦτο περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ.»

Προειπὼν οὖν ὁ λόγος τὰ περὶ τῶν παιδίων τοῦ Χριστοῦ, λέγω δὴ τῶν ἀποστόλων καὶ μαθητῶν αὐτοῦ, περί τε τῶν σημείων καὶ τῶν τεράτων ἐπιτελεσθέντων δι' αὐτῶν· δι' ὧν καὶ ἡ κλῆσις γεγένηται τῶν ἐθνῶν, ἀκολούθως τὸν νέον καὶ καινὸν λαόν, τὸν ἐξ ἐθνῶν διὰ

1. Α΄ Κορ. 1, 23. 2. Ἰω. 1, 13.

Χριστοῦ συστάντα διδάσκει τὰ προκείμενα, ὡς πρὸς αὐτοὺς λέγων· Ἀκούσατε ταῦτα, οἱ ἐμοὶ διδακτοί, οἱ τῆς τῶν ἐθνῶν πολυθέου πλάνης μεταθέμενοι· εἴ τινες τῶν πάλαι γνωρίμων ὑμῖν καὶ συνήθων, ἢ πατέρες, ἢ συγγενεῖς, παρακαλοῖεν ὑμᾶς ἐπανιέναι ἐπὶ τὴν προτέραν πλάνην, θαυμάζειν τε τὰς ἀπὸ δαιμόνων παρ' αὐτοῖς ἐπιτελουμένας μαντείας καὶ χρησμούς, καὶ τὰ τοιαῦτα· μὴ πείθεσθε τῇ τούτων συμβουλῇ· μὴ θαυμάζετε δαίμονας ἀπὸ κοιλίας ἀνθρώπων φωνοῦντας, τοὺς ὀνομαζομένους Πύθωνας, μηδὲ τοὺς ἀπὸ γῆς κατά τινας γοητικὰς τέχνας ἀνιέναι νομιζομένους· τὸν δὲ αὐτῶν Κύριον μόνον περιέπετε. Εἰ γὰρ ἕκαστον ἔθνος, καίτοι πεπλανημένως, ὅμως δ' οὖν τοῦ ἰδίου Θεοῦ περιέχεται· τοὺς τὴν ἀπλανῆ γνῶσιν εἰληφότας, τί χρὴ πράττειν, ἢ τὸν ἑαυτῶν Θεὸν ἐπιζητεῖν, καὶ μὴ τοὺς νεκροὺς πολυπραγμονεῖν, μηδὲ ἐρωτᾶν περὶ πραγμάτων ζώντων, τοὺς πάσης ζωῆς ἐστερημένους; Ἔχοντες οὖν τὸν τοῦ Θεοῦ λόγον καὶ νόμον τὸν εὐαγγελικόν, εἰς βοήθειαν ὑμῖν δεδομένον, ἐξ αὐτοῦ μανθάνετε περ ἰῶν ἂν ἐθέλοιτε, καὶ τούτῳ στοιχεῖτε, ἐπεὶ μὴ οἷόν τέ ἐστιν αὐτὸν δώροις ἐκστῆναι τοῦ ἀληθοῦς.

Στίχ. κα'. «Καὶ ἥξει ἐφ' ὑμᾶς σκληρὰ λιμός· καὶ ἔσται ὡς ἂν πεινάσητε, λυπηθήσεσθε καί, κακῶς ἐρεῖτε τὸν ἄρχοντα, καὶ τὰ πάτρια· καὶ ἀναβλέψονται εἰς τὸν οὐρανὸν ἄνω.»

Ὅταν οὖν παραβάτης γένοιτό τις τοῦ θείου νόμου, καὶ ἀποστάτης αὐτοῦ, σκανδαλισθεὶς ὑπὸ τῶν τοὺς χρησμους καὶ τὰς μαντείας τὰς δαιμονικὰς προϊσχομένων, λιμὸς τροφῶν λογικῶν τοῦτον διαδέξεται, καὶ ἔκστασις, καὶ παροξυσμός· καὶ εἰς βλασφήμους ἐμπεσεῖται λογισμούς, καταρώμενος τὸν πάλαι βασιλέα αὐτοῦ, ὃν καὶ θεὸν ἑαυτοῦ ὠνόμαζε. «Καὶ οὐκ ἀπορηθήσεται ὁ ἐν στενοχωρίᾳ ὢν ἕως καιροῦ.»

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Στίχ. α'. «Τοῦτο πρῶτον πίε· ταχὺ ποίει, χώρα Ζαβουλών, ἡ γῆ Νεφθαλείμ, καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν καὶ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν.»

Βούλεται γὰρ δι' ἔργων τὸν καρπὸν τοῦ λογικοῦ πόματος ἀποδιδόναι τοὺς καταξιωθέντας τοῦ μεγάλου φωτὸς τῆς σωτηρίου θεοφανείας. Πρῶτον οὖν τοῖς ἐπὶ τῆς Γαλιλαίας εὐαγγελίζεται. Ἔδει γὰρ μηδὲ τὴν χώραν ἀποσιωπῆσαι, καθ' ἣν τὰς διατριβὰς ποιεῖσθαι ἤμελλεν ἀνθρώποις ἐπιφανεὶς ὁ Ἐμμανουήλ. Ἡ δὲ χώρα ἦν Γαλιλαία· ἀλλὰ καὶ πέραν τοῦ Ἰορδάνου τυγχάνει ἡ Γαλιλαία αὐτη, ἐν ᾗ τὰς πλείστας ἐποιήσατο διατριβὰς ὁ Χριστός· διὸ ποτὸν σωτήριον, καὶ φῶς μέγα τοῖς ἐν αὐτῇ εὐαγγελίζεται πρώτοις. Τοῦ δὲ ζωοποιοῦ τούτου ποτοῦ εἰκόνα παρεῖχεν ὁ Σωτὴρ αἰσθητῶς, ὁπηνίκα γάμου συντελουμένου ἐν Κανᾷ τῆς Γαλιλαίας, πρῶτον παράδοξον εἰργάσατο, τὴν τοῦ ὕδατος εἰς οἶνον μεταβολήν.

Στίχ. β'. «Ὁ λαὸς ὁ καθήμενος ἐν σκότει εἶδε φῶς μέγα· οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ὑμᾶς.»

Καὶ ἄλλως δὲ ἐν σκότει ἐτύγχανον οἱ πρὸ τῆς ἐπιλάμψεως τοῦ Χριστοῦ ἐν ἀγνωσίᾳ ὄντες τοῦ φωτὸς τοῦ ἀληθινοῦ· ἐν σκιᾷ δὲ θανάτου ἦσαν οἱ τὰ πρὸς θάνατον ἁμαρτάνοντες, κατὰ τό, «Ψυχὴ ἡ ἁμαρτάνουσα, αὐτὴ ἀποθανεῖται.[1]» Ἀλλ' ἕως μὲν ἐν τῷ παρόντι βίῳ τυγχάνει ὁ πρὸς θάνατον ἁμαρτάνων, οὐχ οὕτω πάντη καταπέποται ὑπὸ τοῦ θανάτου, ὡς μὴ δύνασθαι μεταβαλὼν σωθῆναι, ἀλλ' οὐδὲ ἀπήλλακται αὐτοῦ παντελῶς, διὸ λέγεται εἶναι ἐν σκιᾷ θανάτου. Πλὴν ἐπιλάμψας τούτοις πρώτοις, τὴν χάριν τοῦ μεγάλου φωτὸς ἐδωρήσατο ὁ διὰ τῶν προκειμένων θεσπιζόμενος. Ἐν ταύτῃ τε τῇ χώρᾳ πρώτῃ πλεῖστον λαὸν ἐκτήσατο, ὡς καὶ τὸν ἀποστολικὸν χορὸν ἐξ αὐτῶν ἐκλέξασθαι. Τίνες οὖν ἦσαν οἱ ἐν σκότει καὶ σκιᾷ θανάτου ἢ οἱ ἐν ἀγνωσίᾳ τοῦ Θεοῦ τὸ πρὶν κατεσχημένοι, καὶ οἱ τῷ θανάτῳ τῆς ψυχῆς δεδουλωμένοι;

Στίχ. γ', δ'. «Τὸ πλεῖστον τοῦ λαοῦ ὃ κατήγαγες ἐν εὐφροσύνῃ σου, καὶ εὐφρανθήσονται ἐνώπιόν σου, ὡς οἱ εὐφραινόμενοι ἐν ἀμήτῳ καὶ ὃν τρόπον εὐφρανθήσονται οἱ διαιρούμενοι σκῦλα· διότι ἀφαιρεθήσεται ὁ ζυγὸς ἐπ' αὐτῶν κείμενος.»

Ἢ ἐπειδὴ πλεῖστοι μὲν ἐπίστευσαν, πλείους δὲ τῇ ἀπιστίᾳ ἐναπέμειναν, εἰκότως τὸ πλεῖστον τοῦ λαοῦ λέλεκται τῆς σωτηρίου μετειληφέναι εὐφροσύνης. Σημαίνει δὲ διὰ τούτων, πρὸς τὴν πρόχειρον λέξιν· Ἐν ᾗ ποτὲ μὲν ἀπὸ πέντε ἄρτων πλῆθος ἀνδρῶν πεντακισχιλίων ἐθρέψατο ἐν τῇ δηλουμένῃ χώρᾳ, ποτὲ ἐξ ἑπτὰ τετρακισχιλίους ἄνδρας χωρὶς γυναικῶν καὶ παιδίων. Διὸ λέλεκται κατὰ τὸν Σύμμαχον· «Εὐφροσύνῃ εὐφράνθησαν ἐνώπιόν σου, ὡς εὐφροσύνην ἐν θερισμῷ.» Οὕτω γοῦν οἱ ἐν θερισμῷ τρεφόμενοι ἠθροισμένως κατὰ τὸ αὐτὸ συμποσιάζειν εἰώθασι. Κατὰ διάνοιαν δὲ οἱ ἀπόστολοι τοῦ Σωτῆρος ἡμῶν καὶ οἱ τούτων διάδοχοι, οἵ τε εἰς δεῦρο τῶν ἐκκλησιῶν αὐτοῦ προεστῶτες, τῆς ἐνθέου εὐφροσύνης μετελάμβανον ἐνώπιον τοῦ Σωτῆρος ἡμῶν, δίκην ἀμώντων ἐργαζόμενοι· ἐπείπερ ἐργάται ἦσαν τοῦ θερισμοῦ τῶν ἐθνῶν, ἐμπιπλάμενοι εὐφροσύνης ἐπὶ τῷ πλήθει τῶν καθ' ἑκάστην ἐκκλησίαν ληΐων. «Διότι ἀφήρηται ὁ ζυγὸς ὁ ἐπ' αὐτῶν κείμενος, καὶ ἡ ῥάβδος ἐπὶ τοῦ τραχήλου αὐτῶν.» Ἀπεσείσαντο τὸν βαρὺν ζυγὸν τοῦ τῇ δουλείᾳ τῆς ἁμαρτίας αὐτοὺς ὑποζεύξαντος, καὶ ῥάβδῳ τὸν τράχηλον αὐτῶν κατακάμπτοντος· ἵνα τὸ ἀποστολικὸν κήρυγμα τῆς ψυχῆς καταβάλλοντες μὴ ὑποκύψωσι τῇ δουλείᾳ τῆς ἁμαρτίας. Ἢ τάχα ὁ πάλαι τοῖς σκύλοις ἐπικείμενος, φησίν, ἀφήρηται ζυγός, καὶ ἡ ῥάβδος ἡ ἐπὶ τοῦ τραχήλου τῶν αὐτῶν σκύλων. Ζυγὸς γὰρ ἦν βαρὺς ταῖς τῷ διαβόλῳ ψυχαῖς δεδουλωμέναις ἐπικείμενος· καὶ ῥάβδος θανατικὴ τὸν τράχηλον αὐτῶν κατα-

1. Ἰεζ. 18, 4.

κάμπτουσα καὶ κάτω νεύειν ποιοῦσα· ὧν ἀφῃρημένων εἰκότως ἔχαιρον οἱ διαιρούμενοι τὰ σκῦλα ταῦτα.

Στίχ. ε'. «Τὴν γὰρ ῥάβδον τῶν ἀπαιτούντων διεσκέδασε Κύριος, ὡς τῇ ἡμέρᾳ τῇ ἐπὶ Μαδιάμ.»

Θεοδοτίων μέντοι, τοῦ «ἀπαιτοῦντος», ἡρμήνευσεν, ἑνικῶς τὸν ἀπαιτοῦντα καὶ ἐκπράσσοντα σημήνας· δηλονότι τὸν διάβολον, ὃς ἐκπράσσων διετέλει τὰς τῶν ἀνθρώπων ψυχάς, καὶ φόρους ὥσπερ ἀπαιτῶν, τὰς χορηγουμένας αὐτῶν ἁμαρτίας. Κεῖται δὲ ἡ περὶ τῆς Μαδιὰμ ἱστορία ἐν τοῖς Κριταῖς, περιέχουσα ὡς ἐπὶ τοῦ Γεδεὼν οὐχ ὅπλων παρατάξει νενίκηνται οἱ πολέμιοι, ἀλλ' ἀφανεῖ καὶ ἀοράτῳ, καὶ θεϊκῇ δυνάμει. Οὕτως οὖν ὡς ἐπὶ τοῖς Μαδιὰμ ἐνικήθησαν οἱ πολέμιοι χειρὶ κρυφαίᾳ, καὶ νῦν φησι διεσκεδάσθαι τὴν ῥάβδον τοῦ ἀπαιτοῦντος διαβόλου, καὶ τῶν σὺν αὐτῷ τὰς ψυχὰς τῶν ἀνθρώπων ἐκπρασσόντων. Ἕτερος δὲ οὐ «τῶν ἀπαιτούντων» ἔφη, ἀλλὰ «τῶν ἀπειθούντων» εἶπεν.

Στίχ. ε'. «Ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ, καὶ ἱμάτιον μετὰ καταλλαγῆς ἀποτίσουσι, καὶ θελήσουσιν, εἰ ἐγένοντο πυρίκαυστοι.»

Ἐπειδὴ τὸν κόσμον τῆς ψυχῆς καὶ τὴν στολὴν αὐτῆς, τόν τε τῆς ἀρχῆς χιτῶνα, ὃν περιεβάλετο, συλήσας ὁ διάβολος, ὅτε αὐτὴν ὑποχείριον ἔλαβε, γυμνὴν αὐτὴν καὶ αἰσχρὰν κατέστησεν· αἵ τε σὺν αὐτῷ δυνάμεις ἀντικείμεναι ἐξέπραττον αὐτήν, δόλῳ καὶ ἀπάτῃ κατ' αὐτῆς χρώμεναι· πάντα εἰκότως ἀποτίσειν λέγεται ὑπὸ τοῦ προφητικοῦ πνεύματος, φήσαντος, ὅτι δὴ «Πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ, καὶ ἱμάτιον μετὰ καταλλαγῆς ἀποτίσουσιν.» Οἱ αὐτοὶ δὲ οὗτοι οἱ πάλαι τὰς τῶν ἀνθρώπων ψυχὰς ἐκπράσσοντες ἀποτιννύειν λέγονται πάντα ἐν τῷ δηλουμένῳ καιρῷ.

Στίχ. ς'. «Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος. Ἄξω γὰρ εἰρήνην ἐπὶ τοὺς ἄρχοντας, εἰρήνην καὶ ὑγίειαν αὐτῷ.»

Ποίους δέ φησιν ἄρχοντας, ἢ τοὺς ὑπ' αὐτοῦ ἄρχειν τῆς Ἐκκλησίας αὐτοῦ καθεσταμένους; Λέγω δὴ μαθητὰς αὐτοῦ καὶ ἀποστόλους, τούς τε τὴν τούτων διαδοχὴν ὑποδεξαμένους καθ' ὅλης τῆς οἰκουμένης, οἷς ψυχῆς ὑγίειαν καὶ εἰρήνην ἔχειν πρὸς ἀλλήλους ἐδωρεῖτο, ἐν οἷς πρὸς αὐτοὺς ἔλεγεν· «Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν.[1] Μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔσται τέλος.» Κατὰ γοῦν τὸν Θεοδοτίωνα, «Τῆς εἰρήνης αὐτοῦ οὐκ ἔσται πέρας.» Νοήσεις δὲ ὅπως μεγάλη γέγονε τοῦ προφητευομένου ἡ ἀρχή, τὴν καθ' ὅλης τῆς οἰκουμένης Ἐκκλησίαν αὐτοῦ θεωρῶν· καὶ ἔτι μᾶλλον ἐπιστήσας ταῖς τοῦ Ἀποστόλου περὶ αὐτοῦ μαρτυρίαις,

1. Ἰω. 14, 27.

δι' ὧν φησι, «Κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν καὶ καθίσας αὐτὸν ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς ἐπουρανίοις, ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας, καὶ δυνάμεως καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου.[1]» Οὕτω μεγάλη ἡ τοῦ Σωτῆρος ἡμῶν ἀρχή, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστι τέλος· ἀτελεύτητος γὰρ καὶ ἀγήρως καὶ ἀπερίγραφος αὕτη τυγχάνει· διὸ λέλεκται· «Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης.[2]»

Στίχ. ζ'. «Ἐπὶ τὸν θρόνον Δαυῒδ καὶ τὴν βασιλείαν αὐτοῦ, κατορθῶσαι αὐτήν, καὶ ἀντιλαβέσθαι ἐν κρίματι καὶ ἐν δικαιοσύνῃ. Ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα.»

Τήρει δὲ ἀκριβῶς ὅπως οὐκ εἴρηται καθεσθήσεσθαι ἐπὶ τὸν θρόνον Δαυῒδ ἁπλῶς, ἀλλὰ καὶ ἐπὶ τὴν βασιλείαν αὐτοῦ, κατορθῶσαι αὐτήν· ἡμῶν προσυπακουόντων τὸ ἥξειν αὐτὸν ἐπὶ τῷ κατορθῶσαι τὸν θρόνον Δαυῒδ καὶ τὴν σκηνὴν πεπτωκυῖαν. Ἐπειδὴ γὰρ κατέστραπτο καὶ καθῄρητο ἡ βασιλεία Δαυῒδ ἀπὸ τῶν χρόνων τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας τοῦ λαοῦ· ἦσαν δὲ προφητεῖαι θεσπίζουσαι τὸν θρόνον Δαυῒδ διαλάμψειν φωτὸς ἡλιακοῦ δίκην καθ' ὅλης τῆς οἰκουμένης· ταύτην αὐτὴν ἐλήλυθε τὴν ἐπαγγελίαν πληρῶσαι· ἐκ σπέρματος μὲν Δαυῒδ κατὰ σάρκα γεννώμενος, καταλάμπων δὲ τὰς τῶν ἀνθρώπων ψυχάς· καὶ τὴν βασιλείαν αὐτοῦ κρατύνων διὰ πάντων τῶν καθ' ὅλην τὴν οἰκουμένην ἐθνῶν. Ἐν τούτοις γὰρ τὸν θρόνον Δαυῒδ διωρθώσατο, παρὰ Ἰουδαίοις καθῃρημένον. Καὶ τοῦτο ἔπραξεν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα· τοῦ μέν, «ἀπὸ τοῦ νῦν», σημαίνοντος ἀρχὴν χρόνου ὡρισμένην, δι' ἧς ὁ καιρὸς ἐδηλοῦτο τῆς εἰς ἀνθρώπους ἐπιδημίας αὐτοῦ· τοῦ δέ, «εἰς τὸν αἰῶνα», τὴν ἄπειρον καὶ διαρκῆ βασιλείαν αὐτοῦ παριστῶντος. Τηρητέον δέ, ὡς ἡ μὲν πρώτη περὶ τοῦ προφητευομένου πρόρρησις ἐκ Παρθένου τεχθήσεσθαι αὐτὸν ἐδήλου· ἡ δὲ δευτέρα, ὡσανεὶ ζητουμένου, πῶς ἔσται τοῦτο, τὸν Κύριον εἰσῆγε λέγοντα, «Καὶ προσῆλθον πρὸς τὴν προφῆτιν· καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν υἱόν·» ἡ δὲ τρίτη οὐκέτι μνημονεύει κυήσεως παρθενικῆς, οὐδὲ τοῦ τρόπου τῆς κατὰ Θεὸν παραδόξου συλλήψεως· ἅτε δὴ προμεμαθηκότων ἡμῶν ταῦτα, περὶ τοῦ παιδὸς αὐτοῦ διεξέρχεται, παιδεύουσα ἡμᾶς τὰ ἀπόρρητα τῆς περὶ αὐτοῦ θεολογίας· ταῦτα δὲ πάντα περὶ τοῦ τυχόντος παιδίου λέγεσθαι, οὐκ οἶδα πῶς συστήσαιεν οἱ ἐκ περιτομῆς, μὴ βουλόμενοι παραδέξασθαι τὸν ἡμέτερον Σωτῆρα, ᾧ τὰ ἔργα μαρτυρεῖ, καὶ τῶν πραγμάτων ἡ ἔκβασις τοὺς λόγους ἐπισφραγίζεται. «Ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα.» Ποῖος ζῆλος, ἢ ὃν ἐζήλωσεν ἀγαθὸν καὶ αὐτῷ πρέποντα, εἰς τὸ σῶσαι πάντας τοὺς ὑπὸ τοῦ διαβόλου καταδυναστευθέντας, καὶ εἰς ἀθεότητα κατασυρέντας;

---

1. Ἐφ. 1, 19-21. 2. Ψαλμ. 71, 7.

Στίχ. η´-ι´. «Θάνατον ἀπέστειλε Κύριος ἐπὶ Ἰακώβ, καὶ ἦλθεν ἐπὶ Ἰσραήλ· καὶ γνώσονται πᾶς ὁ λαὸς τοῦ Ἐφραΐμ, καὶ οἱ καθήμενοι ἐν Σαμαρείᾳ ἐφ' ὕβρει καὶ ὑψηλῇ καρδίᾳ, λέγοντες· Πλίνθοι πεπτώκασιν· ἀλλὰ δεῦτε λαξεύσωμεν λίθους, καὶ κόψωμεν συκαμίνους, καὶ κέδρους, καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πύργον.»

Ἤτοι οἱ τὴν Σαμάρειαν οἰκοῦντες, Ἰσραὴλ χρηματίζοντες, καὶ λαὸς τοῦ Ἐφραΐμ ὀνομαζόμενοι, διὰ τὸ βασιλευθῆναι ὑπὸ τῶν ἐκ φυλῆς τοῦ Ἐφραΐμ, χλευάζοντες καὶ ἐξευτελίζοντες τὴν Ἱερουσαλήμ, πλίνθοις ταύτην ἔφασκον οἰκοδομεῖσθαι, καὶ τὰς στέγας ἔχειν «ἀπὸ συκαμίνων» ἢ «συκομόρων» κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς. Εἶθ' ὡς αὐτοὶ βελτίονα πόλιν κατασκευάσοντες, ἐπηγγέλλοντο διὰ λίθων ξυστῶν καὶ κέδρων οἰκοδομήσειν, καὶ ἀντὶ τοῦ ναοῦ τοῦ ἐν Ἱερουσαλὴμ πύργον ἑαυτοῖς ἀναστήσειν ἐν Σαμαρείᾳ· διὸ καὶ ἐπειδὴ τοιαῦτα τετολμήκασιν ἀπαυθαδιάσασθαι, ἀπειλεῖ αὐτοῖς ἑξῆς ὁ λόγος φάσκων.

Στίχ. ια´. «Καὶ ῥάξει ὁ Θεὸς τοὺς ἐπανισταμένους ἐπὶ τὸ ὄρος Σιών, καὶ τοὺς ἐχθροὺς διασκεδάσει.»

Κατὰ γοῦν τὴν ἱστορίαν, ἐπειδή, φησίν, οἱ τὴν Σαμάρειαν οἰκοῦντες τοιαῦτα τετολμήκασι καὶ κατεθρασύνοντο κατὰ τοῦ ὄρους Σιών, καὶ κατὰ τοῦ ἐν αὐτῷ τιμωμένου Θεοῦ, ὡς ἀπὸ μεγάλου ὕψους τῆς ὑπερηφανείας αὐτῶν ταπεινώσειν καὶ καταρράξειν αὐτοὺς ἀπειλεῖς. Τοὺς γὰρ ἐπὶ τὸ ὄρος Σιὼν ἐπανισταμένους ἐπ' αὐτὸν τὸν Θεὸν ἀσεβεῖν συνέβαινεν· οὓς ταπεινώσειν καὶ ῥάξειν φησίν, οὐ μόνους, ἀλλὰ καὶ πάντας τοὺς ἐχθροὺς αὐτοῦ διασκεδάσειν· σημαίνων τοὺς ἐν Δαμασκῷ συμμαχοῦντας τῷ Ἰσραήλ, κατὰ τὰ ἔμπροσθεν ἀποδεδομένα. Καὶ πάντας δὲ τοὺς ἐκ τῶν λοιπῶν ἐπανισταμένους τῷ ὄρει Σιών, καὶ τῷ Θεῷ τῷ ἐνταῦθα τιμωμένῳ, διασκεδάσειν ἐπαγγέλλεται· ὧν οἱ μὲν ἦσαν ἀνατολικοί τινες, οἱ δὲ ἀφ' ἡλίου δυσμῶν, μέσοι δὲ τούτων οἱ Ἕλληνες. Πάντες γὰρ οὗτοι, τὸν προλεχθέντα Ἰσραὴλ ὅλῳ τῷ στόματι κατεσθίοντες καὶ καταβάλλοντες ἐπὶ τὴν τῆς εἰδωλολατρείας ἑαυτῶν πλάνην, βοηθεῖν καὶ συμμαχεῖν ἐπηγγέλλοντο τοῖς ἐπανισταμένοις κατὰ τοῦ ὄρους Σιών.

Στίχ. ιδ´. «Καὶ ἀφεῖλε Κύριος ἀπὸ Ἰσραὴλ κεφαλὴν καὶ οὐράν, μέγαν καὶ μικρὸν ἐν μιᾷ ἡμέρᾳ, πρεσβύτην καὶ τοὺς τὰ πρόσωπα θαυμάζοντας, αὕτη ἡ ἀρχή· καὶ προφήτην διδάσκοντα ἄνομα, οὗτος ἡ οὐρά.»

Ἀντὶ μέντοι τοῦ, «Ἀφεῖλε Κύριος ἀπὸ Ἰσραήλ», ὁ μὲν Ἀκύλας, «καὶ ὀλοθρεύσει Κύριος·» ὁ δὲ Σύμμαχος, «Καὶ ἐξολοθρεύσει Κύριος·» ὁ δὲ Θεοδοτίων, «Καὶ ἀφελεῖ», μελλητικῶς εἰρήκασιν· ὡς μέλλοντος ταῦτα ποιήσειν τοῦ Θεοῦ· ἃ πρὶν γενέσθαι προλέγει, ἐπιστρέφων εἰς μετάνοιαν τοὺς ἀκροωμένους, ὡς ἂν μὴ πάθοιεν τὰ ἀπειλούμενα. Ἐν ἡμέρᾳ δὲ μιᾷ φησι πάντα ποιήσειν τὰ προλεχθέντα σαφῆ τυγχάνοντα· τουτέστιν ὑφ' ἕνα καὶ τὸν αὐτὸν καιρόν. Κεφαλὴν δὲ καὶ

οὐρὰν εἰπών, ᾐνίξατο ζῶον ἄλογον· οὐ γὰρ ἀνθρώπων ἴδιον, ἀλλὰ ζώων ἀλόγων τὸ οὐρὰν ἔχειν· οἷς τὸν λαὸν ἀφωμοίωσεν· ἢ κεφαλὴν καὶ οὐράν, τὸν λογικὸν καὶ τὸ ἄλογον, ἢ τὸν ἄρχοντα καὶ τὸν ἀρχόμενον, καὶ ἔσχατον· ὃ δὴ καὶ διεσάφησεν εἰπών, «μέγαν καὶ μικρόν.» Ἀντὶ δὲ τοῦ, «τοὺς τὰ πρόσωπα θαυμάζοντας», ὁ Σύμμαχος, «καὶ αἰδέσιμον», ἡρμήνευσε. Καὶ οὗτος οὖν ὁ αἰδέσιμος καὶ ὁ πρεσβύτης δύναται εἶναι ἡ κεφαλή· ἡ δὲ οὐρὰ ὁ διδάσκων ἄνομα προφήτης, οἱονεὶ ἀλόγου ζώου ἔσχατον μέλος ὑπάρχων. Ἀφαιρεθήσεσθαι τοίνυν τούτους, καὶ ἐξολοθρευθήσεσθαι ὑφ' ἕνα καιρὸν ὁ λόγος ἀπειλεῖ.

Στίχ. ιζ'. «Καὶ καυθήσεται ὡς πῦρ ἡ ἀνομία, καὶ ὡς ἄγρωστις ξηρὰ βρωθήσεται ὑπὸ πυρός. Καὶ καυθήσεται ἐν τοῖς δάσεσι τοῦ δρυμοῦ, καὶ συγκαταφάγεται τὰ κύκλῳ τῶν βουνῶν πάντα.»

Ποιήσειν δὲ ταῦτα, ὡς ἀγαθὸς ψυχῶν γεωργός, ὁ Κύριος ἀπειλεῖ· ἵνα ἡ ἐν αὐτοῖς ἀνομία ἀφανισθῇ δίκην ὑλομανοῦς βοτάνης ὑπὸ πυρὸς ἀναλισκομένης.

Στίχ. ιη'-κ'. «Διὰ θυμὸν ὀργῆς Κυρίου συγκέκαυται ἡ γῆ ὅλη, καὶ ἔσται ὁ λαὸς ὡς κατακεκαυμένος ὑπὸ πυρός. Ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἐλεήσει· ἀλλὰ ἐκκλινεῖ εἰς τὰ δεξιά, ὅτι πεινάσει καὶ φάγεται ἐκ τῶν ἀριστερῶν, καὶ οὐ μὴ ἐμπλησθῇ ἄνθρωπος ἔσθων τὰς σάρκας τοῦ βραχίονος αὐτοῦ. Φάγεται γὰρ Μανασσῆς τοῦ Ἐφραΐμ, καὶ Ἐφραῒμ τοῦ Μανασσῆ, ὅτι ἅμα πολιορκήσουσι τὸν Ἰούδαν. Ἐπὶ τούτοις πᾶσιν οὐκ ἀπεστράφη ὁ θυμός, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή.»

Ὡς ἐπαναστῆναι ἀδελφὸν ἀδελφῷ, καὶ μηδένα τοῦ πέλας φείσασθαι· πάντας δὲ ἀλλήλοις χρήσασθαι ὡς πολεμίοις· ὡς εἰς τοσοῦτον ἐλάσειν ἀναφλεγομένην αὐτοῖς τὴν πρὸς ἀλλήλους στάσιν, καὶ τὸν ἐμφύλιον πόλεμον, ὡς καὶ τὰς δύο φυλάς, τὴν τοῦ Ἐφραῒμ καὶ τὴν τοῦ Μανασσῆ, ἐξ ἑνὸς πατρὸς γενομένας τοῦ Ἰωσήφ, ὑπὸ τὴν αὐτὴν ὄντας βασιλείαν, μίαν δὲ καὶ τὴν αὐτὴν πόλιν οἰκοῦντας Σαμάρειαν, ἀλλήλαις ἐπαναστῆναι, καὶ τοὺς ἀλλήλων βραχίονας καταφαγεῖν· μηκέτι μὲν σχολάζοντας τῷ κατὰ Ἰούδα πολέμῳ, μηδὲ τῇ πολιορκίᾳ τῆς Ἱερουσαλήμ, καθ' ἑαυτῶν δὲ ἀκονήσαντας τὰ ἑαυτῶν ξίφη, ἑαυτοὺς διαχειρίσασθαι, καὶ ἐξ ἀνθρώπων ἀφανίσαι.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Στίχ. α', β'. «Οὐαὶ τοῖς γράφουσι πονηρίαν· γράφοντες γὰρ πονηρίαν γράφουσιν· ἐκκλίνοντες κρίσιν πτωχῶν, ἁρπάζοντες κρίματα πενήτων τοῦ λαοῦ μου· ὥστε εἶναι αὐτοῖς χήραν εἰς διαρπαγήν, καὶ ὀρφανὸν εἰς προνομήν.»

Τοῦ καλουμένου οὖν Ἰσραήλ, λέγω δὴ τοῦ λαοῦ τῶν Ἰουδαίων ἐν Σαμαρείᾳ βασιλευομένου, καὶ ταῦτα πρὸς τοῖς προτέροις ὁ παρὼν λόγος κατηγορεῖ, φάσκων αὐτοὺς πρὸς ἔριν καὶ φιλονεικίαν τῶν τὰς

ἀληθεῖς τοῦ Θεοῦ προφητείας παραγραφόντων τὰς ψευδοπροφητείας συντάττειν. Ἦσαν γοῦν, ἦσαν ψευδοπροφῆται πλεῖστοι, ὅσοι ἐν τῷ Ἰσραὴλ ἐναντία φθεγγόμενοι, καὶ ἐναντία γράφοντες τοῖς ἀληθέσι τοῦ Θεοῦ προφήταις. Οἱ δὲ αὐτοὶ καὶ συγγραφὰς ἐποιοῦντο παρανόμους, καὶ πάσης πονηρίας μεστάς· πένητας οἰκτροὺς κατεδυνάστευον, βιαζόμενοί τε ἐπλεονέκτουν ἀπεριστάτους ὀρφανοὺς καὶ χήρας. Τοιούτους δ' ἂν εἴποις καὶ τοὺς διὰ μοχθηρῶν συγγραμμάτων εἰσέτι καὶ νῦν διαστρέφοντας τῶν ἀκεραιοτέρων τὰς ψυχάς.

Στίχ. γ', δ'. «Καὶ τί ποιήσουσιν ἐν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς; ἡ γὰρ θλῖψις ὑμῖν πόρρωθεν ἥξει. Καὶ πρὸς τίνα καταφεύξεσθε τοῦ βοηθηθῆναι; καὶ ποῦ καταλείψετε τὴν δόξαν ὑμῶν, τοῦ μὴ ἐμπεσεῖν εἰς ἀπαγωγήν·»

Ἀπειλεῖ τοίνυν ἐκείνοις ὁ προφητικὸς λόγος φάσκων· «Καὶ τί ποιήσουσιν ἐν τῇ ἡμέρᾳ ἐπισκοπῆς», καθ' ἣν ἡ θλῖψις καὶ ἡ κατὰ τούτων ὀργὴ πόρρωθεν ἥξει; Μακρὰν γὰρ οὖσαν αὐτήν φησι, διὰ τὸ ἀπελαύνεσθαι ἐξ ἐμοῦ τοῦ Θεοῦ· ὑμεῖς, ὦ οὗτοι, πρὸς οὓς ταῦτα λέγεται, ὥσπερ βιαζόμενοι καθ' ἑαυτῶν αὐτὴν ἐπεσπάσασθε· ἧς ἐπελθούσης, ἐπὶ τίνα καταφεύξεσθε τοῦ βοηθηθῆναι; «Ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ἡ ὀργή· ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή.» Ἐπιμενόντων γὰρ τοῖς αὐτοῖς ἀτοπήμασι τῶν διὰ τοῦ λόγου κατηγορουμένων, ἀκόλουθον ἦν καὶ τὴν κατ' αὐτῶν παράνομον γίνεσθαι ὀργήν.

Στίχ. ε', ς'. «Οὐαὶ Ἀσσυρίοις, ἡ ῥάβδος τοῦ θυμοῦ μου· καὶ ὀργή ἐστιν ἐν ταῖς χερσὶν αὐτῶν. Τὴν ὀργήν μου εἰς ἔθνος ἄνομον ἀποστελῶ, καὶ τῷ λαῷ ἐμῷ συντάξω ποιῆσαι σκῦλα καὶ προνομήν, καὶ καταπατεῖν τὰς πόλεις, καὶ θεῖναι αὐτὰς εἰς κονιορτόν.»

Μέχρι γὰρ τῶν προειρημένων ἔστη τὰ τῆς τοῦ λαοῦ κατηγορίας, μεθ' ἣν ἀκολούθως τοῖς διὰ τῆς προφητείας ἠπειλημένοις, οὐκ εἰς μακρὰν πόρρωθεν ἐπιστάντες Ἀσσύριοι, πολιορκοῦσι τὴν Σαμάρειαν, καὶ πᾶσαν τὴν χώραν αὐτῶν δῃοῦσιν, ὅλας τε ἐννέα φυλὰς τοῦ Ἰουδαίων ἔθνους αἰχμαλώτους εἰς τὴν Ἀσσυρίων ἀπάγουσι. Μετὰ οὖν τὴν τοῦ λαοῦ τοῦ καλουμένου Ἰσραὴλ αἰχμαλωσίαν ὁ λόγος μεταβαίνει ἐπὶ τοὺς αἰχμαλωτεύσαντας. Ἦσαν δὲ οὗτοι Ἀσσύριοι, οἷς τὰ προκείμενα ἀπειλεῖ. Ὅτι δὲ ἀπῆκτο ὑπὸ Ἀσσυρίων ὁ λαός, καὶ πεπολιόρκητο ἡ Σαμάρεια, ὅτε τὰ μετὰ χεῖρας ἐλέγετο, δῆλον τυγχάνει ἐκ τοῦ λέγεσθαι ἐν αὐτοῖς ἐκ προσώπου τοῦ τῶν Ἀσσυρίων βασιλέως· «Ἔλαβον Ἀραβίαν καὶ Δαμασκὸν καὶ Σαμάρειαν· ὃν τρόπον ταύτας ἔλαβον, καὶ πάσας τὰς ἀρχὰς λήψομαι·» καὶ πάλιν· «Ὃν τρόπον ἐποίησα Σαμαρείᾳ καὶ πᾶσι τοῖς χειροποιήτοις αὐτῆς, οὕτω ποιήσω Ἱερουσαλήμ.» Καὶ ἡ ἱστορία δὲ διδάσκει, ὅτι ἐν ταῖς ἡμέραις Ἀχὰζ ἀνέβη ὁ βασιλεὺς Ἀσσυρίων εἰς Σαμάρειαν, καὶ ἐπολιόρκησεν αὐτήν· καὶ τέως μὲν τότε μέρος τι τοῦ λαοῦ ᾐχμαλώτευσεν· ἐπὶ δὲ Ἐζεκίου τοῦ τὸν Ἀχὰζ διαδεδεγμένου πάντα τὸν λαὸν ἀπῴκισεν εἰς Ἀσσυρίους.

Στίχ. ζ', θ'. «Αὐτὸς δὲ οὐχ οὕτως ἐνεθυμήθη, καὶ τῇ ψυχῇ οὐχ οὕτως λελόγισται, ἀλλὰ ἀπαλλάξει ὁ νοῦς αὐτοῦ καὶ τοῦ ἔθνη ἐξολοθρεῦσαι οὐκ ὀλίγα. Καὶ ἐὰν εἴπωσιν αὐτῷ· Σὺ μόνος εἶ ἄρχων· καὶ ἐρεῖ· Οὐκ ἔλαβον τὴν χώραν τὴν ἐπάνω Βαβυλῶνος καὶ Χαλάνης, οὗ ὁ πύργος ᾠκοδομήθη, καὶ ἔλαβον Ἀραβίαν, καὶ Δαμασκὸν καὶ Σαμάρειαν;»

Τὴν ἐμὴν τοίνυν, φησί, λαβὼν ἐξουσίαν, οὐχ οὕτως ἐνεθυμήθη, ἀλλ' ὑπερήρθη τῷ λογισμῷ, ὡς οἰκείᾳ δυνάμει τοῦ ἐμοῦ περιγενόμενος λαοῦ. Εἶτα, μὴ ἀρκεσθεὶς τῇ τούτων πολιορκίᾳ, μυρία ἄλλα ἔθνη μετέρχεσθαι ἀπειλεῖ, ὡς τοῦ κρείττονος καὶ Θεῷ ἀνακειμένου κρατήσας. Διὸ δὴ τῶν ὑποχειρίων αὐτῷ γενομένων θαυμαζόντων αὐτόν, καὶ λεγόντων, «Σὺ μόνος εἶ ἄρχων», ἀποκρίνεται πρὸς αὐτοὺς καὶ λέγει· Μήποτε καλεῖτε ἄρχοντα, μηδὲ κύριον· ἐπεὶ μηδέπω πάσας εἰλήφειν τὰς ἁπανταχοῦ χώρας· πλήν,

Στίχ. ι'. «Ὃν τρόπον ταύτας ἔλαβον, οὕτω καὶ πάσας τὰς ἀρχὰς λήψομαι. Ὀλολύξατε τὰ γλυπτὰ ἐν Ἱερουσαλὴμ καὶ ἐν Σαμαρείᾳ.»

Πρὸς αὐτούς τε τοὺς Ἀσσυρίους καὶ τὸν ἄρχοντα αὐτῶν, τοιαῦτα καταλαζονευομένους ἀποτείνεται λέγων· Οὐαὶ Ἀσσυρίοις, ὅτι μὴ συνῆκαν ὡς ἄρα ἡ ἐμὴ ὀργὴ ἡ κατὰ τῶν πλημμελούντων τὴν ἐξουσίαν αὐτοῖς τῆς τοσαύτης ὀργῆς δέδωκεν· ἀλλὰ τῇ ἑαυτῶν δυνάμει κεκρατηκέναι τῶν ἐθνῶν ὑπέλαβον.

Στίχ. ια'. «Ὃν τρόπον γὰρ ἐποίησα Σαμαρείᾳ καὶ τοῖς χειροποιήτοις αὐτῆς, οὕτω ποιήσω καὶ Ἱερουσαλὴμ καὶ τοῖς εἰδώλοις αὐτῆς.»

Τὰ ἴσα τοίνυν τῇ Σαμαρείᾳ καὶ τὴν Ἱερουσαλὴμ πείσεσθαι ἀπειλεῖ. Προλέγει δὲ ταῦτα προκαλούμενος εἰς ἐπιστροφὴν καὶ μετάνοιαν τοὺς ἀκούοντας, φόβῳ τε τοῦ παραδείγματος σωφρονίζων αὐτούς. Οὐ γὰρ ὁ Ἀσσύριος, φησίν, ἐποίησε τὰ κατὰ τῆς Σαμαρείας, ἀλλ' ἐγὼ ὁ Θεὸς διὰ τὰς τῶν οἰκητόρων ἀσεβείας. Οὐκοῦν κατὰ τὸν τοῦ δικαίου λόγον καὶ τοὺς ἐν τῇ Ἱερουσαλὴμ εἰκὸς παραδοθήσεσθαι τῇ ἴσῃ πολιορκίᾳ, ὡς τὰ ἀδελφὰ μεταχειριζομένους τοῖς τὰ προλεχθέντα πεπονθόσι.

Στίχ. ιβ'. «Καὶ ἔσται, ὅταν συντελέσῃ Κύριος πάντα ποιῶν ἐν τῷ ὄρει Σιὼν καὶ Ἱερουσαλήμ, ἐπισκέψομαι ἐπὶ τὸν νοῦν τὸν μέγαν, ἐπὶ τὸν ἄρχοντα τῶν Ἀσσυρίων, καὶ ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ.»

Ἀκολούθως διὰ τῶν προκειμένων διδάσκων, ὅτι τέως μὲν Ἀσσύριοι καὶ ὁ τούτων ἄρχων, εἰ καὶ τοιαῦτα ὁποῖα δεδήλωται ἀπηυθαδιάσαντο, τὴν Σαμάρειαν ὑποχείριον πεποιημένοι καὶ τὴν Δαμασκόν, ὅμως ἕξουσι τὸ ἐνδόσιμον τοῦ χρόνου μέχρι καιροῦ τινος· μεθ' ὃν οὐκ ἔτι συστήσεται αὐτῶν ἡ ἀρχή, τῆς μακρᾶς καὶ πολυτελοῦς βασιλείας εἰς τὸ παντελὲς καταλυθησομένης.

Στίχ. ιγ'. «Εἶπε γάρ, ἐν τῇ ἰσχύϊ ποιήσω, καὶ ἐν τῇ σοφίᾳ τῆς συνέσεως ἀφελῶ ὅρια ἐθνῶν, καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω.»

Μὴ δοὺς γὰρ δόξαν τῷ Θεῷ, μηδὲ λογισάμενος, ὅτι ὁ τῶν ὅλων Θεὸς αὐτὸς ἦν ὁ παραδοὺς αὐτῷ καὶ τὸν Ἰσραὴλ καὶ τὸν Ἰούδαν, καὶ πάντας τοὺς τιμωρίας ἀξίους, μέγα ἐφρόνησε, διανοηθεὶς καὶ πρὸς ἑαυτὸν εἰπών, κατὰ τὸν Σύμμαχον, «Ἐν τῇ δυνάμει τῆς χειρὸς ἐποίησα», καὶ τὰ ἑξῆς.

Στίχ. ιδ'-ις'. «Καὶ σείσω πόλεις κατοικουμένας, καὶ τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσιάν, καὶ ὡς καταλελειμμένα ᾠὰ ἀρῶ· καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι. Μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτοντος; ἢ ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν, ὡς ἄν τις ἄρῃ ῥάβδον ἢ ξύλον; Καὶ οὐχ οὕτως, ἀλλ' ἀποστελεῖ Κύριος Σαβαὼθ εἰς τὴν σὴν τιμὴν ἀτιμίαν, καὶ εἰς τὴν σὴν δόξαν πῦρ καιόμενον καυθήσεται.»

Πρὸς τοῦτον τὸν ὑπερήφανον λογισμόν, εἴτε τις ἀντικειμένη δύναμις ἐτύγχανεν, ὥσπερ ὁ ἄρχων βασιλείας Περσῶν, καὶ ὁ ἄρχων βασιλείας Μήδων, καὶ ὁ ἄρχων βασιλείας Ἑλλήνων· οὕτω γὰρ εἴποι ἄν τις καὶ ἄρχοντα βασιλείας Ἀσσυρίων γεγονέναι τινὰ τὸν ἀλαζονευόμενον καὶ τὰς προκειμένας φωνὰς φθεγξάμενον· εἴτε οὖν πρὸς τοῦτον, εἴτε πρὸς τὸν Βαβυλωνίων βασιλέα τὸν πολιορκήσαντα τὴν Ἱερουσαλήμ, καὶ τὸν ναὸν ἐμπρήσαντα, πάντα τε τὰ αὐτῷ σκεύη ἱερὰ καὶ ἀναθήματα ἑλόντα, καὶ τοῖς αὐτοῦ εἰδώλοις ἀναθέντα ἐν αὐτῇ Βαβυλῶνι, ὥσπερ δεινὰ καὶ ἀπονενοημένα τολμήσαντα εἰπεῖν, ἀποκρίνεται φάσκων ὁ προφητικὸς λόγος· Εἶτα, ὦ πάντων ἀφρονέστατε, οὐ συνορᾷς, ὅτι οὔτε πέλυξ ἑαυτόν ποτε κινήσειεν ἐπὶ κοπὴν ξύλου, μὴ ἑτέρου ἐνεργοῦντος, οὔτε πρίων διέλοι ἂν τὰ πρὸς αὐτοῦ πριζόμενα, μηδενὸς ἕλκοντος, οὐδὲ ῥάβδος τύψειεν ἄν τινα, οὐδὲ ξύλον πλήξειεν αὐτομάτως κινούμενον; Χρὴ δὲ λογίσασθαι, ὅτι οὔτε σοι διακόνῳ ὄντι τῆς τοῦ Θεοῦ ὀργῆς τοσαύτη παρῆν δύναμις, ὡς μυρίων ἐθνῶν κατακρατῆσαι, καὶ τούσδε μὲν κόπτειν, ἑτέρους δὲ παίειν, πόλεις τε ὅλας ἐξανδραποδίζεσθαι, καὶ μυρία πλήθη καταστρωννύναι, παντὸς πρίονος, καὶ πελέκυος, καὶ ῥάβδου χείρονι γενομένῳ, εἰ μὴ Θεὸς ἦν ὁ τῇ σῇ χειρὶ παραδοὺς τοὺς τούτων ἀξίους. Νυνὶ δὲ τούτων μηδὲν λογισάμενος, ἐπῆρας σεαυτόν, ὡς ὑπολαβεῖν σαυτὸν εἶναι τὸν μέγαν νοῦν. Οὐ γὰρ ἔθου πρὸ ὀφθαλμῶν τὴν εἰρήνην τοῦ Θεοῦ τὴν ὑπερέχουσαν πάντα νοῦν· καὶ πάντων μέγιστον νομίσας εἶναι ἑαυτόν, ὑπερηφάνοις δὲ ὀφθαλμοῖς κατεπαρθεὶς τοῦ Θεοῦ, διενοήθης τὰ ὅρια τῶν ἐθνῶν συγχέειν, ἃ ὁ Θεὸς διώρισε καὶ διέταξε καλῶς, «Ὅτε διεμέριζεν ἔθνη ὁ Ὕψιστος, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ· ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ.[1]» Σὺ δὲ τῇ σεαυτοῦ σοφίᾳ καὶ τῇ πεπλανημένῃ συνέσει ᾠήθης δύνασθαι

1. Δευτ. 32, 8.

μεταθεῖναι μὲν τοὺς ὑπὸ τοῦ Θεοῦ εὖ διατεταγμένους ὅρους, ὑποχείριον δὲ σαυτῷ τὴν οἰκουμένην ποιήσασθαι. Μηδένα γὰρ ἐφορᾷν μηδὲ ἀντιλαμβάνεσθαι, μηδὲ Θεῷ μέλλειν τῶν ἐπὶ γῆς ἀνθρώπων ἐνόμισας· διὸ ὥσπερ νεοττῶν ἐρήμων, ἢ ᾠῶν καταλελειμμένων, ὑπέλαβες κρατήσειν τῶν ἐπὶ τῆς οἰκουμένης ἐθνῶν. Δεῖ οὖν ὀρθῷ λογισμῷ διανοηθῆναι, ὅτι καὶ αὐτῶν ὧν ἐκράτησας, οὐκ ἄνευ Θεοῦ νεύματος περιεγένου. Πόθεν γάρ σοι παρῆν τοιαύτη ἐξουσία, μὴ τοῦ Θεοῦ συγκεχωρηκότος, καὶ ὥσπερ ὀργάνῳ χρησαμένου σοι ἐπὶ τιμωρίαν καὶ κόλασιν τῶν ἐπιστροφῆς δεομένων;

Στίχ. ιζ΄, ιη΄. «Καὶ ἔσται τὸ φῶς τοῦ Ἰσραὴλ εἰς πῦρ, καὶ ἁγιάσει αὐτὸν ἐν πυρὶ καιομένῳ· καὶ καταφάγεται ὡσεὶ χόρτον τὴν ὕλην. Τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσβεσθήσεται τὰ ὄρη καὶ οἱ βουνοί, καὶ οἱ δρυμοί.»

Αὐτὸς ὁ πάλαι φωτίζων τὸν ἑαυτοῦ λαὸν Θεός, καὶ ἁγιάζων αὐτόν, σοὶ τῷ ὑπερηφάνῳ γινόμενος πῦρ. Ἀντὶ δὲ τοῦ, «Καὶ ἁγιάσει αὐτὸν ἐν πυρὶ καιομένῳ», ὁ Σύμμαχος, «Καὶ ὁ ἅγιος αὐτοῦ εἰς φλόγα.» Σοὶ γάρ, φησί, τῷ Ἀσσυρίῳ, ἀσεβῆ καὶ ὑπέρογκα λογίσασθαι τετολμηκότι, ὁ ἅγιος Ἰσραήλ, καὶ ὁ πάλαι φῶς αὐτοῦ γεγονώς, εἰς φλόγα καὶ εἰς πῦρ γενήσεται. Βουνοῖς δὲ καὶ ὄρεσι καὶ δρυμοῖς παρεικάζει καλῶς, αὐτήν τε τῶν Ἀσσυρίων πληθύν, καὶ τοὺς ἡγουμένους αὐτῆς καὶ τῶν ἄλλων ὑπερέχοντας, καθάπερ βουνοὺς ἢ ὄρη. Ἀλλ' οὗτοι μὲν ἀποσβεσθήσονται, τουτέστιν, οἱ πάλαι δεινοὶ καὶ θερμοί, καὶ οὐχ ἑκόντες καταψυγήσονται. Καταφάγεται γὰρ αὐτοὺς ὁ θάνατος, μονονουχὶ καὶ ψυχὰς δαπανῶν καὶ σῶμα. Ὅτι μὲν γὰρ οὐ συνανήρηνται τοῖς σώμασιν αἱ ψυχαί, παντί τῳ σαφές ἐστι· ὑπεμφαίνει δὲ δήπου τὸ τῆς ψυχῆς εὐσθενές. Δρυμὸν δὲ λέγων, τὰ πλήθη τὰ σὺν τῷ βασιλεῖ Ἀσσυρίων δηλοῖ· Κάρμηλον δέ, ὡς ὁ Σύμμαχός φησι, τὸν πλοῦτον αὐτοῦ καὶ τὴν τρυφήν, ἅπερ πάντα ἀναλωθήσεσθαί φησιν ὑπὸ τῆς κολαστικῆς δυνάμεως τοῦ προλεχθέντος πυρός.

Στίχ. ιθ΄. «Καὶ καταφάγεται ἀπὸ ψυχῆς ἕως σαρκῶν, καὶ ἔσται ὁ φεύγων, ὡς ὁ φεύγων ἀπὸ φλογὸς καιομένης. Καὶ οἱ καταλειφθέντες ἀπ' αὐτῶν ἀριθμὸς ἔσονται, καὶ παιδίον γράψει αὐτούς.»

Ἐπειδάν, φησί, ταῦτα τῷ Ἀσσυρίῳ συμβῇ, δρασμῷ χρησάμενος φεύξεται, οἵ τε σὺν αὐτῷ πάντες τοῦτο πράξουσιν. Εἰ δέ που βραχεῖς τινες καταλειφθεῖεν, τοσοῦτοι ἔσονται, ὥστε δύνασθαι καὶ τὸ τυχὸν παιδίον τὸν ἀριθμὸν αὐτῶν περιλαβεῖν, καὶ γραφῇ παραδοῦναι, τοῦ λοιποῦ πλήθους ἀπολωλότος. Ταῦτα καὶ πρὸς λέξιν εἴρηται καὶ πρὸς διάνοιαν· πρὸς μὲν λέξιν, ἀνηνεγμένα ἐπὶ τὸν Ναβουχοδονόσορ, τὸν ἐμπρήσαντα τὸν ναὸν καὶ τὴν πόλιν· πρὸς δὲ διάνοιαν, ἐπὶ τὴν ἀντικειμένην δύναμιν, ἧς τὰ λελεγμένα ἐν τῇ προφητείᾳ παθούσης, καθῃρέθη αὐτίκα ἡ τῶν ἐναντίων Ἀσσυρίων δυναστεία.

Στίχ. κ΄, κα΄. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, οὐκέτι προστεθήσεται τὸ καταλειφθὲν Ἰσραήλ, καὶ οἱ σωθέντες τοῦ Ἰακὼβ οὐκέτι

μὴ πεποιθότες ὦσιν ἐπὶ τοὺς ἀδικήσαντας αὐτούς, ἀλλὰ ἔσονται πεποιθότες ἐπὶ τὸν Θεὸν τὸν ἅγιον τοῦ Ἰσραὴλ τῇ ἀληθείᾳ. Καὶ ἔσται τὸ καταλειφθὲν τοῦ Ἰακὼβ ἐπὶ Θεὸν ἰσχύοντα.»

Φησὶ τῷ καιρῷ, καθ' ὃν πάντα τὰ προλεχθέντα κατὰ τοῦ δηλωθέντος ἄρχοντος τῶν Ἀσσυρίων δι' ἔργων χωρήσειεν, οἱ περιλειφθέντες τοῦ αἰχμαλωτισθέντος λαοῦ τῶν Ἰουδαίων, τῆς πολεμίας χώρας ἐλεύθεροι γενόμενοι, καὶ εἰς τὴν οἰκείαν ἐπανελθόντες, οὐκέτι προσέξουσιν οἷς πάλαι προσεῖχον δαίμοσι πονηροῖς, τοῖς τὰς ψυχὰς αὐτῶν ἠδικηκόσι, καὶ πάντων αὐτοῖς κακῶν αἰτίοις γενομένοις· ἀλλὰ τῷ Θεῷ λοιπὸν προσέξουσι μόνῳ, ἅτε λυτρωτῇ καὶ Σωτῆρι αὐτῶν γενομένῳ. Ἐπληροῦτο δὲ καὶ ταῦτα πρὸς λέξιν κατὰ Κῦρον τὸν Περσῶν βασιλέα, ὃς πάντας ἀνῆκε τοὺς ἐν τῇ αἰχμαλωσίᾳ Ἰουδαίους· καθ' ὃν καιρὸν οἵ περὶ τὸν Ζοροβάβελ, καὶ Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ τὸν ἱερέα τὸν μέγαν, οἵ τε ἅμα τῷ Ἔσδρᾳ, καὶ Νεεμίᾳ, τῆς Βαβυλῶνος ἐπανελθόντες, τὸν ναὸν ἤγειραν, καὶ τὴν πόλιν αὐτὴν ἀνεκτίσαντο.

Στίχ. κβ'. «Καὶ ἐὰν γένηται ὁ λαὸς Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα αὐτῶν σωθήσεται.»

Τὴν ἄχρηστον πληθὺν ὁ λόγος σημαίνει τοῦ ἔθνους, τῶν μετὰ τὴν ἐπάνοδον τὴν ἀπὸ Βαβυλῶνος οἰκησάντων τὴν χώραν μέχρι τῶν Ῥωμαϊκῶν χρόνων· οὗτοι γὰρ ἦσαν ὡς ἡ ἄμμος τῆς θαλάσσης, ἐξ ὧν μόνων διεσώθη τὸ κατάλειμμα· οἱ ἐξ αὐτῶν εἰς τὸν Χριστὸν πεπιστευκότες μαθηταὶ αὐτοῦ καὶ ἀπόστολοι καὶ εὐαγγελισταί. Ψάμμος γὰρ θαλάσσης τὸ μὲν πλῆθος ἀναρίθμητον ἔχει· ἄλλως δὲ ἄχρηστος ὑπάρχει πρὸς γεωργίαν. Ἐπειδὰν οὖν ὁ λαός, φησίν, Ἰσραὴλ εἰς πλῆθος ἀναρίθμητον χυθῇ, ἄχρηστον δὲ γένηται ἐν τῇ κατὰ Θεὸν καρποφορίᾳ, τηνικαῦτα τὸ μὲν πλῆθος αὐτῶν ἀπολεῖται· μόνον δὴ τὸ κατάλειμμα αὐτῶν σωθήσεται.

Στίχ. κγ'. «Ὅτι λόγον συντετμημένον Κύριος ποιήσει ἐν τῇ οἰκουμένῃ ὅλῃ.»

Σαφῶς ἄρα τὸ Εὐαγγέλιον τῆς Καινῆς ἠνίξατο Διαθήκης, ἐν ὅλῃ τῇ οἰκουμένῃ κηρυχθέν. Συντετμημένος γὰρ ἦν ὁ λόγος ὁ εὐαγγελικός, τῷ μὴ περιέχειν πάντα τὰ παρὰ τῷ Μωϋσῇ παραγγέλματα. Τῶν δὲ προκειμένων ῥητῶν μέμνηται καὶ ὁ Ἀπόστολος, τοῦτον λέγων τὸν τρόπον· «Ὁ Ἡσαΐας δὲ λέγει ὑπὲρ τοῦ Ἰσραήλ· Ἐὰν ὁ ἀριθμὸς τῶν υἱῶν τοῦ Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ ὑπόλειμμα σωθήσεται. Λόγον γὰρ συντελῶν καὶ συντέμνων ποιήσει Κύριος ἐπὶ τῆς γῆς.[1]»

Στίχ. κδ'. «Διὰ τοῦτο τάδε λέγει Κύριος Σαβαώθ· Μὴ φοβοῦ, ὁ λαός μου, οἱ κατοικοῦντες ἐν Σιών, ἀπὸ Ἀσσυρίων, ὅτι ἐν ῥάβδῳ πατάξει σε· πληγὴν γὰρ ἐπάγω ἐπὶ σέ, τοῦ ἰδεῖν ὁδὸν Αἰγύπτου.»

---

1. Ῥωμ. 9, 27.

Παραινεῖ τοίνυν μὴ φοβεῖσθαι τοὺς Ἀσσυρίους· ἥξειν μὲν γὰρ καὶ ἐπιστρατεύσειν κατὰ τῆς Ἱερουσαλὴμ τὸν τούτων βασιλέα, πρὸς τὸ βραχείας πειραθῆναι πληγῆς τοὺς ἐν αὐτῇ κατοικοῦντας, ὥσπερ ῥάβδῳ παιομένους· ἄπρακτον δὲ αὐτὸν ὑποστρέψειν, φυγῇ χρησάμενον. Ἐπληροῦτο δὲ καὶ ταῦτα ἐπὶ Ἐζεκίου υἱοῦ Ἀχὰζ βασιλεύοντος ἐν Ἱερουσαλήμ, ἀνδρὸς γενομένου, οὐ κατὰ τὸν πατέρα, δικαίου δὲ ἄλλως, καὶ θεοφιλοῦς κατὰ πάντα τρόπον. Εἰ καὶ τὰ μάλιστα οὖν, φησίν, ἐμοῦ ἐπιτρέποντος, καὶ ἐν σοὶ ἐπελεύσεται ὁ τούτων βασιλεύς, ὅμως ἐν ῥάβδῳ ἐπιστρεπτικῇ πατάξει σε, ἀλλ' οὐ ξίφεσιν, οὐδὲ δόρασι πολέμου νόμῳ κρατήσας ἐπεξελεύσεταί σοι. Καὶ αὕτη δὲ ἡ διὰ ῥάβδου κατὰ σοῦ πληγὴ οὐκ ἔσται παράλογος· τὸ γὰρ αἴτιον τοῦ συγχωρηθῆναι τὸν Ἀσσύριον πεπεισμένῃ πληγῇ χρήσασθαι κατὰ σοῦ μὴ ἀγνόει· ἐπειδὴ γὰρ τῇ ὁδῷ Αἰγύπτου πάλιν σεαυτὸν ἐκδέδωκας, εἰδωλολατρείᾳ προσεσχηκὼς κατὰ τοὺς χρόνους Ἀχάζ, τούτου χάριν ὑμᾶς τῇ ῥάβδῳ τοῦ Ἀσσυρίου παραδέδωκα εἰς σωφρονισμὸν καὶ ἐπιστροφήν.

Στίχ. κε', κς'. «Ἔτι γὰρ μικρὸν καὶ παύσεται ἡ ὀργή· ὁ δὲ θυμός μου ἐπὶ τὴν βουλὴν αὐτῶν. Καὶ ἐγερεῖ ὁ Θεὸς ἐπ' αὐτοὺς κατὰ τὴν πληγὴν Μαδιὰμ ἐν τόπῳ θλίψεως· καὶ ὁ θυμὸς αὐτοῦ τῇ ὁδῷ τῇ κατὰ θάλασσαν, εἰς τὴν ὁδὸν τὴν κατ' Αἴγυπτον.»

Μεταβαλόντων μὲ γὰρ ὑμῶν ἐπὶ τὰ κρείττω, καὶ τὸν Θεὸν ἐπεγνωκότων, ἅμα τῷ ὑμετέρῳ βασιλεῖ Ἐζεκίᾳ, καὶ ἡ ἀγανάκτησίς μου ἡ καθ' ὑμῶν παύσεται· ἐμοῦ δὲ τῆς ὑμετέρας σωτηρίας ὑπερασπίζοντος, φεύξεται ὁ Ἀσσύριος ἀσχημόνως, διὰ τῆς ὑμετέρας χώρας καὶ διὰ τῶν ὑμετέρων πόλεων τόπον ἐκ τόπου διαδιδράσκων.

Στίχ. κζ'-λγ'. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀφαιρεθήσεται ὁ ζυγὸς αὐτοῦ ἀπὸ τοῦ ὤμου σου, καὶ ὁ φόβος αὐτοῦ ἐπὶ σοῦ, καὶ καταφθαρήσεται ὁ ζυγὸς ἀπὸ τῶν ὤμων ὑμῶν. Ἥξει γὰρ εἰς τὴν πόλιν Ἀγγαί, καὶ παρελεύσεται εἰς Μαγγεδώ, καὶ ἐν Μαχμὰς θήσει τὰ σκεύη αὐτοῦ. Καὶ παρελεύσεται φάραγγα, καὶ ἥξει εἰς Ἀγγαί. Φόβος λήψεται Ῥαμὰ πόλιν Σαούλ. Φεύξεται θυγάτηρ Γαλλείμ· ἐπακούσεται ἐν Λαϊσά, ἐπακούσεται ἐν Ἀναθώθ. Καὶ ἐξέστη Μαδεβηνά, καὶ οἱ κατοικοῦντες Γιββείρ. Παρακαλεῖτε σήμερον ἐν ὁδῷ τοῦ μεῖναι. Παρακαλεῖτε τῇ χειρὶ τὸ ὄρος τὴν θυγατέρα Σιών, καὶ οἱ βουνοὶ οἱ ἐν Ἱερουσαλήμ. Ἰδοὺ ὁ δεσπότης Κύριος Σαβαὼθ συνταράσσει τοὺς ἐνδόξους μετὰ ἰσχύος· καὶ οἱ ὑψηλοὶ τῇ ὕβρει συντριβήσονται, καὶ ταπεινωθήσονται.»

Σὺ μὲν οὖν, φησὶν πρὸς τὸν λαὸν αὐτοῦ, ἔσῃ ἐλεύθερος καὶ παντὸς ἀπηλλαγμένος φόβου· ὁ δὲ φεύγων, πρότερον μὲν ἥξει εἰς τὴν πόλιν Ἀγγαί· εἶτα ἐκεῖθεν παρελεύσεται εἰς ἕτερον τόπον, καὶ ἀποκαμὼν ἐνταῦθα τὰ σκεύη αὐτοῦ ἀποθήσεται· ἔπειτα διαβήσεται ἐντεῦθεν ἀλλαχοῦ· κἀκεῖθεν εἰς τὴν καλουμένην πόλιν Σαούλ· εἶτα εἰς ἕτερον τόπον· καὶ οὕτως ἀσχημονῶν, ἀφανὴς γενήσεται· ὑμεῖς δὲ παρακαλη-

θήσεσθε, καὶ παραμυθίας τεύξεσθε, μηκέτι ὑποκείμενοι τῷ ζυγῷ τῶν Ἀσσυρίων. Ὑπὲρ γὰρ τοῦ μὴ φεύγειν καὶ καρτερεῖν τὴν πρὸς ὀλίγον ἐπελευσομένην παιδείαν, «Παρακαλεῖτε», φησί, «τὴν θυγατέρα Σιών», δηλαδὴ τοὺς ἐνοικοῦντας τῇ Ἱερουσαλήμ.

Στίχ. λδ΄. «Καὶ πεσοῦνται οἱ ὑψηλοὶ μαχαίρᾳ· ὁ δὲ Λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται».

Ὅρα δέ μοι, ὅσους καὶ ὁσάκις ὑψηλοὺς ὠνόμασεν· ὧν τὸ σύστημα τῷ Λιβάνῳ, καὶ ταῖς ἐν αὐτῷ ὑψηλοτάταις κέδροις ἀφομοιοῖ. Διὸ εἴρηται ἀλλαχοῦ· «Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου·[1]» καὶ ἐν ἑτέρῳ πάλιν· «Φωνὴ Κυρίου συντρίβοντος κέδρους, καὶ συντρίβει Κύριος τὰς κέδρους τοῦ Λιβάνου· καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τὸν Λίβανον.[2]»

ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

Στίχ. α΄. «Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται.»

Πῶς τῶν προειρημένων ἁπάντων ἔσται συντριβὴ καὶ πτῶσις, παρίστησιν ἑξῆς, ἐκ ῥίζης Ἰεσσαὶ προελεύσεσθαι ῥάβδον θεσπίζων· ἥτις ῥάβδος, πάντας τοὺς ὑψηλοὺς συντρίψασα, ταπεινώσει. Διὸ ἐπισυνῆπται· «Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.» Ἀντὶ δὲ τοῦ, «ἐκ τῆς ῥίζης», — «ἀπὸ κορμοῦ» συμφώνως ἡρμήνευσαν οἱ λοιποί. Καὶ γὰρ ἦν ἡ φυλὴ καὶ ἡ πατριὰ ἐξ ἧς προῆλθεν ὁ Σωτήρ, ὥσπερ τις κορμός, μηκέτι κλάδους ἔχων, διὰ τὸ ἐκλελοιπέναι τοὺς ἐκ διαδοχῆς Δαυῒδ βασιλέας μετὰ τὴν εἰς Βαβυλῶνα αἰχμαλωσίαν· διό μοι δοκεῖ κορμὸς ὠνομάσθαι τὸ κατὰ σάρκα γένος τοῦ Δαυῒδ, οὗ ὁ πατὴρ ἦν ὁ Ἰεσσαί. Τὸν χρόνον τοίνυν καθ᾿ ὃν τὰ προειρημένα ἔσται, παριστάς, συνάπτει τὴν εἰς ἀνθρώπους πάροδον τοῦ Χριστοῦ σφόδρα εὐκαίρως. Ἐπειδὴ γὰρ προεδίδαξε διὰ τῶν ἔμπροσθεν τὰ περὶ τῆς ἐκ Παρθένου γεννήσεως, τάς τε ἐπωνύμους προσηγορίας τῶν ἐπινοουμένων ἐν αὐτῷ δυνάμεων, ἀκολούθως ἐπὶ τοῦ παρόντος, ἐξ ὁποίου γένους, καὶ ποίας φυλῆς προελεύσεται, ὁποῖά τε κατορθώσει ἡ εἰς ἀνθρώπους αὐτοῦ πάροδος, προαναφωνεῖ.

Στίχ. β΄, γ΄. «Καὶ ἀναπαύσεται ἐπ᾿ αὐτὸν Πνεῦμα τοῦ Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας· ἐμπλήσει αὐτὸν πνεῦμα φόβου Θεοῦ. Οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει.»

Εὕροιεν γὰρ ἂν οἱ θέλοντες ὅπως ὁ Σωτὴρ ἡμῶν καὶ Κύριος οὐ κατὰ τὴν δόξαν ἔκρινε. Μηδενὸς γὰρ πρόσωπον λαμβάνων ἤλεγχε σὺν παρρησίᾳ πολλῇ ποτὲ μὲν τοὺς γραμματεῖς καὶ Φαρισαίους, ποτὲ δὲ τοὺς ἀρχιερεῖς ἔνδον ἐν τῷ ναῷ, οἷς καὶ ἔλεγεν· «Ἀρθήσεται

1. Ψαλμ. 36, 35. 2. Ψαλμ. 28, 5.

ἀφ' ὑμῶν ἡ βασιλεία, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς.[1]» Ἀλλ' οὐδὲ κατὰ τὴν λαλιὰν ἤλεγχεν· οἱ μὲν γὰρ προσῄεσαν αὐτῷ λέγοντες· «Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ[2]», καὶ τὰ ἑξῆς. Ὁ δὲ οὐ κατὰ τὴν λαλιὰν αὐτῶν ἤλεγχε· διὸ εἰδὼς τὰς πονηρίας αὐτῶν, ἔλεγε· «Τί με πειράζετε, ὑποκριταί;»

Στίχ. δ'. «Ἀλλὰ κρινεῖ ταπεινῷ κρίσιν, καὶ ἐλέγξει τοὺς ταπεινοὺς τῆς γῆς, καὶ πατάξει τὴν γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ.»

Νοήσεις δὲ τό, «Πατάξει γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ», καὶ ἄλλως, ἐπακούσας αὐτοῦ λέγοντος, «Μὴ νομίσητε, ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν.[3]» Μάχαιρα δὲ ἦν ὁ λόγος τοῦ στόματος αὐτοῦ, δι' οὗ τὴν γῆν καὶ τὰ γεώδη φρονήματα τῶν εἰς αὐτὸν πεπιστευκότων ἀνῄρει. «Καὶ ἐν πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβῆ.» Ἀνελεῖ τοίνυν ἀσεβῆ, τοῖς ἀθέοις καὶ ἀσεβέσι δαίμοσιν ἐπιτιμῶν τῷ πνεύματι, καὶ μακρὰν αὐτοὺς ἐλαύνων τῷ διὰ τῶν χειλέων αὐτοῦ προφερομένῳ λόγῳ· ὡς βοᾶν αὐτοὺς καὶ λέγειν· «Τί ἡμῖν καὶ σοί, Υἱὲ τοῦ Θεοῦ; ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς. Οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ.[4]»

Στίχ. ε'. «Καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ εἰλημμένος τὰς πλευρὰς αὐτοῦ.»

Ὥσπερ γὰρ βασιλεὺς ζώνῃ χρυσῇ καὶ λίθοις πολυτελέσι ζώννυται, τὸν αὐτὸν τρόπον καὶ τῷ προφητευομένῳ ζώνην ἀφορίζει τὴν δικαιοσύνην καὶ τὴν ἀλήθειαν. Δυνατὸν δὲ διὰ τούτων καὶ τὴν θεότητα τοῦ Λόγου νοεῖσθαι· αὐτὸς γὰρ ἦν ἡ δικαιοσύνη, ὡς διδάσκει λέγων ὁ Ἀπόστολος· «Ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμός, καὶ ἀπολύτρωσις.[5]» Καὶ αὐτὸς δὲ ὁ Σωτὴρ ἐν Εὐαγγελίοις εἰρηκὼς ἀναγέγραπται, «Ἐγώ εἰμι τὸ φῶς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή.[6]» Αὗται τοίνυν ἡ ἀλήθεια καὶ ἡ δικαιοσύνη τὸν ἐκ ῥίζης Ἰεσσαὶ περιέσφιγγον πλευρὰς καὶ ὀσφὺν ἐν βασιλικῷ καὶ ἐν στρατιωτικῷ σχήματι, τὸ κατὰ τῶν ἀφανῶν καὶ ἀοράτων πολεμίων παράστημα αὐτοῦ ἐμφαίνοντος τοῦ λόγου.

Στίχ. ϛ'. «Καὶ συμβοσκηθήσεται λύκος μετὰ ἀρνός, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ· καὶ μοσχάριον καὶ ταῦρος καὶ λέων ἅμα βοσκηθήσονται, καὶ παιδίον μικρὸν ἄξει αὐτούς· καὶ βοῦς καὶ ἄρκτος ἅμα βοσκηθήσονται, καὶ ἅμα τὰ παιδία αὐτῶν ἔσονται, καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα.»

Λύκοι μὲν οὖν οἱ ἐν ἀνθρώποις ἁρπακτικοί· μεταβαλοῦσι δὲ τῆς μοχθηρίας, ὡς μετὰ ἀρνῶν ἡμέρων καὶ πράων τὰς ψυχὰς ὑπὸ μίαν Ἐκκλησίαν ἀγελάζεσθαι. Ἄλλοι δὲ ὠμότεροι καὶ σφόδρα ἀπηγριωμένοι ἄνδρες, οὐδὲν παρδάλεων διαφέροντες, τὸ τοῦ θηρὸς φοβερὸν ἀποθέμενοι, ἐρίφοις ἅμα τοῖς ἁπλουστέροις καὶ ἀκεραιοτέροις συνα-

1. Ματθ. 21, 43. 2. Ματθ. 22, 16. 3. Ματθ. 10, 34. 4. Ματθ. 8, 29. 5. Α' Κορ. 1, 30. 6. Ἰω. 14, 6.

ναπαύσονται. Καὶ λέοντι δὲ τοὺς τρόπους παρεικασμένοι ἄλλοι, τὸ ὠμόθυμον καὶ σαρκοβόρον ἦθος ἐναλλάξαντες, ὁμοῦ τοῖς ἐν τῇ Ἐκκλησίᾳ νεογνοῖς, ὥσπερ ταῦρος καὶ μόσχος, βοσκηθήσονται, τῆς αὐτῆς ἐκ τῶν θείων λόγων μεταληψόμενοι τροφῆς. Εἰ δὲ καὶ βασιλικούς ποτε ἄνδρας, ἀξιώματι καὶ ὑπεροχαῖς ταῖς κατὰ τὸν βίον τετιμημένους, θεάσοιο ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, μετὰ πενήτων καὶ εὐτελῶν συναγομένους, μὴ ὄκνει λέγειν καὶ οὕτω πεπληρῶσθαι τὴν Γραφήν. Πάντας τοίνυν ὁμοῦ τοὺς ἀποδοθέντας λύκους καὶ ἄρνας, καὶ παρδάλεις, καὶ ἐρίφους, καὶ λέοντας, καὶ μόσχους, καὶ ταύρους, παιδίον νήπιον ἄξειν λέλεκται. Τὸ δέ, «ἄξει», ἀντὶ τοῦ, «συνάξει», λέγεται. Ἔργῳ δὲ ἔστι παραλαβεῖν καὶ τοῦτο, ὁρῶντας ἐν τῇ Ἐκκλησίᾳ Χριστοῦ τοὺς πλείστους τῶν προεστώτων δι' ἁπλότητα ψυχῆς καὶ ἀκακίαν οὐδὲν νηπίων διαφέροντας· ὅμως δ' οὖν ἡγουμένους τῶν ἀπὸ παντὸς γένους κατὰ τὸ αὐτὸ συναγομένων. Εἰπὼν δέ, «Καὶ βοῦς καὶ ἄρκτος βοσκηθήσονται ἅμα, καὶ ἅμα ἔσονται τὰ παιδία αὐτῶν», κἀνταῦθα ἡμέρων τε καὶ εἰς γεωργίαν ψυχῆς ἐπιτηδείων ἀνδρῶν, καὶ ἄλλων ἀπηγριωμένων τοῖς τρόποις, τὴν ἐπὶ τὸ αὐτὸ κοινωνίαν διαγράφει. Σὺ οὖν πλουσίων τε καὶ πενήτων, πονηρῶν τε καὶ ἀγαθῶν παῖδας ὁρῶν συγκροτουμένους ἐπὶ τῆς Ἐκκλησίας, μαρτυρήσεις τῇ προφητείᾳ φησάσῃ, «Καὶ ἅμα τὰ παιδία αὐτῶν ἔσονται.» Ὁ σαρκοβόρος τοίνυν τὴν φύσιν λέων, ἀχύροις τρεφόμενος ποηφάγου ζῴου δίκην, ἄνθρωπος ἂν εἴη πάλιν θηριώδης καὶ ἀπηνής, ψιλῇ τῇ λέξει τῆς θείας χαίρων Γραφῆς. Ὁ μὲν γὰρ λανθάνων ἐν ἀποκρύφῳ νοῦς, αὐτὸς ἂν εἴη ὁ πυρὸς καὶ ὁ ψυχῶν τρόφιμος λόγος· ἡ δὲ τοῦτον περιβάλλουσα λέξις τὸ ἄχυρον.

Στίχ. η'. «Καὶ παιδίον νήπιον ἐπὶ τρωγλῶν ἀσπίδων, καὶ ἐπὶ κοίτην ἐκγόνων ἀσπίδων τὴν χεῖρα ἐπιβαλεῖ.»

Τάχα δὲ τρῶγλαι καὶ κοῖται ἀσπίδων καὶ τῶν τούτοις γεννημάτων εἶεν ἂν καὶ τὰ σώματα τῶν ὑπὸ δαιμόνων ἐνοχλουμένων, οἷς ἐμφωλεύοντα τὰ ἑρπυστικὰ καὶ ἰοβόλα πνεύματα ἐκοιτάζετο, τρώγλαις ὥσπερ τοῖς τοῦ σώματος αἰσθητηρίοις χρώμενα. Ταῦτα δὲ τὸ Χριστοῦ παιδίον, ἀνήρ τις ἁπλοῦς καὶ τὴν κακίαν νηπιάζων, τῇ τοῦ Σωτῆρος ἀπελαῦνον δυνάμει, τὴν χεῖρα αὐτοῦ ἐπιτίθησι μηδὲν κακοποιεῖν δυναμένοις διὰ τὸν ἐκ ῥίζης Ἰεσσαὶ προελθόντα· ὃς ἐξουσίαν ἐδίδου τοῖς αὐτοῦ παιδίοις πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.

Στίχ. θ'. «Καὶ οὐ μὴ κακοποιήσουσι, οὐδὲ μὴ δυνήσονται ἀπολέσαι οὐδένα ἐπὶ τὸ ὄρος τὸ ἅγιόν σου.»

Τοῦτο δέ ἐστι τὸ ὄρος τὸ καὶ διὰ τῶν ἔμπροσθεν δεδηλωμένον, οὐκ ἄλλο τι ὂν τοῦ ἐπουρανίου καὶ εὐαγγελικοῦ λόγου, ἐφ' οὗ ὁ οἶκος τοῦ Θεοῦ, καὶ ἡ Ἐκκλησία αὐτοῦ ᾠκοδόμηται. Ἵνα γοῦν μή τις τὸ ἐνταῦθα λεγόμενον ὄρος νομίσῃ εἶναι τὸ ἐν μέρει γωνίας τῆς Παλαιστίνης Ἰουδαίοις ὑπειλημμένον, διασαφεῖ τὴν διάνοιαν ἑξῆς ἐπιφέ-

ρων· «Ὅτι ἐνεπλήσθη ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας·» οὕτω σημαίνων τὴν καθ' ὅλης τῆς οἰκουμένης ἱδρυμένην Ἐκκλησίαν Θεοῦ, καὶ τὴν ἐν αὐτῇ κηρυττομένην εὐσεβῆ γνῶσιν, τὴν πᾶν τὸ ἁλμυρὸν τῆς κακίας τοῦ βίου, ὥσπερ πολλῷ τῷ ῥεύματι κατακλύζουσαν, καὶ πᾶσαν ψυχῆς μοχθηρίαν ἀποκαθαίρουσαν.

Στίχ. ι'. «Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι· καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή.»

Ἐν ἐκείνῃ οὖν τῇ ἡμέρᾳ, δῆλον δὲ ὅτι κατὰ τὸν προφητευόμενον χρόνον, οὗτος αὐτὸς ἐκ τῆς ῥίζης Ἰεσσαὶ ἀναστησόμενος, μετὰ τὸ ἀναστῆναι, δηλονότι μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, οὐκ Ἰουδαίων ἔσται βασιλεύς, οὐδὲ ὥσπερ αὐτὸς ὁ Δαυῒδ οἵ τε τούτου διάδοχοι, βραχείας τινὸς γωνίας κρατήσει, τῆς δ' ἁπανταχοῦ γῆς ἄρξει. Διὸ οὐδαμῶς θάνατον ὑπογράφει αὐτοῦ· ἀνάπαυσιν δὲ ὀνομάζει, καὶ δόξαν, καὶ τιμήν. Τοῦτο γὰρ ἦν τὸ τέλος τῆς τοῦ Σωτῆρος ἡμῶν εἰς ἀνθρώπους οἰκονομίας· ὃ δὴ καὶ αὐτὸς ὁ Σωτὴρ ἡμῶν δεικνύς, ἔλεγεν ἐν τῇ πρὸς τὸν Πατέρα εὐχῇ· «Πάτερ, δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι, παρὰ σοί.»

Στίχ. ια'. «Καὶ ἔσται τῇ ἡμέρᾳ ἐκείνῃ, προσθήσει ὁ Κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ, τοῦ ζηλῶσαι τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ λαοῦ, ὃ ἂν καταλειφθῇ ἀπὸ τῶν Ἀσσυρίων καὶ ἀπὸ Αἰγύπτου, ἀπὸ Βαβυλωνίας, καὶ ἀπὸ Αἰθιοπίας, καὶ Ἐλαμιτῶν, καὶ ἀπὸ ἡλίου ἀνατολῶν, καὶ ἐξ Ἀραβίας.»

Ἐπειδὴ τοίνυν τὸν ἀνιστάμενον ἐκ ῥίζης Ἰεσσαὶ ἄρξειν τῶν ἐθνῶν ἐθέσπισεν ὁ προφήτης, καὶ ἐπήγαγεν, ὅτι «ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν·» ἀναγκαίως καὶ τοῦ Ἰουδαϊκοῦ γένους μέμνηται διὰ τοῦ προκειμένου, πρὸς τὸ μὴ ὑπολαβεῖν τὸν προφητευόμενον μηδὲν ὠφελήσειν τὸν ἐκ περιτομῆς λαόν. Διδάσκει τοίνυν, ὡς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, τουτέστιν ἐν τῷ χρόνῳ τῆς ἐπιφανείας τοῦ θεσπιζομένου, «προσθήσει Κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ, τοῦ ζηλῶσαι τὸ καταλειφθὲν τοῦ λαοῦ.» Ἀνθ' οὗ ὁ μὲν Ἀκύλας, «Προσθήσει», φησί, «Κύριος δεύτερον τὴν χεῖρα αὐτοῦ, τοῦ ζηλῶσαι τὸ ὑπόλειμμα τοῦ λαοῦ αὐτοῦ· » ὁ δὲ Σύμμαχος, «Προσθήσει Κύριος ἐκ δευτέρου τὴν χεῖρα αὐτοῦ κτήσασθαι τὸ ὑπόλειμμα τοῦ λαοῦ αὐτοῦ.» Ὥσπερ γὰρ ἅπαξ ποτὲ ἐν Αἰγύπτῳ καταπονούμενον τὸν τῶν Ἰουδαίων λαὸν ἠλευθέρωσε τῆς κακώσεως, τὴν χεῖρα αὐτοῦ τὴν παραδοξοποιὸν διὰ Μωϋσέως προστησάμενος, δι' ἧς τὰ παράδοξα θαύματα εἰργάσατο ἐπὶ τῆς Αἰγύπτου χώρας· τὸν αὐτὸν τρόπον προσθήσει πάλιν τὴν χεῖρα αὐτοῦ, ὥσπερ ἐκ δευτέρου κινῶν αὐτὴν διὰ παραδόξων ἔργων, ὑπὲρ τοῦ κτήσασθαι, καὶ ζηλωτὸν ποιῆσαι τὸ καταλειφθὲν τοῦ λαοῦ. Εἴτε γὰρ ἐν τῇ τῶν Ἀσσυρίων χώρᾳ, εἴτε ἐν Αἰγύπτῳ, εἴτε ἐν Βαβυλῶνι, εἴτε ἐν Αἰθιοπίᾳ, εἴτε ἐν τῇ γῇ τῶν

Ἐλαμιτῶν, εἴτε τῇ λοιπῇ οἰκουμένῃ, διεσπαρμένοι τινὲς ἦσαν τοῦ Ἰουδαίων ἔθνους· τούτων αὐτῶν τοὺς εἰς τὸν Χριστὸν πεπιστευκότας, λεῖμμα κατ' ἐκλογὴν χάριτος γενομένους, δοξάσειν καὶ ποιήσειν ζηλωτοὺς εἴρηται. Ὃ δὴ καὶ ἔργοις ἐδηλοῦτο· διὰ γὰρ τῶν αὐτοῦ μαθητῶν καὶ ἀποστόλων, τῶν τε λοιπῶν τῶν ἐξ Ἰουδαίων τὸν Χριστοῦ λόγον παραδεδεγμένων, ἡ Ἐκκλησία τοῦ Θεοῦ συνέστη, καὶ ἡ Ἐκκλησία τῶν ἐθνῶν ἁπάντων δι' αὐτῶν ἀπετελέσθη, καὶ τὸ Εὐαγγέλιον πᾶσι διεδίδοτο τοῖς ἔθνεσι, συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις, καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι, καὶ Πνεύματος ἁγίου μερισμοῖς· οὓς καὶ ζηλωτοὺς ὁ Θεὸς ἐποίει, καὶ παρὰ πᾶσιν ἐνδόξους, τοὺς τὸν καταγγελλόμενον ὑπ' αὐτῶν λόγον παραδεχομένους.

Στίχ. ιβ'. «Καὶ ἀρεῖ σημεῖον εἰς τὰ ἔθνη, καὶ συνάξει τοὺς ἀπολομένους Ἰσραήλ, καὶ τοὺς διεσπαρμένους Ἰούδα συνάξει ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς. Καὶ ἀφαιρεθήσεται ὁ ζῆλος Ἐφραΐμ, καὶ οἱ ἐχθροὶ Ἰούδα ἀπολοῦνται. Ἐφραΐμ οὐ ζηλώσει Ἰούδαν, καὶ Ἰούδας οὐ θλίψει Ἐφραΐμ.»

Πρώτοις γὰρ κηρύττοντες οἱ Χριστοῦ μαθηταὶ τοῖς ἐκ περιτομῆς, συνῆγον τοὺς ἐξ αὐτῶν πεπιστευκότας εἰς τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, πάλαι ὄντας ἀπολομένους, καθ' ὃ ἐδίδασκεν ὁ Σωτὴρ λέγων· «Πορεύεσθε πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.[1]» Ταῦτα δὲ ἔπραττον ἐν ταῖς τέσσαρσι πτέρυξι τῆς γῆς, διατρέχοντες ἀνατολὴν καὶ δύσιν, ἄρκτον καὶ μεσημβρίαν. Πρώτοις μὲν οὖν ἐκείνοις μετεδίδοσαν τοῦ εὐαγγελικοῦ λόγου, ἔπειτα τοῖς λοιποῖς ἔθνεσιν ἐκήρυττον. Διὸ λέλεκται· «Καὶ συνάξει τοὺς ἀπολωλότας Ἰσραήλ, καὶ τοὺς διεσπαρμένους Ἰούδα.» Τίς δὲ συνάξει ἢ ὁ ἀποστολικὸς χορός, ἢ ὁ δι' αὐτῶν κηρυττόμενος ἐκ ῥίζης Ἰεσσαί; Συνήγοντό τε ὑπὸ μίαν Ἐκκλησίαν, οὐκέτι διεστῶτες, οὐδὲ ἀφωρισμένοι ἀλλήλων, ὡς τὸ πρότερον.

Στίχ. ιδ'. «Καὶ πετασθήσονται ἐν πλοίοις ἀλλοφύλων, θάλασσαν ἅμα προνομεύσουσιν.»

Ἐχρῆν τοίνυν αὐτούς, τὰ ἔθνη περινοστοῦντας, πάντως που καὶ τῇ διὰ θαλάσσης χρήσασθαι πορείᾳ. Ὥσπερ οὖν ἱπτάμενοι, ἢ τάχος καὶ τὸν διὰ θαλάττης δρόμον διήνυον· ὡς ἐν βραχεῖ χρόνῳ πλείστοις ἔθνεσι τὸ Εὐαγγέλιον κηρύξαι. Καὶ ποτὲ μὲν διέτρεχον πεζῇ, ποτὲ δὲ διὰ θαλάσσης· οὐκ Ἰουδαίοις χρώμενοι κυβερνήταις, ἀλλ' ἀνδράσιν οὔπω τὸν Χριστὸν παραδεδεγμένοις. Κατὰ τοῦτο δὲ καὶ τὴν θάλασσαν ἐπρονόμευον, οὕτω σημαίνοντος τοῦ λόγου τὰς νήσους, ἃς ἐν παρόδῳ διερχόμενοι, τοὺς ἐν αὐταῖς τῇ σωτηρίῳ καθυπέταττον διδασκαλίᾳ.

«Καὶ τοὺς ἀφ' ἡλίου ἀνατολῶν, καὶ Ἰδουμαίαν, καὶ ἐπὶ Μωὰβ πρῶτον τὰς χεῖρας ἐπιβαλοῦσιν. Οἱ υἱοὶ Ἀμμὼν πρῶτοι ὑπακούσονται.»

1. Ματθ. 10, 6.

Προνομεύσουσιν οὖν, φησίν, οἱ Χριστοῦ μαθηταὶ καὶ τοὺς ἀφ' ἡλίου ἀνατολῶν· ἱστοροῦνται γοῦν τινες αὐτῶν μέχρι τῆς Περσῶν καὶ Ἰνδῶν διεληλυθέναι χώρας. Ἐπειδὴ δὲ ἐδόκουν κατὰ τοὺς χρόνους τοῦ προφήτου Ἰδουμαῖοι, καὶ Μωαβῖται, καὶ Ἀμμανῖται, τὰ περὶ τὴν Ἰουδαίαν Ἀραβικὰ ἔθνη, πολέμια καὶ ἐχθρὰ τυγχάνειν τοῦ παρ' Ἰουδαίους τιμωμένου, διὰ τὴν ἔκτοπον αὐτῶν εἰδωλολατρείαν· εἰκότως τούτων αὐτῶν ὀνομαστὶ μνήμην ὁ λόγος ἐποιήσατο, ὡς καὶ αὐτῶν παραδεξομένων τὴν ὑπὸ τῶν ἀποστόλων κηρυχθησομένην εὐσέβειαν.

Στίχ. ιε'. «Καὶ ἐρημώσει Κύριος τὴν θάλασσαν Αἰγύπτου, καὶ ἐπιβαλεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν ἐν πνεύματι βιαίῳ.»

Αἴγυπτον μὲν τὴν αἰσθητὴν τῶν Αἰγυπτίων χώραν ἀναγκαῖον ὁμολογεῖν· θάλασσαν δὲ αὐτῆς καὶ ποταμὸν ἀλληγορικῶς ἐκδέχεσθαι· ἅπερ φησὶν ἐρημωθήσεσθαι κατὰ τοὺς προφητευομένους χρόνους, ἐν οἷς προσθήσειν εἴρηται ὁ Κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ. Ἡ γὰρ προσθήκη προγενομένοις πράγμασιν ἕτερα ὁμοιότροπα ἐπιγενήσεσθαι δηλοῖ. Πάλαι μὲν οὖν ἐπὶ Μωϋσέως ἡ χεὶρ τοῦ Κυρίου ἐξήγαγε τοὺς υἱοὺς Ἰσραὴλ ἐξ Αἰγύπτου· διήγαγε δὲ τὴν θάλασσαν τὴν Ἐρυθράν, καὶ εἰσήγαγεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, τὴν οὖσαν ἀλλοφύλων πρότερον· νυνὶ δὲ καὶ διὰ τοῦ ἐκ ῥίζης Ἰεσσαὶ ἡ αὐτὴ χεὶρ τοῦ Κυρίου, προσθήκην ἀγαθῶν ποιουμένη, τοὺς ἀποστόλους τοῦ Σωτῆρος, καὶ τοὺς κήρυκας τοῦ σωτηρίου Εὐαγγελίου, Ἰουδαίους ὄντας καὶ ἐξ Ἰουδαίων ὁρμωμένους, ἐπιδόξους καὶ ζηλωτοὺς ἐποίει καθ' ὅλης τῆς οἰκουμένης, οὐ μὴν ἀλλὰ καὶ ἐπ' αὐτῆς Αἰγύπτου, ἔνθα παρῄεσαν ἀκωλύτως, μηδενὸς ἐμποδὼν αὐτοῖς γινομένου· καὶ διῄεσαν ἐπὶ καθαιρέσει τῆς Αἰγυπτιακῆς εἰδωλολατρείας. Καὶ οἱ μὲν ἐπὶ Μωϋσέως ἐξῄεσαν, φεύγοντες τὸν Φαραὼ καὶ τοὺς Αἰγυπτίους· οἱ δὲ Χριστοῦ μαθηταὶ εἰσῄεσαν εἰς Αἴγυπτον αὐτόμολοι κήρυκες τοῦ σωτηρίου λόγου. Καὶ τοῖς μὲν ἐπὶ Μωϋσέως διῄρητο ἡ θάλασσα αἰσθητῶς· τὸ δὲ ὕδωρ τοῦ Αἰγυπτίου ποταμοῦ μετεβάλλετο εἰς αἷμα· ἡ δὲ τῶν ἀγαθῶν προσθήκη ἐπὶ τῶν δηλουμένων χρόνων τῇ μὲν θαλάσσῃ ἐρημίαν ἀπειλεῖ τῇ Αἰγυπτίᾳ, τῷ δὲ ποταμῷ αὐτῶν παντελῆ ἔκλειψιν, πρὸς τὸ δίχα τινὸς κωλύματος τοῦ σωτηρίου Εὐαγγελίου κήρυκας περιελθεῖν τὰς Αἰγυπτίων χώρας, καὶ ἀνατροπὴν μὲν τῆς πολυθέου αὐτῶν δεισιδαιμονίας ἐργάσασθαι, τοῦ δὲ ἐπὶ πάντων Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ, τοῦ ἐκ ῥίζης Ἰεσσαὶ προελθόντος, παραδοῦναι τὴν γνῶσιν. Θεωρητέον δὲ ὅπως οὐ τὴν χώραν Αἰγύπτου, ἀλλὰ τὴν θάλασσαν αὐτῆς λέγεται ὁ Κύριος ἐρημώσειν, τοῦ τῆς εἰδωλολατρείας πλήθους οὕτω δηλουμένου. Ἀντὶ μέντοι τοῦ, «Ἐρημώσει Κύριος τὴν θάλασσαν Αἰγύπτου», οἱ τρεῖς συμφώνως οὕτως ἡρμήνευσαν· «Καὶ ἀναθεματίσει Κύριος τὴν γλῶσσαν θαλάσσης Αἰγύπτου.» Εἰ τοίνυν τὰ πλήθη τῆς κακίας τοῦ βίου θαλάσσῃ παρεικάζεται, ὅρα εἰ εὐλόγως τὴν τῶν ἀθέων καὶ ἀσεβῶν ἀνδρῶν γλῶσσαν, τῶν πάλαι τὸν Θεὸν

ἀγνοούντων, ὡς ἐδήλου λέγων ὁ Φαραώ, «Οὐκ οἶδα τὸν Κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστελῶ», ἀναθεματίσειν τὸν Κύριον λέγεται κατὰ τοὺς τρεῖς ἑρμηνευτάς· ἵνα μηκέτι γλώσσῃ τῇ Αἰγυπτίᾳ τὴν δεισιδαίμονα πλάνην κρατύνωσι, μάθωσι δὲ λαλεῖν τὰ τοῦ Θεοῦ λόγια, καὶ ὀμνύειν ἐν τῷ ὀνόματι Κυρίου Σαβαώθ· ὃ δὴ προϊὼν ὁ λόγος ἔσεσθαι θεσπίζει. Οὕτω δὲ ἀνατεθεμάτισται τῆς Αἰγυπτίας θαλάσσης ἡ γλῶσσα, ὡς ἀποσιωπῆσαι τῶν παρ' αὐτῆς πάλαι τιμωμένων πονηρῶν δαιμόνων τὰ χρηστήρια καὶ τὰ μαντεῖα· λελύσθαι δὲ αὐτῶν καὶ τὰς δι' ἀνδρῶν γοήτων κακοτεχνίας· ἃ δὴ πάντα δι' ἔργων ἐπληροῦτο μετὰ τὸ κήρυγμα τὸ εὐαγγελικὸν τὸ κηρυχθὲν Αἰγυπτίοις. Ἐξ ἐκείνων δὲ καὶ εἰς ἡμᾶς αὐτοὺς τῶν παρ' Αἰγυπτίοις νενομισμένων θεῶν ἡ πᾶσα δύναμις ἀπέσβη, καὶ πάντων δὲ τῶν ἀθέων καὶ δυσσεβῶν ἀνδρῶν τῶν καθ' ὅλης τῆς οἰκουμένης Αἰγυπτιαζόντων κατὰ τὸν ὅμοιον τῆς εἰδωλολατρείας τρόπον ἡ ποτὲ πλημμυροῦσα καὶ κυματουμένη θάλασσα τὴν ἐσχάτην πέπονθεν ἐρημίαν.

«Καὶ ἐπιβαλεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν ἐν πνεύματι βιαίῳ, καὶ πατάξει ἑπτὰ φάραγγας, ὥστε διαπορεύεσθαι αὐτὸν ἐν ὑποδήμασι.» Πνεῦμα βίαιον εἶπε τὸν πρῶτον καθελόντα τὴν βασιλείαν τῶν Αἰγυπτίων Ῥωμαίων ἄρχοντα. Διὰ δὲ τῶν ἑπτὰ φαράγγων νοήσεις ἐπιστήσας τὸν νοῦν, ὡς πάλαι μὲν ἑνὸς ποταμοῦ ῥεῦμα μέγιστον, δι' οὗ τὸ τῆς Αἰγύπτου βασίλειον ἐδηλοῦτο, τῶν αὐτόθι πάντων ἐθνῶν ἐκράτει· παταχθέντος δὲ ἐκείνου καὶ λυθέντος, μερικοί τινες ἄρχοντες αὐτῶν κατὰ χρόνους ἡγοῦντο· οἱ μὲν τὰ Λιβύων διέποντες μέρη, οἱ δὲ ἀφωρισμένως τὰ Θηβαίων, οἱ δὲ αὐτῆς Αἰγύπτου καὶ Ἀλεξανδρείας. Καὶ τούτων οἱ μὲν ἡγεμονίαις τετίμηνται, τῶν δημοτικῶν καὶ πολιτικῶν πραγμάτων ἐγκεχειρισμένοι τὴν φροντίδα· οἱ δὲ ἀφωρισμένως πάλιν τῶν στρατιωτικῶν καθηγοῦνται ταγμάτων· καὶ οὗτοι πάντες ὑπὸ τῆς μείζονος ἐξουσίας ἐπὶ τὰς δηλωθείσας ἀρχὰς προαγόμενοι· κἄπειτα ἰδιωτεύοντες, φάραγξιν εἰκότως παρεβλήθησαν, ὡς ἐν παραθέσει τοῦ πάλαι πλημμυροῦντος αὐτοῖς ποταμοῦ, λέγω δὴ τοῦ βασιλείου, ὃς δὴ τὴν πᾶσαν ἀθρόως αὐτήν τε Αἴγυπτον καὶ τὰ ἀμφὶ ταύτην ἔθνη ἑνὶ ῥεύματι περιέκλυζε· μιᾷ δυνάμει βασιλικῇ κατακρατούσῃ τῶν ὅλων.

Στίχ. ις'. «Καὶ ἔσται δίοδος τῷ καταλειφθέντι μου λαῷ ἐν Αἰγύπτῳ· καὶ ἔσται τῷ Ἰσραὴλ ὡς ἡ ἡμέρα ὅτε ἐξῆλθεν ἐκ γῆς Αἰγύπτου·»

Ὡς βατὴν εἶναι τοῦ λοιποῦ τὴν Αἴγυπτον τοῖς τοῦ Χριστοῦ Εὐαγγέλιον κηρύττουσι, μηδενὸς ἐμποδὼν αὐτοῖς ἐνισταμένου, μηδ' ἐπιβαίνειν κωλύοντος. Διόπερ ὡς μηκέτι συνεστώσης τῆς Αἰγυπτίων βασιλείας, ὡς δὲ τῆς δαιμονικῆς ἐνεργείας τῆς ἐν αὐτοῖς ἀποσβεσθείσης, τὸ κήρυγμα τὸ εὐαγγελικὸν ἐπὶ σχολῆς αὐτοῖς ἐπηγγέλλετο.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Στίχ. α'. «Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Εὐλογήσω σε, Κύριε.»

Ὡς γὰρ ὁ Μωϋσέως λαὸς διέβη ποτὲ τὴν Ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς· εἶτα μετὰ τὴν δίοδον τὴν ᾠδὴν ἦσαν λέγοντες, «Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται·[1]» τὸν αὐτὸν τρόπον καὶ οἱ προφητευόμενοι τοῦ Σωτῆρος ἡμῶν εὐαγγελισταί, αὐτοὶ ὄντες οἱ ἐκ τοῦ παντὸς Ἰουδαίων ἔθνους περιλειφθέντες, ἀκώλυτον ποιούμενοι τὸν δρόμον, καὶ πᾶσαν διατρέχοντες τὴν Αἰγυπτίων χώραν, καὶ Ἰουδαίοις μὲν κηρύττοντες τὸ Εὐαγγέλιον ἐν ταῖς συναγωγαῖς αὐτῶν, ἐκκλησίας δὲ Χριστοῦ συνιστῶντες ἐκ τῆς τῶν ἐθνῶν ἐπιστροφῆς, καινὸν ᾆσμα, ἐμφερῶς τοῖς ἐπὶ Μωϋσέως, ἐδίδασκον ᾄδειν τοὺς δι' αὐτῶν ὠφελουμένους. Τοῦτο δὲ ἦν τὸ προφωνηθὲν ὑπὸ τοῦ Κυρίου, φάσκοντος διὰ τοῦ προφητικοῦ λόγου· «Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Εὐλογήσω σε, Κύριε, διότι ὠργίσθης μοι, καὶ ἀπέστρεψας τὸν θυμόν σου, καὶ ἠλέησάς με.»

Στίχ. β'. «Ἰδοὺ ὁ Θεός μου, Σωτήρ μου, πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ, καὶ οὐ φοβηθήσομαι· διότι ἡ δόξα μου καὶ ἡ αἴνεσίς μου Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν.»

Καὶ ἃ παρακατιὼν ἐνταῦθα διέξεισι. Τὸ γοῦν, «ὠργίσθης μοι», ἐξομολόγησιν προτέρων ἁμαρτημάτων παρίστησιν· ὧν ἕνεκα Θεοῦ ὀργῆς ἦσαν ἄξιοι πρὸ τῆς σωτηρίου κλήσεως οἱ Αἰγύπτιοι· τὸ δέ, «Ἀπέστρεψας τὸν θυμόν σου ἀπ' ἐμοῦ, καὶ ἠλέησάς με», τὴν μετὰ τὴν κλῆσιν δωρηθεῖσαν αὐτοῖς ἄφεσιν τῶν ἁμαρτημάτων σημαίνει. Ἡ γὰρ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ γενομένη καὶ αὐτοῖς Αἰγυπτίοις, καὶ πᾶσι τοῖς τὸν Υἱὸν τοῦ Θεοῦ παραδεδεγμένοις, δεσμῶν λύσιν καὶ ἁμαρτιῶν συγχώρησιν ἐδωρήσατο.

Στίχ. γ'. «Καὶ ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ Σωτηρίου.»

Πάλιν ἀλληγορικῶς ἐνταῦθα παραδεκτέον τὸ ὕδωρ καὶ τὰς πηγὰς τοῦ Σωτηρίου. Νοήσεις δὲ ταῦτα αὐτοῦ λέγοντος τοῦ Σωτῆρος· «Εἴ τις διψᾷ, ἐρχέσθω πρός μέ, καὶ πινέτω· ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.[2]» Πηγαὶ τοίνυν Σωτηρίου λόγοι εἰσὶν εὐαγγελικοί, ἐξ ἁγίου Πνεύματος ἀνωμβρωμένοι.

Στίχ. δ', ε'. «Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Ὑμνεῖτε Κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ, ἀναγγείλατε τοῖς ἔθνεσι τὰ ἔνδοξα αὐτοῦ, μιμνήσκεσθε, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ. Ὑμνήσατε τὸ ὄνομα Κυρίου, ὅτι ὑψηλὰ ἐποίησεν· ἀναγγείλατε ταῦτα ἐν πάσῃ τῇ γῇ.»

Τὸ δέ, «ἐρεῖς», προσφωνεῖ τῷ χορῷ τῶν εὐαγγελιστῶν τοῦ Σωτῆρος ἡμῶν. Ἐν ἐκείνῃ, φησί, τῇ ἡμέρᾳ, δηλαδὴ ἐν τῷ προφητευο-

1. Ἔξ. 15, 1. 2. Ἰω. 7, 37-38.

μένῳ, ἐρεῖς σύ, ὁ κῆρυξ τοῦ σωτηρίου Εὐαγγελίου, τοῖς τὸ κήρυγμα παραδεξαμένοις Αἰγυπτίοις. «Ὑμνεῖτε Κύριον, βοᾶτε τῷ ὀνόματι Κυρίου· ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔνδοξα αὐτοῦ· μιμνήσκεσθε, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ.» Ταῦτα γὰρ σύ, ὁ χρόνος ὁ ἀποστολικός, διδάσκων τοὺς ὑπὸ σὲ μαθητευομένους, ἐρεῖς, παραγγέλλων αὐτοῖς μὴ σιωπᾶν· ἐξαγγέλλειν δὲ τοῖς πᾶσι καὶ εἰς ἐξάκουστον βοᾶν τῆς σωτηρίου εὐεργεσίας τὴν χάριν.

Στίχ. ς΄. «Ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε, οἱ κατοικοῦντες Σιών, ὅτι ὑψώθη ὁ ἅγιος τοῦ Ἰσραὴλ ἐν μέσῳ αὐτῆς.»

Ἤδη δὲ διὰ πλειόνων Σιὼν ἀπεδόθη ὁ εὐαγγελικὸς λόγος, ἐφ' οὗ ἡ Ἐκκλησία τοῦ Θεοῦ ᾠκοδόμηται. Ἐπεὶ τοίνυν ὁ ἅγιος τοῦ Ἰσραὴλ ὑψώθη ἐν μέσῳ τῆς Ἐκκλησίας, εἰκότως ἀγαλλιᾶσθε, φησί, καὶ εὐφραίνεσθε, οἱ ἐν αὐτῇ· ἅτε δὴ μέσον αὐτὸν ἔχοντες τὸν ἅγιον τοῦ Ἰσραήλ, κατὰ τὴν ἐπαγγελίαν ἣν αὐτὸς πεποίηται φήσας· «Ὅπου εἰσὶ δύο καὶ τρεῖς συνηγμένοι ἐν τῷ ὀνόματί μου, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν.[1]»

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Στίχ. α΄, β΄. «Ὅρασις ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμὼς κατὰ Βαβυλῶνος. Ἐπ' ὄρους πεδινοῦ ἄρατε σημεῖον, ὑψώσατε τὴν φωνὴν αὐτοῖς· μὴ φοβεῖσθε, παρακαλεῖτε τῇ χειρί, ἀνοίξατε, οἱ ἄρχοντες.»

Καὶ μετὰ τὰ θεσπισθέντα τὰ ἐπὶ τῆς παρουσίας τοῦ Χριστοῦ γενησόμενα ἑτέρας ἄρχεται ὑποθέσεως τῆς κατὰ Βαβυλῶνος· εἶθ' ἑξῆς δευτέραν τίθησι τὴν περὶ τῶν Φυλιστιαίων· μεθ' ἣν τρίτον ἐστὶ τὸ κατὰ τῆς Μωαβίτιδος· εἶτα καὶ τὸ κατὰ Δαμασκοῦ, καὶ μετὰ ταῦτα ὅρασις Αἰγύπτου· εἶθ' ἕκτον τὸ ὅραμα τῆς Ἰδουμαίας· ἔπειτα λῆμμα τῇ Ἀραβίᾳ· ᾧ ἕπεται τὸ ὅραμα τῆς φάραγγος Σιών· καὶ ἐπὶ πᾶσι τὸ ὅραμα Τύρου. Δέκα δὲ αὗται καὶ συνημμέναι τυγχάνουσι προφητεῖαι περὶ τῶν ἀλλοφύλων ἐθνῶν, αἷς καὶ τὴν φάραγγα Σιὼν συμπεριείληφε, τοῖς ἀλλοφύλοις καὶ τὸν τῶν Ἰουδαίων συγκαλέσας λαόν. Τί δήποτε δὲ τούτων μόνων ὥσπερ ἀποκληρωτικῶς μέμνηται, οὐχὶ δὲ καὶ ἑτέρων ἐθνῶν; Ἐροῦμεν, ὅτι οὐδένες ἄλλοι κατ' ἐκεῖνο καιροῦ παρηνόχλουν τοῖς Ἰουδαίοις ἢ οἱ καταλεχθέντες, συνεχῶς αὐτοῖς ἐπανιστάμενοι· καὶ ποτὲ μὲν τὴν Ἱερουσαλὴμ πορθοῦντες ποτὲ δὲ τὴν χώραν αὐτῶν δῃοῦντες. Διόπερ ὁ λόγος τοὺς πολιορκουμένους ἀναγκαίως ἐδίδασκε τὰ συμβησόμενα τοῖς αὐτοῖς πολιορκοῦσι. Γνῶσιν δὲ αὐτοῖς τὴν διὰ Χριστοῦ καὶ ἀγαθῶν ἐπαγγελίας εὐαγγελίζεται· κηρύττει τε καθολικῶς τοῖς πᾶσι τὸν περὶ τῆς τοῦ Θεοῦ κρίσεως λόγον, προτρέπων ἅπαντας ἀνθρώπους θεοσεβῶς ζῆν, τοῦ δικαιωτηρίου τοῦ Θεοῦ μεμνημένους. Πρώτην οὖν τίθησι τὴν κατὰ Βαβυ-

1. Ματθ. 18, 20.

λῶνος ὅρασιν, προειπὼν ἐν ἀρχῇ τῆς ὅλης βίβλου τὴν κατὰ τῆς Ἱερουσαλήμ. Ἐπειδὴ γὰρ μή ἐστι προσωποληψία παρὰ τῷ Θεῷ, ἀπ᾽ αὐτῶν ἤρξατο τῶν οἰκείων, καὶ εἰς αὐτοὺς πάλιν ἀναστρέφει τὸν λόγον· τῶν δὲ ἀλλοφύλων ἐθνῶν τὴν Βαβυλῶνα προτάσσει. Βασιλικὴ δὲ αὕτη τῶν Ἀσσυρίων πόλις, μεγίστη καὶ δυνατωτάτη. Λέγονται δὲ Ἀσσύριοι πρῶτοι τῆς οἰκουμένης κρατῆσαι ἐφ᾽ ὅλοις χιλίοις καὶ τριακοσίοις ἔτεσι μέχρι τῶν πολιορκούντων τὴν Ἱερουσαλήμ, καὶ τῶν Ἰουδαίων τὸν λαὸν αἰχμάλωτον ἀγαγόντων εἰς τὴν αὐτῶν χώραν. Ἐπὶ ταύτῃ γὰρ τῇ τῶν Ἀσσυρίων πράξει, αὐτίκα καὶ οὐκ εἰς μακράν, τὸ κράτος αὐτῶν κατελύθη.

«Ἀνοίξατε, οἱ ἄρχοντες.» Ταῦτα δὲ τὸ ἐν τῷ προφήτῃ Πνεῦμα θεῖον ἐκ προσώπου τοῦ Θεοῦ Λόγου προφέρει. Αὐτὸς τοίνυν ὁ παρακελευόμενος τοῖς ἀμφ᾽ αὐτὸν ἀγγέλοις ἀνοῖξαι θύρας κεκλεισμένας, καὶ παρακελεύσασθαι τοῖς ἔνδον οὖσι προϊέναι, ἥκειν καὶ σπεύδειν ἐπὶ τὴν τῶν ἀσεβῶν τιμωρίαν. Οἶμαι δὲ διὰ τούτων δηλοῦσθαι τὴν ἀφωρισμένην ταῖς ἀντικειμέναις δυνάμεσιν· ἐν ᾗ ὥσπερ ἐν δεσμωτηρίῳ καθειργμέναι τυγχάνουσι. Καὶ μήποτε αὕτη ἐστὶν ἡ καλουμένη ἄβυσσος, ἐμπεπληρῶσθαι δὲ δρακόντων διδάσκει ὁ φάσκων λόγος, «Δράκοντες καὶ πᾶσαι ἄβυσσοι;[1]» Ὅθεν καὶ τὸν Σωτῆρα παρεκάλουν οἱ δαίμονες, μὴ πέμψαι αὐτούς, ὁπηνίκα ἔλεγε τό, «Ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς.[2]» Οὐ γὰρ ἠγνόουν καιρόν τινα ἔσεσθαι αὐτοῖς τῆς εἰς τὴν ἄβυσσον καθείρξεως.

Στίχ. γ΄. «Ἐγὼ συντάσσω καὶ ἐγὼ ἄγω αὐτούς.»

Τίνες δέ εἰσιν οὗτοι ἑξῆς παρίστησι διασαφῶν καὶ λέγων· «Γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου, χαίροντες ἅμα καὶ ὑβρίζοντες.» Συμφώνως δὲ τοῖς Ἑβδομήκοντα ἡρμήνευσεν ὁ Θεοδοτίων εἰπών· «Καί γε ἐκάλεσα τοὺς γίγαντάς μου·» ὁ δὲ Ἀκύλας καὶ ὁ Σύμμαχος ἀντὶ τοῦ, «γίγαντας», — «δυνατούς» ἡρμήνευσαν. Οὕτω δὲ καλεῖ τὰς τιμωρητικὰς δυνάμεις, δι᾽ ὧν τὰ τῆς κατὰ τῶν ἀσεβῶν ὀργῆς πληροῦται. Ἐπιχαίρουσι κακοί τινες, οὗτοι οἱ λεγόμενοι γίγαντες, ὥσπερ τὰ κατ᾽ εὐχὰς πράττοντες· χαίροντες ἐπὶ τῷ ὑβρίζειν καὶ κολάζειν τοὺς ἀσεβεῖς, ἅτε δὴ μὴ ἔχοντες σπλάγχνα οἰκτιρμῶν.

Στίχ. δ΄. «Φωνὴ ἐθνῶν πολλῶν ἐπὶ τῶν ὀρέων, ὁμοία ἐθνῶν πολλῶν. Φωνὴ βασιλέων καὶ ἐθνῶν συνηγμένων.»

Οἱ μέλλοντες τότε τῇ τιμωρίᾳ παραδίδοσθαι φωνὰς ἀφήσουσι, τὰ ἑαυτῶν ἐξομολογούμενοι κακά· ὁμοῦ δὲ καὶ κατὰ ταὐτὸν τὰ ἔθνη πάντα, καὶ οἱ τούτων βασιλεῖς, μίαν τὴν αὐτὴν ἀποδώσουσι φωνήν, ὀλοφυρόμενοι τὰς ἑαυτῶν συμφοράς. Οἱ δὲ ἀνωτέρω γίγαντες ὀνομασθέντες ὁπλομάχοι ἐνταῦθα λέγονται, μακρὰν ὄντες πάλαι, καὶ ὥσπερ ἐν θεμελίοις τοῦ οὐρανοῦ ἀποκεκλεισμένοι· οὕς, ὅτε καιρὸς καλεῖ,

1. Ψαλμ. 148, 7. 2. Ματθ. 8, 29.

προστάττει ἔρχεσθαι ὁ τῶν ὅλων κριτὴς ἐπὶ τῷ καταφθεῖραι πᾶσαν τὴν τῶν κακῶν οἰκουμένην, μετὰ τὸν ἀφορισμὸν τῶν δικαίων. Ἐπεὶ καὶ ἐν τοῖς Εὐαγγελίοις ὁ Υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐπὶ θρόνου δόξης αὐτοῦ τοὺς ἐκ δεξιῶν ἐπὶ τὴν ἡτοιμασμένην αὐτοῖς βασιλείαν πρὸ καταβολῆς κόσμου καλεῖ· ὧν παραληφθέντων καὶ εἰσαχθέντων ἐπὶ τὴν ἐπαγγελίαν, ἐπὶ τὰ λοιπὰ ἔθνη τὰ ἐν τοῖς ἀριστεροῖς εὑρεθησόμενα ἡ ἀπειλὴ τοῦ πυρὸς ἐξενήνεκται.

Στίχ. ς', ζ'. «Ὀλολύζετε· ἐγγὺς γὰρ ἡμέρα Κυρίου, καὶ συντριβὴ παρὰ τοῦ Κυρίου ἥξει. Διὰ τοῦτο πᾶσα χεὶρ ἐκλυθήσεται, καὶ πᾶσα ψυχὴ ἀνθρώπου δειλιάσει· ταραχθήσονται οἱ πρέσβεις, καὶ ὠδῖνες αὐτοὺς ἕξουσιν, ὡς γυναικὸς τικτούσης.»

Οὔπω οὖν, φησίν, ἐπέστη τὰ ἠπειλημένα· μέλει δὲ ὅσον οὔπω. Διὸ προλαβόντες, κλαυθμῷ καὶ θρήνῳ, καὶ ὀλολυγῇ ἐξιλεώσασθε τὰ ἑαυτῶν κακά· μέλλει γὰρ ἡ προλεχθεῖσα ἡμέρα τῆς ὀργῆς τοῦ Θεοῦ ἐφίστασθαι. Ἢ πρέσβεις ἐνταῦθα καλεῖ τοὺς προϊσταμένους τῶν τῆς ἀθεότητος λόγων, καὶ τοὺς πρεσβεύοντας ὑπὲρ τῆς εἰδωλολατρείας πλάνης, τούς τε διδασκάλους τῶν ἀθέων καὶ ἀσεβῶν δογμάτων, οὓς μετελεύσεται τὰ κατηριθμημένα πάντα.

Στίχ. ι', ια'. «Οἱ γὰρ ἀστέρες τοῦ οὐρανοῦ, καὶ ὁ Ὠρίων, καὶ πᾶς ὁ κόσμος τοῦ οὐρανοῦ, τὸ φῶς οὐ δώσουσι, καὶ σκοτισθήσεται τοῦ ἡλίου ἀνατέλλοντος, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς. Καὶ ἐντελοῦμαι τῇ οἰκουμένῃ ὅλῃ κακά, καὶ τοῖς ἀσεβέσι τὰς ἁμαρτίας αὐτῶν· καὶ ἀπολῶ ὕβριν ἀνόμων, καὶ ὕβριν ὑπερηφάνων ταπεινώσω.»

Κατὰ γὰρ τὸν τῆς συντελείας καιρὸν οὔθ' ὁ ἥλιος οὔθ' ἡ σελήνη, οὔθ' οἱ ἀστέρες τοῖς κολάσει καὶ τιμωρίᾳ παραδοθησομένοις ἀσεβέσι τὸ ἑαυτῶν φῶς οὐ δώσουσι. Μεταβάλλοντες δὲ καὶ οἱ φωστῆρες ἀπὸ τῆς ἑαυτῶν ὑπηρεσίας ἐπὶ ἑτέραν ἥξουσι κρείττονα λῆξιν, ὥσπερ τινὸς παλιγγενεσίας τευξόμενοι, καὶ μηκέτι μὲν τῇ τῶν σωμάτων δουλεύοντες ματαιότητι, ἐλευθερούμενοι δὲ ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, κατὰ τὸν ἀποστολικὸν λόγον. Οὐρανὸν τοιγαροῦν λέγει ἢ τὰς οὐρανίας δυνάμεις, ἢ καὶ αὐτὴν τὴν κτίσιν συναγανακτοῦσαν τῷ Θεῷ ἐπὶ ἀπονοίᾳ, καὶ ἀλαζονείᾳ, καὶ ἀθεότητι.

Στίχ. ιβ'-ιδ'. «Καὶ ἔσονται οἱ καταλελειμμένοι ὡς δορκάδιον φεῦγον, καὶ ὡς πρόβατον πλανώμενον, καὶ οὐκ ἔσται ὁ συνάγων· ὥστε ἄνθρωπον εἰς τὸν λαὸν αὐτοῦ ἀποστραφῆναι, καὶ ἄνθρωπος εἰς τὴν χώραν αὐτοῦ φεύξεται.»

Φεύξονται μὲν γὰρ οἱ φεύγοντες, δεξιοῦ τινος τυχεῖν, ἢ καταφυγὴν εὑράσθαι παρά τινι τῶν γνωρίμων, οὐ μὴν εὑρήσουσι.

Στίχ. ιε'. «Οὐκ ἔσται γὰρ ὁ συνάγων αὐτούς. Ὃς γὰρ ἂν ἁλῷ, ἡττηθήσεται, καὶ οἵτινες συνηγμένοι εἰσί, πεσοῦνται μαχαίρᾳ.»

Κἂν τινες οὖν, φησίν, ἐν αὐτοῖς πειραθεῖεν φυγῇ τὴν σωτηρίαν πορίσασθαι· καὶ οὗτοι εὐάλωτοι γενήσονται, οὐ δόρκοις τελείοις ἀπο-

πηδῶσι, κοῦφόν τε καὶ ταχὺν ποιουμένοις τὸν δρόμον ἐοικότες, ἀλλὰ δορκαδίοις.

Στίχ. ιϛ'. «Καὶ τὰ τέκνα αὐτῶν ῥήξουσιν ἐνώπιον αὐτῶν, καὶ τὰς οἰκίας αὐτῶν προνομεύσουσι, καὶ τὰς γυναῖκας αὐτῶν ἕξουσιν.»

Ὁμοίως γὰρ ἄρα τοῖς κολαζομένοις ἀνδράσι καὶ τὰς τούτων γυναῖκας ἀθέους καὶ ἀσεβεῖς καὶ τὰς γειναμένας ταῖς ἴσαις ὑποβάλλουσι τιμωρίαις, ὥσπερ οὖν καὶ τὰ τέκνα αὐτῶν τὰ ἀσεβῆ, τὰς οἰκείας, καὶ τῇ τῶν τρόπων αὐτῶν μοχθηρίᾳ ἐξοικειωθείσας καὶ παρομοιωθείσας ψυχάς.

Στίχ. ιζ'. «Ἰδοὺ ἐπεγερῶ ὑμῖν τοὺς Μήδους, οἳ οὐ λογίζονται ἀργύριον, οὐδὲ χρυσίου χρείαν ἔχουσι, τοξεύματα νεανίσκων συντρίψουσι.»

Μέγα μὲν γὰρ αὐτοῖς ἐπὶ ταῖς τοξείαις τὸ φύσημα, καὶ τὸ εὐτεχνὲς ἐν τούτοις ποιοῦνται περὶ πολλοῦ· ἀλλ' ἥττους ἔσονται τῶν ἐχθρῶν. Σκληροὶ δὲ οὕτω καὶ ἀφιλοικτίρμονες οἱ νενικητότες, ὡς μηδὲ τῆς ἐλεεινῆς ἡλικίας φειδὼ ποιεῖσθαί τινα. Τῷ δὲ φάσκοντι λόγῳ, «Ἰδοὺ ἐπεγερῶ ὑμῖν τοὺς Μήδους», μαρτυρεῖ ἡ τῆς ἱστορίας ἔκβασις, ἀνάγραπτος οὖσα παρὰ τοῖς Ἑλλήνων τὰ Χαλδαϊκὰ καὶ τὰ Ἀσσυριακὰ συγγραψαμένοις, τοῖς τε τὰ Μηδικὰ ἱστορηκόσιν· ὧν καὶ ἡμεῖς πλείστας ἀνελεξάμεθα μαρτυρίας ἐν τοῖς πονηθεῖσιν ἡμῖν «Χρονικοῖς» συγγράμμασι. Φαίνονται τοίνυν Μῆδοι τὴν Ἀσσυρίων καθελόντες ἀρχήν· τούτους τε Κῦρος ὑποτάξας ὁ Περσῶν βασιλεὺς πρῶτος, ὁ καὶ τὴν αἰχμαλωσίαν τῶν Ἰουδαίων ἀνείς· καὶ δοὺς ἐξουσίαν τοῖς θέλουσιν αὐτῶν εἰς τὴν οἰκείαν ἐπανιέναι χώραν, καὶ ἀνεγείρειν τὸν ναὸν τοῦ Θεοῦ.

Στίχ. ιθ'. «Καὶ ἔσται Βαβυλών, ἣ καλεῖται ἔνδοξος ἀπὸ βασιλέως Χαλδαίων, ὃν τρόπον κατέστρεψεν ὁ Θεὸς Σόδομα καὶ Γόμορρα, οὐ κατοικηθήσεται εἰς τὸν αἰῶνα.»

Ἀοίκητος δὲ καὶ παντελῶς ἔρημος εἰσέτι καὶ νῦν ὁρᾶται ἡ Βαβυλών· μάρτυρες δὲ τούτων οἱ ἐκ τῶν τόπων ἐκείνων πρὸς ἡμᾶς ἀφικνούμενοι.

«Οὐδ' οὐ μὴ εἰσέλθωσιν εἰς αὐτὴν διὰ πολλῶν γενεῶν, οὐδ' οὐ μὴ διέλθωσιν αὐτὴν Ἄραβες, οὐδὲ ποιμένες οὐ μὴ ἀναπαύσωνται ἐν αὐτῇ.» Οὕτω δηλουμένων, ὡς οἶμαι, τῶν παρ' ἡμῖν καλουμένων Σαρακηνῶν, οἵ, τὰς πραγματείας ποιούμενοι, καὶ ἐπ' αὐτῆς Βαβυλῶνος τὸ παλαιὸν ἐσκηνοποιοῦντο. Φευκτὸς δὲ οὕτω καὶ τοῖς ὁμόροις, καὶ τοῖς ἐξ ἔθνους μακροῦ περινοστοῦσιν αὐτήν, ὡς μηδὲ ποιμένας τοὺς ἐξ Ἀράβων κατανεμῆσαί τι τῶν ἰδίων θρεμμάτων ἐν αὐτῇ, διά τοι τὸ ἠρημῶσθαι παντελῶς. Ἰστέον δέ, ὅτι τὰ Σαρακηνῶν ἔθνη, καὶ μέχρις αὐτῆς διήκοντα τῆς Ἀσσυρίων καὶ τὴν ἐσωτάτω νεμόμενα ἔρημον, Ἄραβας ὀνομάζει· γείτονα γὰρ ἔχουσι τὴν Ἀράβων χώραν.

Στίχ. κα', κβ'. «Καὶ ἀναπαύσονται ἐκεῖ θηρία· καὶ ἐμπλησθή-

σονται αἱ οἰκίαι ἤχου· καὶ ἀναπαύσονται ἐκεῖ σειρῆνες, καὶ δαιμόνια ἐκεῖ ὀρχήσονται, καὶ ὀνοκένταυροι ἐκεῖ κατοικήσουσιν· καὶ νοσσοποιήσουσιν ἐχῖνοι ἐν τοῖς οἴκοις αὐτῶν, ταχὺ ἔρχεται καὶ οὐ χρονιεῖ.»

Τῶν μὲν οὖν ἡμέρων καὶ λογικῶν ζώων ἔρημον καταστήσας τὴν Βαβυλῶνα, οὐδὲν οἰκήσειν θεσπίζει· θηρία δέ τινα ἄδηλα ἡμῖν καὶ ἄγνωστα, δαίμονάς τινας καὶ πνεύματά τινα ἀπηνῆ καὶ ἀνήμερα ἔσεσθαι ἐν αὐτῇ φησι. Διὸ ἀντὶ τοῦ, «θηρία», «σείειν» οἱ λοιποὶ ἑρμηνευταὶ ἐκδεδώκασι· καὶ ἀντὶ τοῦ, «σειρῆνες», στρουθοκαμήλους», εἰρήκασι· καὶ ἀντὶ τοῦ, «ὀνοκένταυροι», «σείειν», ἀνέγραψαν, αὐτῇ χρησάμενοι τῇ Ἑβραΐδι φωνῇ διὰ τὸ ἄδηλον τῆς ἑρμηνείας· ἀλλὰ καὶ ἀντί, «ἐχίνων», ὁμοίως οἱ τρεῖς ἑρμηνευταί, «σειρῆνας», ἡρμήνευσαν· τάχα που διὰ τὸ ἀπατηλὸν τῶν τοιούτων δαιμόνων. Ἐπεὶ παρ' Ἕλλησιν ἡδύφωνοί τινες αὗται καὶ ἀπατηλοὶ γεγενῆσθαι μνημονεύονται. «Ταχὺ ἔρχεται, καὶ οὐ χρονιεῖ.» Ἅπας γε μὴν καὶ νομιζόμενος παρὰ ἀνθρώποις μακρότατος εἶναι χρόνος βραχύτατος παρὰ τῷ Θεῷ κριτῇ λελόγισται. Χίλια οὖν ἔτη ἐνώπιον αὐτοῦ ὡς ἡμέρα ἡ χθὲς λελόγισται, καὶ ὡς φυλακὴ ἐν νυκτί. Ἀλλὰ καὶ οὐκ εἰς μακροὺς τῶν χρόνων κύκλους τῆς ἐκβάσεως τὰ θεσπισθέντα ἔτυχε, τὰ προρρηθέντα παθούσης τῆς Βαβυλῶνος ἐπὶ τῆς Μήδων ἀρχῆς.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Στίχ. α', β'. «Καὶ ἐλεήσει Κύριος τὸν Ἰακώβ, καὶ ἐκλέξεται ἔτι τὸν Ἰσραήλ, καὶ ἀναπαύσονται ἐπὶ τῆς γῆς αὐτῶν, καὶ ὁ γειώρας προστεθήσεται πρὸς αὐτούς· καὶ προστεθήσεται πρὸς τὸν οἶκον Ἰακώβ. Καὶ λήψονται αὐτοὺς ἔθνη, καὶ εἰσάξουσιν εἰς τὸν τόπον αὐτῶν, καὶ κατακληρονομήσουσι, καὶ πληθυνθήσονται ἐπὶ τῆς γῆς εἰς δούλους καὶ δούλας, καὶ ἔσονται αἰχμάλωτοι οἱ αἰχμαλωτεύσαντες αὐτούς, καὶ κυριευθήσονται οἱ κυριεύσαντες αὐτούς.»

Ἀκολούθως τοίνυν μετὰ τὰ προλεχθέντα κατὰ τῆς Βαβυλῶνος, διὰ τούτων τὴν ἐπὶ Κύρου γενομένην ἐπιστροφὴν τοῦ τῶν Ἰουδαίων λαοῦ τὴν ἀπὸ τῆς πολεμίας ἐπὶ τὴν Ἱερουσαλὴμ σημαίνει, διδάσκων, ὡς ἀναπαύσονται ἐπὶ τῆς ἑαυτῶν χώρας ἐπανελθόντες, καὶ ὡς ὁ γειώρας προστεθήσεται αὐτοῖς. Ἀντὶ δὲ τοῦ,«ὁ γειώρας», οἱ λοιποὶ ἑρμηνευταί, «ὁ προσήλυτος» ἡρμήνευσαν. Οὕτω γὰρ εὖ πράξειν αὐτοὺς ἐπὶ τῆς ἑαυτῶν γῆς φησιν, ὡς καὶ ἀλλοφύλους ἀντιποιηθῆναι τῆς αὐτῶν θεοσεβείας, γενέσθαι τε προσηλύτους, καὶ προστεθῆναι τῷ οἴκῳ Ἰακώβ.

Στίχ. γ', δ'. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀναπαύσει Κύριός σε ἀπὸ τῆς ὀδύνης καὶ τοῦ θυμοῦ σου, καὶ τῆς δουλείας σου τῆς σκληρᾶς, ἧς ἐδούλευσας, αὐτοῖς· καὶ λήψῃ τὸν θρῆνον τοῦτον ἐπὶ βασιλέα Βαβυλῶνος.»

Πέρσαι γὰρ καὶ Μῆδοι, πᾶσαν Ἀσσυρίων ἀρχήν, καὶ αὐτοὺς

τοὺς Βαβυλωνίους, ὑποχειρίους λαβόντες, τῇ ἑαυτῶν ὑπέταξαν δυνάμει.

Στίχ. ε΄-η΄. «Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Πῶς ἀναπέπαυται ὁ ἀπαιτῶν, καὶ ἀναπέπαυται ὁ ἐπισπουδαστής; Συνέτριψε Κύριος τὸν ζυγὸν τῶν ἁμαρτωλῶν, τὸν ζυγὸν τῶν ἀρχόντων, πατάξας ἔθνος θυμῷ πληγῇ ἀνιάτῳ. Παίων ἔθνος πληγὴν θυμοῦ, ἣ οὐκ ἐφείσατο, ἀνεπαύσατο πεποιθώς. Πᾶσα ἡ γῆ βοᾷ μετ᾽ εὐφροσύνης. Καὶ τὰ ξύλα τοῦ Λιβάνου εὐφράνθησαν ἐπὶ σοί, καὶ ἡ κέδρος τοῦ Λιβάνου· ἀφ᾽ οὗ σὺ κεκοίμησαι, οὐκ ἀνέβη ὁ κόπτων ἡμᾶς.»

Κέδροι τοίνυν καὶ πίτυες, κατὰ τὸν Σύμμαχον πάλιν ἀλληγορικῶς τυράννους τινὰς ἐπηρμένους σημαίνουσιν, ὑπὸ τῆς Βαβυλωνίας πολιορκηθέντας καὶ τῆς οἰκείας ἀποκοπέντας χώρας· οὓς εἰκὸς ἦν ἐπιχαρῆναι τῇ πτώσει τοῦ δηλουμένου.

Στίχ. θ΄. «Ἅδης κάτωθεν ἐπικράνθη συναντήσας σοι· συνηγέρθησάν σοι πάντες οἱ γίγαντες οἱ ἄρξαντες τῆς γῆς, οἱ ἐγείραντες ἐκ τῶν θρόνων αὐτῶν πάντας βασιλεῖς ἐθνῶν.»

Ἐροῦμεν δὲ καὶ ἡμεῖς εἰκότως τῷ Σατανᾷ, οἱ πάλαι μὲν παρ᾽ ἐκείνου πεπορθημένοι· ἑδραῖον δὲ λοιπὸν ἐσχηκότες ἐν Χριστῷ τὸ φρόνημα, καὶ νοῦν εἰς εὐσέβειαν ἀσφαλῆ καὶ ἐρριζωμένον, καὶ καρδίαν εὐθαλεστάτην· «Ἀφ᾽ οὗ σὺ κεκοίμησαι, οὐκ ἀνέβη ὁ κόπτων ἡμᾶς.»

Στίχ. ι΄, ιβ΄. «Πάντες ἀποκριθήσονται καὶ ἐροῦσί σοι· Καὶ σὺ ἑάλως, ὥσπερ καὶ ἡμεῖς· ἐν ἡμῖν δὲ κατελογίσθης. Κατέβη εἰς ᾅδου ἡ δόξα σου, ἡ πολλὴ εὐφροσύνη σου. Ὑποκάτω σου στρώσουσι σῆψιν, καὶ τὸ κατακάλυμμά σου σκώληξ. Πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ Ἑωσφόρος ὁ πρωῒ ἀνατέλλων; συνετρίβη πρὸς τὴν γῆν ὁ ἀποστέλλων πρὸς πάντα τὰ ἔθνη;»

Οἱ μὲν ἐπὶ γῆς ὄντες, φησί, τὰ ἀνωτέρω εἰρημένα φήσουσιν· οἱ δὲ τὸν ἀνθρώπινον ἀπαλλάξαντες βίον, καὶ ὥσπερ ἐν δεσμοῖς τοῖς τοῦ ᾅδου χωρίοις ἀπολειφθέντες, καὶ αὐτοὶ τῇ ἀπωλείᾳ αὐτοῦ λέξουσι τὰ ἐπιφερόμενα. Φθάσας δὲ τοὺς ἐκεῖ πάντας ὁ ᾅδης, καὶ ἡ ἐφεστῶσα ταῖς τῶν τεθνηκότων ψυχαῖς δύναμις, ὥσπερ τις δεσμωτηρίου τυγχάνουσα φρουρός, κάτωθεν ἐκ τῶν σκοτεινῶν μυχῶν μετὰ θυμοῦ καὶ ὀργῆς ἐπαναστήσεταί σοι. Τούτου δὲ ὥσπερ ἄρχοντος τῶν ἐκεῖ κρατοῦντος τοῦ οἰκείου διεγερθέντος θρόνου, καὶ οἱ λοιποὶ πάντες γίγαντες, οἱ κατὰ τοὺς ἑρμηνευτὰς «Ῥαφαΐμ», συνανέστησαν. Τίνες δὲ οὗτοι, διερμηνεύει λέγων· Οἱ ἄρχοντες τῆς γῆς, οἱ ἐγείραντες ἐκ τῶν θρόνων αὐτῶν πάντας βασιλεῖς ἐθνῶν, καὶ τὰ αὐτὰ τῷ κατηγορουμένῳ βασιλεῖ Βαβυλῶνος πράξαντες. Οἳ καὶ γυμνὴν καὶ ἔρημον τοῦ σώματος τὴν τοῦ ποτε βασιλεύσαντος Βαβυλῶνος ψυχὴν ὁρῶντες φήσουσιν αὐτῇ· Καὶ σοῦ κρείττων γέγονε θάνατος, ὡς καὶ σὲ ὅμοιον ἡμῖν ἀπελέγξαι; Οὐδὲν ἄρα ἦν ὁ ὑπὲρ γῆν βίος, καὶ ὁ πλοῦτος καὶ ἡ δόξα, καὶ ἡ τοσαύτη δυναστεία· ἀλλὰ τῶν πάντων ἐκείνων πέρας γῆ

καὶ σποδὸς διαδέξεται, σκώληξ τε καὶ σαρκῶν σῆψις. Ἡμεῖς δέ σε οὐ θνητὸν ἐνομίζομεν· ἀπατώμενοι δὲ τῇ περὶ σὲ δόξῃ, τῷ κατ' οὐρανὸν λαμπροτάτῳ φωστῆρι, τῷ τὸν ἥλιον προσκαλουμένῳ Ἑωσφόρῳ ἀπεικάζομεν. Σὺ δὲ ἐπὶ σαυτῷ καὶ μείζονα τούτων ἐφρόνεις γαυριῶν, καὶ μανίᾳ φρενῶν ἀλαζονευόμενος, ὡς σαυτὸν τῷ ὑψίστῳ Θεῷ παραβάλλειν, καὶ ὑπὲρ τὰς οὐρανίας ἁψῖδας τὸν σαυτοῦ θρόνον θήσειν φαντάζεσθαι. Ταῦτα μὲν οὖν περὶ σοῦ ἡμεῖς, θνητοῖς λογισμοῖς ἀπατώμενοι, διενοούμεθα· τοιαῦτα δὲ καὶ σὺ ἐπὶ σαυτῷ φρενῶν ἐκστάσει ἐφρόνεις. Ἦν δ' ἄρα καὶ τοῦ περὶ σὲ τέλους ἔλεγχος ὁ χρόνος καθ' ὃ ἑάλως· οὐδὲ τοῖς λοιποῖς ἀνθρώποις ὁμοίαν ἐσχηκὼς τελευτήν. Οἱ μὲν γὰρ ἐφ' ἡσυχίας, ἠρέμα καὶ πράως ἐπὶ τῆς ἑαυτῶν ἑστίας, τὸ χρέος ἀπέδοσαν· σὺ δέ, τῇ τῶν πολεμίων μαχαίρᾳ τὴν ζωὴν ἀφαιρεθείς, νεκρὸς ἄταφος ῥιφήσῃ, θηρσὶ βορὰ καὶ οἰωνοῖς ἐγκείμενος. Ἕως μὲν οὖν συνειστήκει ἡ Βαβυλών, βασίλειόν τε ἦν καὶ δυναστεία μεγάλη τῶν αὐτόθεν κρατούντων· τάχα που καὶ ἡ ἐπιστατοῦσα δύναμις αὐτοῖς τὰ μεγάλα συνέπραττεν· ἐπεὶ δὲ ἠφάνιστο ἡ βασιλεία τοῦ ἔθνους, καὶ ὁ ἐφεστὼς αὐτοῖς ἄρχων, ὡσπερεὶ πληρώσας ἑαυτοῦ χρόνους, εἰς τὸν τῶν ὁμοίων αὐτῷ χῶρον παρελαμβάνετο, ἐν ᾧ συνήντησαν αὐτῷ πάντες οἱ Ῥαφαεὶμ καλούμενοι, ἢ οἱ γίγαντες· οὗτοι δὲ καὶ αὐτοὶ δυνάμεις εἰσί τινες, αἵ, ὡς εἰκός, ἦσαν ἑτέρων ἐθνῶν κατὰ χρόνους οὐκ ὀρθῶς ἡγησάμεναι. Μήτ' οὖν αὐτὸς οὗτος ὁ τῆς Βαβυλῶνος ἄρχων ποτὲ γεγονώς, τὴν ἑαυτοῦ γῆν διέφθειρε, Θεὸς παρ' αὐτοῖς νομιζόμενος, οὕτω δὲ καὶ τὸν ἑαυτοῦ λαὸν ἀπέκτεινε, καὶ τοὺς ἑαυτοῦ υἱοὺς σφαγῇ παραδέδωκεν, εἰς ἀπώλειαν τοῖς ὑπ' αὐτοῦ ἀρχομένοις, διὰ τὸ νομισθῆναι παρ' αὐτοῖς Θεὸς εἶναι γεγονώς; Εἰ δ' ἔχει ταῦτα οὕτως, ὥρα καὶ πάντα τὸν τῆς προφητείας λόγον, τὸν περὶ τοῦ βασιλέως Βαβυλῶνος προσενηνεγμένον, εἰς ἐκείνην ἀναφέρειν τὴν δύναμιν· ἥτις, ἐπειδὴ Θεοῦ δόξαν παρὰ τοῖς ἀρχομένοις κτησαμένη μέγα ἐφρόνησεν, εἰκότως ἀπελέγχεται ὑπὸ τοῦ φάσκοντος λόγου.

Στίχ. ιγ', ιδ'. «Σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου· Εἰς τὸν οὐρανὸν ἀναβήσομαι, καὶ ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου, καὶ ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ.»

Καὶ τὰ λοιπὰ δὲ αὐτῷ ἐφαρμόσεις τῷ ἀποδοθέντι λόγῳ, μετὰ τοῦ καὶ τῷ προχείρως νοουμένῳ αἰσθητῷ βασιλεῖ τὰ διὰ τῆς προφητείας δηλούμενα προσαρμόττειν.

Στίχ. κδ', κε'. «Τάδε λέγει Κύριος Σαβαώθ· Ὃν τρόπον εἴρηκα, οὕτως ἔσται· καὶ ὃν τρόπον βεβούλευμαι, οὕτως μενεῖ· τοῦ ἀπολέσαι τοὺς Ἀσσυρίους ἐπὶ τῆς γῆς τῆς ἐμῆς, καὶ ἐπὶ τῶν ὀρέων μου. Καὶ ἔσονται εἰς καταπάτημα, καὶ ἀφαιρεθήσεται ἀπ' αὐτῶν ὁ ζυγὸς αὐτῶν, καὶ τὸ κῦδος αὐτῶν ἀπὸ τῶν ὤμων αὐτῶν ἀφαιρεθήσεται.»

Εἰπών γε μήν, «Ἀπολέσαι Ἀσσυρίους ἐπὶ τῆς γῆς τῆς ἐμῆς, καὶ ἐπὶ τῶν ὀρέων τῶν ἐμῶν», διδάσκει, ὡς καὶ ἡ Βαβυλωνίων

χώρα, τά τε ἐπ' αὐτῆς ὄρη οὐκ ἦν ἀλλότρια αὐτοῦ· «Τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.[1]» Ἔσονται τοίνυν οἱ Ἀσσύριοι, φησίν, εἰς καταπάτημα, ὑποχείριοι γενόμενοι τοῖς μετὰ ταῦτα αὐτῶν κρατήσασιν. Ἀφαιρεθήσεται δὲ καὶ ὁ ζυγός, ὃν ὅτε ἐκράτουν τοῖς ὑπ' αὐτῶν ἀρχομένοις ἐπήρτων, ζυγὸν βαρὺν καὶ δυσβάστακτον ἀπαιωροῦντες αὐτοῖς· καὶ τὸ κῦδος δὲ αὐτῶν, ὅπερ ἐστὶν ἡ δόξα, ἀφαιρεθήσεται, ἡ πάλαι τοῖς ὤμοις αὐτῶν ἐπικειμένη. Ὡς γὰρ ἐπὶ τοῦ Σωτῆρος λέλεκται, «Οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ[2]», οὕτως ἐνταῦθα τὸ κῦδος τῶν Ἀσσυρίων ἐπὶ τῶν ὤμων αὐτῶν εἴρηται· ὅπερ ἀφαιρεθήσεσθαι αὐτῶν ὁ λόγος ἀπειλεῖ.

Στίχ. κςʹ, κζʹ. «Αὕτη ἡ βουλὴ ἣν βεβούλευται Κύριος ἐπὶ ὅλην τὴν οἰκουμένην, καὶ αὕτη ἡ χεὶρ ἡ ὑψηλὴ ἐπὶ πάντα τὰ ἔθνη. Ἃ γὰρ ὁ Θεὸς ὁ ἅγιος βεβούλευται, τίς διασκεδάσει; καὶ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὴν τίς ἀποστρέψει;»

Ἢ καὶ ὅτι ὁποία ἐξενήνεκται κρίσις περὶ τῆς Βαβυλῶνος, καὶ τῶν ταύτης οἰκητόρων, τοιαύτη τις ἔσται καὶ ἡ περὶ πάντων τῶν τῆς οἰκουμένης κρατησάντων ἀθέων καὶ ἀσεβῶν ἀνδρῶν· κατὰ γὰρ τὸν τοῦ δικαίου λόγον παρόμοια πείσονται οἱ τὰ ὅμοια δυσσεβήσαντες· προσεπινοούντων ἡμῶν ἔθνη, τὰ τῶν ἀθέων καὶ ἀσεβῶν ἀνδρῶν· οὐ γὰρ ἀκρίτως ταῦτα κατὰ τῶν εὐσεβῶν καὶ τῶν τῷ Θεῷ ἀνακειμένων ἐκδέχεσθαι προσήκει. Ὥσπερ οὖν ἤρξατο, τοῦτον καὶ συνετέλεσε τὸν τρόπον τῆς κατὰ πάντων καθολικῆς τοῦ Θεοῦ κρίσεως ἀναγκαίως μνημονεύσας· ὥστε ἐπιστρέψαι πάντας τοὺς ἐντυγχάνοντας τῇ Γραφῇ.

Στίχ. κηʹ, κθʹ. «Τοῦ ἔτους οὗ ἀπέθανεν ὁ βασιλεὺς Ἀχάζ, ἐγενήθη τὸ ῥῆμα τοῦτο· Μὴ εὐφρανθείητε, οἱ ἀλλόφυλοι πάντες· συνετρίβη γὰρ ὁ ζυγὸς τοῦ παίοντος ὑμᾶς· ἐκ γὰρ σπέρματος ὄφεων ἐξελεύσεται ἔγγονα ἀσπίδων, καὶ τὰ ἔγγονα αὐτῶν ἐξελεύσονται ὄφεις πετόμενοι.»

Οὐκέτι ἀφίεται ὑμῖν εὐφραίνεσθαι, ἀποθανόντος μὲν τοῦ ἀσεβοῦς βασιλέως ἐφ' ᾧ τὸ πάλαι ἐχάρητε, θεοσεβοῦς δὲ ἀνδρὸς τὴν ἀρχὴν διαδεξαμένου· ὡς ἐν τῇ δευτέρᾳ τῶν Παραλειπομένων τῷ Ἐζεκίᾳ μεμαρτύρηται, καὶ ἐν τετάρτῃ τῶν Βασιλειῶν. Ὥσπερ γὰρ ἐπὶ τοῦ ἀσεβοῦς Ἀχάζ, εἰκὸς ἦν χαίρειν καὶ εὐφραίνεσθαι τοὺς ἀλλοφύλους, οὕτως ἐπὶ τοῦ δικαίου ἀνδρὸς τοῦ Ἐζεκίου, εὐκαίρως ἡ προφητεία ἀποτεινομένη πρὸς αὐτούς φησι· Μὴ εὐφρανθείητε, ἀλλόφυλοι· πάλαι μὲν γὰρ ἔτι ζῶντος τοῦ Ἀχάζ, καὶ τὰ ἐχθρὰ τῷ Θεῷ πράττοντος, εἰκὸς ἦν ὑμᾶς εὐφραίνεσθαι, ἐπειδὴ συνετέτριπτο τοῦ Ἀχὰζ ὁ ζυγός, ὡς μὴ δύνασθαι αὐτὸν ὑποτάττειν ὑμᾶς, μηδὲ τὸν τῆς ἀρχῆς αὐτοῦ ζυγὸν ἐπιτιθέναι ὑμῖν· διόπερ ἐπληθύνετο τὰ κακὰ καὶ ὥσπερ μηδενὸς παίοντος, ἡ ἑρπυστική τε καὶ ἰοβόλος τῶν

1. Ψαλμ. 23, 1. 2. Ἡσ. 9, 6.

πονηρῶν πνευμάτων δύναμις ἐπληθύνετο· νυνὶ δὲ τὴν βασιλείαν διαδεξαμένου ἀνδρὸς θεοσεβοῦς, οὐκέτι χαίρετε ὡς τὸ πρίν· ἐφέστηκε γὰρ ὑμῖν ὁ παίων καὶ τύπτων, καὶ σωφρονίζων ὑμᾶς. Ἐπληροῦτο δὲ καὶ ταῦτα πρὸς λέξιν ἐπὶ τοῦ Ἐζεκίου, περὶ οὗ εἴρηται ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν· «Αὐτὸς ἐπάταξε τοὺς ἀλλοφύλους ἕως Γάζης, καὶ ἕως ὁρίων αὐτῆς ἀπὸ πύργου φυλασσόντων ἕως πόλεως ὀχυρᾶς.[1]» Καὶ ταύτην δ' ἂν σχοίη τὴν διάνοιαν τὸ εἰρημένον, «Μὴ εὐφρανθείητε, ἀλλόφυλοι», μέγα φρονοῦντες ἐπὶ τοῖς νομιζομένοις ὑμῖν θεοῖς, τῷ μηδένα εἶναι τὸν συντρίβοντα ὑμᾶς διὰ τὴν τοῦ παρόντος καιροῦ μοχθηρίαν. Εἰ γὰρ καὶ τὰ μάλιστα συνετρίβη ὁ ζυγὸς τοῦ παίοντος ὑμᾶς, ἀλλ' οὐ πρὸς ὑμῶν ἐγένετο ταῦτα, ἐπὶ κακῷ δὲ τῷ ὑμετέρῳ. Μηδενὸς γὰρ ὑμᾶς παίοντος, μηδὲ ταπεινοῦντος, μηδὲ ἐπιστρέφοντος, πολλή τις ἐν ὑμῖν γέγονεν ἐπιτριβὴ κακῶν. Οἱ γὰρ πάλαι ὄφεων δίκην ταῖς ὑμετέραις ψυχαῖς ἐμφωλεύοντες, ἔν τε τοῖς ὑμετέροις ἱεροῖς τε καὶ ναοῖς, ὡς δὴ θεοί, ἐφεδρεύοντες πονηροὶ δαίμονες, δεινὴν γονὴν καὶ σπέρμα πονηρὸν ἀπεκύησαν· ὡς ἀσπίδας ἐξ αὐτῶν γεννᾶσθαι, τὸ πάντων τῶν ἰοβόλων χείριστον· ἐκ τούτων τε αὐτῶν ἄλλους ὑποστῆναι ὄφεις τὸν ἀέρα διιπταμένους. Ταῦτα μὲν οὖν κατὰ τὸν παρόντα καιρὸν οὐ παρ' ὑμῖν μόνοις τοῖς ἀλλοφύλοις, ἤδη δὲ καὶ παρ' αὐτῷ τῷ χρηματίζοντι λαῷ Θεοῦ πληθύει· ὡς πάντα τρόπον πεπληρῶσθαι τὸν ἀέρα, διιπταμένων ὄφεων, καὶ ἐκγόνων ἀσπίδων, πονηρῶν τινων καὶ λυμαντικῶν πνευμάτων. Ἀναδειχθέντος δὲ κατὰ καιρὸν τοῦ πάντων τούτων ὀλετῆρος, οἰχήσονται καὶ οἱ ὄφεις, καὶ αἱ ἀσπίδες τά τε τούτων πονηρὰ ἔκγονα· ὡς μηκέτι ἐνεργεῖν ταῦτα ἐν ἀνθρώποις.

Στίχ. λ'. «Βοσκηθήσονται», γάρ φησι, «πτωχοὶ δι' αὐτοῦ· πένητες δὲ ἄνθρωποι ἐπ' εἰρήνης ἀναπαύσονται· ἀνελεῖ δὲ λιμῷ τὸ σπέρμα σου, καὶ τὸ κατάλειμμά σου ἀνελεῖ.»

Τοῦτο μὲν οὖν τὸ ἑρπυστικὸν καὶ ἰοβόλον γένος λιμῷ ἀνελεῖ ὁ προφητευόμενος, μηκέτι ἐπιτρέπων τροφὴν τὴν συνήθη, δηλαδὴ τὴν διὰ θυσιῶν τῇ δαιμονικῇ πλάνῃ προσφέρεσθαι· τοὺς δὲ ἑαυτοῦ πτωχοὺς ἐκθρέψει, καὶ ἐν εἰρήνῃ ἀναπαύσει, μηκέτι παρενοχλουμένους ὑπὸ τῶν παραδοθέντων ἑρπετῶν. Δύναται μέντοι ταῦτα καὶ ἑτέρως εἰς τὸν Ἐζεκίαν πληροῦσθαι· τοὺς γὰρ πάλαι κατὰ Θεὸν πτωχεύσαντας ἐν παντὶ τῷ Ἰουδαίων ἔθνει ἀνεκτήσατο τροφαῖς λογικαῖς καὶ διδασκαλίαις· οὓς καὶ κατέστησεν ἐπὶ τὴν καλὴν νομὴν τοῦ τῆς θεοσεβείας νόμου, βόσκεσθαι τοῖς θείοις νοήμασι καὶ ταῖς ἱεραῖς διδασκαλίαις, καὶ ἐντρέφεσθαι ποιήσας.

Στίχ. λα'. «Ὀλολύξατε, πύλαι πόλεων, κεκραγέτωσαν πόλεις τεταραγμέναι, οἱ ἀλλόφυλοι πάντες, ὅτι ἀπὸ βορρᾶ καπνὸς ἔρχεται, καὶ οὐκ ἔστι τοῦ εἶναι.»

---

1. Δ' Βασ. 18, 8.

Σημαίνει δέ, ὡς ἔφημεν, τὸν τῶν Ἀσσυρίων βασιλέα, ὅς, ἐπελθὼν ἀπὸ τῶν βορειοτέρων μερῶν κατὰ τοὺς Ἐζεκίου χρόνους, τοὺς τὴν Παλαιστίνην οἰκοῦντας ἀλλοφύλους, ἐχειρώσατο· ὡς πολιορκῆσαι μὲν τὰς πόλεις αὐτῶν, αἰχμάλωτα δὲ λαβεῖν τὰ ἐν αὐταῖς πλήθη, ἐμπρῆσαι δὲ τῶν πόλεων τὰς πύλας.

Στίχ. λβ'. «Καὶ τί ἀποκριθήσονται βασιλεῖς ἐθνῶν; Ὅτι Κύριος ἐθεμελίωσε Σιών, καὶ δι' αὐτοῦ σωθήσονται οἱ ταπεινοὶ τοῦ λαοῦ.»

Μέγιστον γὰρ αὐτοῖς ἔσται δεῖγμα, τὸν Θεὸν εἶναι τὸν τῆς αὐτοῦ πόλεως φύλακα, τὸ μηδὲν παθεῖν αὐτὴν ὅμοιον ταῖς λοιπαῖς πόλεσιν.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Στίχ. α'. «Τὸ ῥῆμα τὸ κατὰ τῆς Μωαβίτιδος· Νυκτὸς ἀπολεῖται ἡ Μωάβ· νυκτὸς γὰρ ἀπολεῖται τὸ τεῖχος τῆς Μωαβίτιδος, λυπεῖσθε ἐφ' ἑαυτούς.»

Ὅθεν ἀρχόμενος τὴν ἐπικρατοῦσαν αὐτῶν ἄγνοιαν τοῦ Θεοῦ, νύκτα καὶ σκότος ὠνόμασεν, ἐν αὐτῇ τε τῇ νυκτὶ τὴν ἀπώλειαν αὐτῶν ἔσεσθαι ἀπειλεῖ φήσας· «Νυκτὸς ἀπολεῖται ἡ Μωαβῖτις.» Εἶτα ἑξῆς περὶ τοῦ τόπου, ἐν ᾧ ἵδρυτο αὐτῶν ἡ εἰδωλολατρεία, ἐπιλέγει·

Στίχ. β'. «Ἀπολεῖται γὰρ καὶ Δηβών, οὗ ὁ βωμὸς ὑμῶν, ἐκεῖ ἀναβήσεσθε κλαίειν.»

Ἐπὶ τέλει δὲ τῆς προφητείας τῶν αὐτῶν πάλιν μέμνηται βωμῶν λέγων «Ὅτι ἐκοπίασε Μωάβ», καὶ τὰ ἑξῆς.

Στίχ. γ'. «Ἐπὶ Ναβὰν τῆς Μωαβίτιδος ὀλολύξατε, ἐπὶ πάσης κεφαλῆς φαλάκρωμα, πάντες βραχίονες κατατετμημένοι· ἐν ταῖς πλατείαις αὐτῆς περιζώσασθε σάκκους.»

Σημαίνει δὲ διὰ τούτων τὸν ἐφεδρεύοντα τῷ ἔθνει δαίμονα πονηρόν, ἢ τὸν ἄρχοντα τοῦ ἔθνους, ὡς μετὰ ταῦτα εἴρηται· οἷος ἦν ὁ ἄρχων βασιλεὺς Ἑλλήνων καὶ ὁ τῶν Βαβυλωνίων ἄρχων. Τοιοῦτον τοίνυν τὸν καθήμενον ἐπὶ τῆς Μωαβιτῶν πόλεως δαίμονα, δι' οὗ ἐνόμιζον βοηθείας τυγχάνειν ἐν ταῖς πρὸς τοὺς πολεμίους συμβολαῖς, ὀλέσθαι φησιν, ἐπείπερ τὰς ψυχὰς αὐτῶν κατεπάτει, κάτω νεύειν αὐτὰς ποιῶν εἰς γῆν· ὡς μηδένα κύπτειν μηδὲ ἄνω βλέπειν δύνασθαι· διό φησιν· «Ὅτι ἤρθη ἡ συμμαχία σου, καὶ ὁ ἄρχων ἀπώλετο, ὁ καταπατῶν ἐπὶ τῆς γῆς.»

ΚΕΦΑΛΑΙΟΝ ΙΣ'.

Στίχ. α'-ε'. «Ἀποστελῶ ὡς ἑρπετὰ ἐπὶ τὴν γῆν. Μὴ πέτρα ἔρημός ἐστι ὄρος Θυγατρὸς Σιών; Ἔσῃ γὰρ ὡς πετεινοῦ ἀνιπταμένου, νοσσὸς ἀφῃρημένος ἔσῃ Θυγάτηρ Μωάβ. Ἔπειτα δὲ Ἀρνῶν πλείονα βουλεύου, ποίει τε σκέπην πένθους αὐτῇ διαπαντός. Ἐν μεσημβρινῇ σκοτίᾳ φεύγουσιν, ἐξέστησαν, μὴ ἀχθῇς. Παροικήσουσί σοι

οἱ φυγάδες Μωάβ. Ἔσονται σκέπη ὑμῖν ἀπὸ προσώπου διώκοντος, ὅτι ἤρθη ἡ συμμαχία σου, καὶ ὁ ἄρχων ἀπώλετο ὁ καταπατῶν ἐπὶ τῆς γῆς. Καὶ διορθωθήσεται μετ' ἐλέους ὁ θρόνος, καὶ καθιεῖται ἐπ' αὐτοῦ μετὰ ἀληθείας ἐν σκηνῇ Δαυΐδ, κρίνων καὶ ἐκζητῶν κρῖμα, καὶ σπεύδων δικαιοσύνην.»

Ὁρᾷς τὸ θαῦμα τοῦ λόγου ἐν τῷ συμπεράσματι τῆς προφητείας περιεχόμενον. Κατὰ τὸ αὐτὸ γὰρ θεσπίσας ἀφανισμόν, εὐαγγελίζεται ἐλπίδας· σκηνὴν Δαυΐδ φήσας, καὶ θρόνον Θεοῦ παρ' αὐτοῖς συστήσασθαι· καὶ ταῦτα ἔσεσθαι οὐκέτι ἐξ ἀνθρωπίνης τινὸς σπουδῆς, ἀλλ' ἐξ ἐλέους Θεοῦ καὶ φιλανθρωπίας. Διὸ λέλεκται κατὰ τὸν Ἀκύλαν, «Καὶ ἑτοιμασθήσεται ἐν ἐλέῳ θρόνος·» κατὰ δὲ τὸν Θεοδοτίωνα, «Καὶ ἑτοιμασθήσεται μετ' ἐλέους θρόνος.» Τίνι δὲ ἑτοιμασθήσεται, ἢ πάντως που τῷ Χριστῷ, τῷ ἐκ σπέρματος Δαυΐδ γεγεννημένῳ; Ἔσεσθαι τοίνυν παρὰ τοῖς Μωαβίταις θρόνον Χριστοῦ φησιν, ἐν ᾧ καθιεῖται μετὰ ἀληθείας ἐν σκηνῇ Δαυΐδ γεννηθησόμενος. Οὕτω δὲ καλεῖν εἴωθε τὸ προφητικὸν πνεῦμα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ· ἐπεὶ καὶ τὸν Χριστὸν αὐτὸν Δαυΐδ ὀνομάζειν ἔθος, διὰ τὸ ἐκ σπέρματος Δαυΐδ κατὰ σάρκα γεγεννῆσθαι αὐτόν. Διὸ σκηνὴν μὲν Δαυΐδ τὴν Ἐκκλησίαν ἀποκαλεῖ, θρόνον δὲ τὸν ἐπὶ ταύτης τὸν τῆς Ἐκκλησίας πρόεδρον, ὃς τὸν σωματικὸν ἐπέχει θρόνον, τόπον τηρῶν ὥσπερ τοῦ Χριστοῦ. Ἅπερ ὡς ἐν μυστηρίοις κατὰ μέσον τῆς προφητείας παρεμβέβληται, τοῦ ἁγίου Πνεύματος μόνοις τοῖς μέλλουσι συνιέναι, καὶ τῆς τούτων ἀξιοῦσθαι θεωρίας, τὴν τούτων γνῶσιν ταμιευσαμένου.

Στίχ. ς', ζ'. «Ἠκούσαμεν τὴν ὕβριν Μωάβ· ὑβριστὴς σφόδρα τὴν ὑπερηφανίαν, καὶ ἡ ὕβρις αὐτοῦ καὶ ἡ μῆνις αὐτοῦ· οὐχ οὕτως ἡ μαντεία σου, οὐχ οὕτως. Ὀλολύξει Μωάβ· ἐν γὰρ τῇ Μωαβίτιδι πάντες ὀλολύξουσι· τοῖς κατοικοῦσι δὲ Σὴθ μελετήσεις, καὶ οὐκ ἐντραπήσῃ.»

Οὐχ ὅμοιαι αἱ πράξεις τοῖς τῆς ὑπερηφανίας λόγοις· ἢ καὶ ἐπειδὴ μέγα ἐφρόνουν ἐπὶ τῷ ἑαυτῶν θεῷ, καὶ ταῖς τούτου μαντείαις· οὐχ οὕτω, φησίν, ἔσται, ὁποῖα μαντεύεται ὁ παρ' αὐτοῖς δαίμων, οὐδ' ὁποῖα διὰ χρησμῶν τοῖς ἐξαπατωμένοις, καὶ Θεὸν αὐτὸν εἶναι νομίζουσιν ἐπηγγέλλετο· ὁ γὰρ ἐπιὼν χρόνος τούτων αὐτῶν τὸ ψεῦδος διελέγξει.

Στίχ. η'-ι'. «Τὰ πεδία Ἐσεβὼν πενθήσει, ἄμπελος Σαβαμά, καταπίνοντες τὰ ἔθνη, καταπατήσατε τὰς ἀμπέλους αὐτῆς, ἕως Ἰαζὴρ οὐ μὴ συνάψητε, πλανήθητε τὴν ἔρημον· οἱ ἀπεσταλμένοι ἐγκατελείφθησαν, διέβησαν γὰρ πρὸς τὴν θάλασσαν. Διὰ τοῦτο κλαύσομαι ὡς τὸν κλαυθμὸν Ἰαζήρ, ἄμπελον Σαβαμά. Τὰ δένδρα σου κατέβαλεν Ἐσεβὼν καὶ Ἐλεαλή, ὅτι ἐπὶ τῷ θερισμῷ καὶ ἐπὶ τῷ τρυγητῷ σου καταπατήσω, καὶ πάντα πεσοῦνται. Καὶ ἀρθήσεται εὐφροσύνη καὶ ἀγαλλίαμα ἐκ τῶν ἀμπελώνων, καὶ ἐν τοῖς ἀμπελῶσί

μου οὐ μὴ εὐφρανθήσονται, καὶ οὐ μὴ πατήσουσιν οἶνον εἰς τὰ ὑπολήνια· πέπαυται γάρ.»

Σημαίνει δὲ διὰ τῆς ὀπώρας καὶ τοῦ θερισμοῦ, καὶ διὰ τῆς πολλάκις ὀνομασθείσης ἀμπέλου τὸ εὐθαλὲς καὶ ἀκμαῖον, καὶ τὸ τρυφερὸν καὶ ὡραῖον τῆς τῶν δηλουμένων ζωῆς, ἐν ᾗ ὥσπερ μεθύοντες διῆγον ἐνευφραινόμενοι, καὶ ἐντρυφῶντες ἐπὶ ταῖς ἀθέοις αὐτῶν δυσσεβείαις.

Στίχ. ια'. «Διὰ τοῦτο ἡ κοιλία μου ἐπὶ Μωὰβ ὡς κιθάρα ἠχήσει, καὶ τὰ ἐντός μου ὡσεὶ τεῖχος ὃ ἐνεκαίνισας, καὶ ἔσται εἰς τὸ ἐντραπῆναί σε.»

Κατὰ δὲ λόγον βαθύτερον, πρὸς αὐτὸν καὶ νῦν ὁ λόγος, πρὸς ὃν καὶ τό, «ὡσεὶ τεῖχος ὃ ἐνεκαίνισας», δηλαδὴ τὸν Θεόν. Τί οὖν βούλεται τὸ τολμηρῶς δοκοῦν εἰρῆσθαι, τό, «Ἔσται εἰς τὸ ἐντραπῆναί σε.» Διὰ τοῦτό μοι, φησίν, ἰσχυροὺς ἐχαρίσω ἔνδοθεν τοὺς διαλογισμούς· ὥστε τοὺς νῦν μὴ ἐπιστρέφοντας ἐπὶ σὲ ἐντραπῆναί σε, διὰ τῶν ἐλέγχων τῶν προσαγομένων αὐτοῖς ἐκ τῆς τῶν δεδομένων μοι λογισμῶν εὐτονίας. Λείπει οὖν τό, «αὐτούς», ἵνα ὑγιῶς ὁ νοῦς τῶν ῥημάτων ἀποδοθῇ, «Καὶ ἔσται εἰς τὸ ἐντραπῆναι αὐτούς σε.» Ὥσπερ γὰρ οἱ ἐν τοῖς πολέμοις ἀντιπρόσωποι ἑστῶτες, ἕως μὲν ἰσοπαλεῖς δοκοῦσιν εἶναι, οὐ τρέπονται οὐδὲ ἐκκλίνουσιν, ἐπειδὰν δὲ ὑπερέχῃ αὐτῶν τὸ ἕτερον μέρος, τραπέντες φεύγουσιν· οὕτω καὶ ψυχὴ ὑπὸ ἀναιδείας παρατεταγμένη ἕστηκεν οὐκ ἐντρεπομένη, ἐλεγχθεῖσα δὲ ὑπὸ λόγου καθαπτομένου αὐτῆς, τρέπεται πρὸς αἰσχύνην. Καὶ ἐπειδὴ ἐν τῷ κρυπτῷ τοῦ ἀνθρώπου γίνεται ἡ τροπή, ἐντροπὴ προσηγόρευται. Διὰ τοῦτο οὖν ἡ κοιλία ἠχήσει, καὶ τὰ ἐντός, ὡσεὶ τεῖχος ὃ ἐνεκαίνισεν ὁ Θεὸς τοῦ προφήτου· ἵνα μεταβάλωσι καὶ ἐντραπῶσι, τοῦ αἰδεῖσθαι Θεόν, πρότερον οὐκ ἐπιστάμενοι τὴν ὠφέλιμον αἰσχύνην. Διὰ μέντοι τοῦ.

Στίχ. ιβ'. «Ὅτι ἐκοπίασε Μωὰβ ἐπὶ τοῖς βωμοῖς, καὶ εἰσελεύσεται εἰς τὰ χειροποίητα, ὥστε προσεύξασθαι, καὶ οὐ μὴ δύνωνται ἐξελέσθαι αὐτόν.»

Τάχα τὸν ἐπὶ τέλει ἀφανισμὸν πάσης εἰδωλολατρείας ἐκ τῆς τοῦ λόγου ἐπιφανείας, προφητεύει ὁ Ἡσαΐας· ὅτι μάταιοι πάντες οἱ ἐπὶ ταῖς κατασκευαῖς τῶν ναῶν μόχθοι, καὶ ἀνωφελεῖς αἱ εἰς τὰ χειροποίητα ἐλπίδες. «Προσεύξονται γάρ», φησί, «καὶ οὐ μὴ δύνωνται ἐξελέσθαι αὐτόν.» Τοῦτο δὲ νῦν ἐπὶ τῆς Χριστοῦ ἐπιδημίας πεπλήρωται· ἀντὶ σκοπέλων μὲν γὰρ ἑστήκασιν οἱ ναοὶ περιβόητοι, οὐκέτι δὲ αἱ ἀπὸ τῶν δαιμόνων ἀπάται, φυγαδευθείσης τῆς ἀντικειμένης δυνάμεως διὰ τὸ μυστήριον τοῦ σταυροῦ τοῦ κατὰ πᾶσαν τὴν οἰκουμένην κεκηρυγμένου.

Στίχ. ιγ', ιδ'. «Τοῦτο τὸ ῥῆμα ὃ ἐλάλησε Κύριος ἐπὶ Μωάβ, ὁπότε ἐλάλησε. Καὶ νῦν λέγω, ἐν τρισὶν ἔτεσιν ἐτῶν μισθωτοῦ ἀτιμασθήσεται ἡ δόξα Μωὰβ ἐν παντὶ τῷ πλούτῳ τῷ πολλῷ, καὶ καταλειφθήσεται ὀλιγοστός, καὶ οὐκ ἔντιμος.»

Ἀντὶ μέντοι τοῦ παρὰ τοῖς Ἑβδομήκοντα φάσκοντος λόγου, «Ἐν τρισὶν ἔτεσιν μισθωτοῦ ἀτιμασθήσεται ἡ δόξα Μωάβ», ἡ κατὰ τοὺς λοιποὺς ἑρμηνευτὰς διαστολή, μεταξὺ βληθεῖσα, σαφεστέραν κατέστησε τὴν διάνοιαν· κατὰ μὲν γὰρ τὸν Ἀκύλαν εἴρηται, «Ἐν τρισὶν ἔτεσι μισθωτοῦ·» κατὰ δὲ τὸν Σύμμαχον, «Ἔκτοτε καὶ νῦν ἐλάλησε Κύριος λέγων, Ἐν τρισὶν ἔτεσιν ὡς ἐπὶ μισθωτοῦ·» κατὰ δὲ τὸν Θεοδοτίωνα, «Ἀπὸ τότε καὶ νῦν ἐλάλησε Κύριος λέγων, Ἐν τρισὶν ἔτεσιν ὡς ἐνιαυτοῖς μισθωτοῦ.» Εἶτα ἀπὸ ἑτέρας ἀρχῆς εἴρηται παρὰ τοῖς λοιποῖς ἑρμηνευταῖς, «Καὶ ἀτιμασθήσεται ἡ δόξα Μωὰβ σὺν παντὶ τῷ πλήθει τῷ πολλῷ.» Ὁ γάρ, «καί», σύνδεσμος μέσος παρεμβληθείς, ἑτέραν διάνοιαν παρέστησε τὴν ἀπὸ τοῦ, «Καὶ ἀτιμασθήσεται ἡ δόξα Μωάβ·» τὸ δὲ ἔμπροσθεν ἐδήλου ὡς ἐν τρισὶν ἔτεσι τὰ προλεχθέντα πάντα περὶ τῆς Μωὰβ Κύριος ἐλάλησε διὰ τοῦ προφήτου, ὥσπερ μισθωσάμενος αὐτόν, καὶ ἀπασχολήσας περὶ τὴν ὑπηρεσίαν τῆς περὶ τούτων προφητείας. Οὐ γὰρ ὥσπερ ἡμεῖς ἀθρόως συνάπτοντες τὸ πᾶν ἀνάγνωσμα διερχόμεθα, οὕτω καὶ ὁ προφήτης κατὰ συνάφειαν πάντα λόγον τῆς προφητείας τροχάδην ἐξηνέγκατο· διῃρημένως δὲ καὶ κατὰ χρόνον ἐν διαφόροις χρόνων διαστήμασι· ὡς τὰ πάντα πληρωθῆναι τρία ἔτη, ἐν οἷς λέλεκται αὐτῷ τὰ εἰρημένα. Ἐλάλησε τοίνυν τὰ ἐν τρισὶν ὁ Κύριος ἔτεσι διὰ τοῦ προφήτου. Τέλος δὲ τῶν λόγων τοῦ Θεοῦ ἦν τό, «Καὶ ἀτιμασθήσεται ἡ δόξα Μωὰβ σὺν παντὶ τῷ πλήθει τῷ πολλῷ. Καὶ καταλειφθήσεται ὀλιγοστός, καὶ οὐκ ἔντιμος.» Ὃ δὴ καὶ αὐτὸ πρὸς λέξιν πεπλήρωται, ὡς ἔστιν ὄψει πᾶσι λαβεῖν ῥᾴδιον τοῖς εἰς τοὺς τόπους ἀφικνουμένους.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ΄.

Στίχ. α΄. «Τὸ ῥῆμα τὸ κατὰ Δαμασκοῦ. Ἰδοὺ Δαμασκὸς ἀρθήσεται ἀπὸ πόλεων.»

Τὴν καθαίρεσιν αἰνίττεται τῆς βασιλικῆς δυνάμεως, ἧς μετεῖχε πρότερον ἡ πόλις ἐκλάμψασα. Μόνη γὰρ ἦν τότε τῆς Συρίας ἁπάσης κρατοῦσα, μήπω τῶν καθ' ἡμᾶς ἐπιφανῶν ἐν τῇ Συρίᾳ πόλεων ἐγηγερμένων, Ἀντιοχείας φημὶ καὶ τῶν ἄλλων.

Στίχ. β΄, γ΄. «Καὶ ἔσται εἰς πτῶσιν καὶ καταλελειμμένη εἰς τὸν αἰῶνα εἰς κοίτην ποιμνίων καὶ ἀνάπαυσιν· καὶ οὐκ ἔσται ὁ διώκων. Καὶ οὐκέτι ἔσται ὀχυρὰ τοῦ καταφεύγειν Ἐφραΐμ.»

Ὥσπερ τῇ Βαβυλωνίᾳ τὰ ἁρμόττοντα ἐλέγετο, καὶ τοῖς ἀλλοφύλοις τοῖς τὴν Παλαιστίνην οἰκοῦσι τὰ κατάλληλα, τῇ τε Μωὰβ ὡσαύτως ἕτερά τινα ἰδιάζοντα· τὸν αὐτὸν τρόπον καὶ τὸ κατὰ Δαμασκοῦ προφητικὸν ῥῆμα ἴδιόν τι τέλος ἐπελεύσεσθαι αὐτὴν ἀπειλεῖ· ἀρθήσεσθαί φησι γὰρ αὐτὴν ἀπὸ πόλεων. Κατὰ δὲ τὸν Θεοδοτίωνα, μεταστήσεσθαί φησιν ἐκ πόλεων. Πέπονθε δὲ τοῦτο κατὰ τοὺς Ἀσσυρίους, ὡς καὶ ἐδήλου διὰ τῶν ἔμπροσθεν ἡ μετὰ χεῖρας Γραφή,

τὸν τῶν Ἀσσυρίων βασιλέα παριστῶσα λέγοντα· «Καὶ ἔλαβον Ἀραβίαν καὶ Δαμασκὸν καὶ Σαμάρειαν, ὃν τρόπον ἔλαβον ταύτας καὶ πάσας τὰς ἀρχὰς λήψομαι.[1]» Τούτῳ δὲ τῷ λόγῳ καὶ ἡ ἱστορία μαρτυρεῖ· γέγραπται γοῦν ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν· «Καὶ ἀνέβη βασιλεὺς Ἀσσυρίων εἰς Δαμασκόν, καὶ συνέλαβε αὐτήν, καὶ ἀπῴκισεν αὐτήν.[2]» Ἃ δὴ καὶ τέλους τετύχηκε ἐπὶ τῆς Ῥωμαϊκῆς ἀρχῆς, καθ' ἣν συνειστήκει μὲν ἡ Δαμασκός, τὴν δὲ παλαιὰν καὶ βασιλικήν, φησί, παντελῶς ἠφανίσθη. Οὕτω δὲ συνέστη ἡ καὶ νῦν ὁρωμένη, ὡς ἡ προφητεία ἐθέσπισε, οὐκέτι μὲν βασιλικὸν ἀξίωμα ἐπαγομένη, οὐδὲ ἄρχουσα τοῦ Σύρων ἔθνους· ἀποπεπτωκυῖα δὲ ἧς εἶχε δυνάμεως πρότερον, καὶ μονονουχὶ εἰς κοίτην ποιμνίων καὶ ἀνάπαυσιν βουκολίων καταλελειμμένη· οὕτω δὲ τὰ ἀγελαῖα πλήθη καὶ τοὺς εὐτελεῖς δήμους καλεῖν εἴωθεν ὁ λόγος. Κατὰ μόνην τὴν τῶν Ἑβδομήκοντα ἑρμηνείαν εἴρηται, λέγω δὴ τό, «εἰς τὸν αἰῶνα·» οὔτε γὰρ ἐν τῷ Ἑβραϊκῷ οὔτε παρὰ τοῖς λοιποῖς ἑρμηνευταῖς φέρεται. Διὸ οὐκ ἀνάγκη τὴν πτῶσιν Δαμασκοῦ αἰωνίαν λέγεσθαι νομίζειν· ἐπειδὴ χρονική τις αὐτῶν γέγονε ἡ πτῶσις κατὰ τὴν τῆς Ἀσσυρίας πολιορκίαν, καθ' ἣν καὶ ἡ Ἱερουσαλὴμ ἥλω. Ἀλλ' ὥσπερ αὖθις ἐπανελθόντες Ἰουδαῖοι ἤγειραν τὴν Ἱερουσαλήμ, καὶ τὴν χώραν ἐπλήρωσαν οἰκητόρων, τὸν αὐτὸν τρόπον καὶ ἡ Δαμασκός, παθοῦσα τότε τὰ ὑπὸ τῆς προφητείας θεσπισθέντα, αὖθις ἐν τοῖς μετὰ ταῦτα χρόνοις ἀνῳκοδόμητο, ὡς καὶ βασίλειον ἐν αὐτῇ συστῆναι πάλιν.

«Καὶ οὐκέτι βασιλεία ἐν Δαμασκῷ· καὶ τὸ κατάλοιπον τῶν Σύρων.» Ὡς γὰρ μελλούσης μὲν αὐτῆς ἔσεσθαι, οὐ μὴν καὶ ὀχυρᾶς κατὰ τὸ παλαιὸν γενησομένης, οὐδὲ βασιλευούσης ταῦτα εἴρηται. Ἔστι δὲ καὶ ἄλλως ἐπιβαλεῖν τοῖς τόποις, ὡς τῆς προφητείας ταπείνωσιν τοῖς οἰκήτορσι Δαμασκοῦ, καὶ βίον ἰδιωτικὸν προαναφωνούσης. Οὕτω γοῦν εἰώθαμεν λέγειν ἐκπεπτωκέναι τὸν πλούσιον, ἐπειδὰν εἰς ἐσχάτην ἐλάσῃ πενίαν· καὶ τὸν ἔντιμον, ἐπειδὰν οὗ μετεῖχεν ἀξιώματος στερηθῇ. Οὐ γὰρ σὺ βελτίων εἶ τῶν υἱῶν Ἰσραὴλ καὶ τῆς δόξης αὐτῶν. Εἰ γὰρ ὁ πάλαι τοῦ Θεοῦ χρηματίζων λαὸς ἐν τοῖς λεγομένοις χρόνοις ἐκπεσεῖται τοῦ οἰκείου ἀξιώματος, καὶ τῆς πάλαι παρ' αὐτοῖς πολιτευομένης αὐτονομίας καὶ βασιλείας· οὐ χρή σε τὴν Δαμασκὸν τὰ ὅμοια πάσχουσαν ἀγανακτεῖν.

Στίχ. δʹ. «Τάδε λέγει Κύριος Σαβαώθ· Ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔκλειψις τῆς δόξης Ἰακώβ· καὶ τὰ πίονα τῆς δόξης αὐτοῦ σεισθήσεται.»

Καὶ θέα ὅπως οὐκ ἀναίρεσιν παντελῆ τοῦ ἔθνους σημαίνει, ἀλλὰ τῆς δόξης αὐτῶν, ἧς μετεῖχον πρότερον, καθαίρεσιν. Πίονα δὲ ἦν τῆς τοῦ προτέρου λαοῦ δόξης ἡ ἱερωσύνη, καὶ ἡ βασιλεία, τό τε ἅγιον ᾆσμα καὶ ἡ κατὰ νόμους λατρεία, ἥ τε προφητικὴ χάρις, καὶ ἡ τοῦ

1. Ἡσ. 10, 9-10. 2. Ἡσ. 16, 9.

ἔθνους ἐλευθερία, καὶ ὅσα ἄλλα παρὰ τῷ Ἰουδαίων ἔθνει· ἅπερ ἀθρόως σεισθήσεσθαι, καὶ παντελῶς ἐκλείψειν προαγορεύει ὁ λόγος.

Στίχ. ε', ς'. «Καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ ἀμητὸν ἑστηκότα, καὶ σπέρμα σταχύων ἀμήσῃ. Καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ στάχυν ἐν φάραγγι στερεᾷ, καὶ καταλειφθῇ ἐν αὐτῇ καλάμη.»

Ὡς γὰρ ἐν ἀμητῷ συνάγονται μὲν οἱ στάχυες, καταλείπεται δὲ ἐν τῇ χώρᾳ καλάμη ψιλή· οὕτω φησὶν ἔσεσθαι τὸν Ἰουδαίων λαόν, ἀποτμηθέντα μὲν τῶν πάλαι παρ' αὐτοῖς σταχύων, μόνης δὲ τῆς καλάμης ἐν αὐτοῖς καταλειφθείσης. Εἰ δὲ καὶ πού τις εὑρεθῇ ἐν αὐτοῖς ἄξιος λόγου, παραβληθήσεται οὗτος στάχυϊ, οὐχὶ ἐν τῷ πεδίῳ φύντι, ἀλλ' ἐν κοιλάδι καὶ φάραγγι καταξήρῳ καὶ στερεᾷ. Δηλοῦσθαι δὲ οἶμαι διὰ τοῦ στάχυος τὸν χορὸν τῶν τοῦ Σωτῆρος ἡμῶν μαθητῶν καὶ εὐαγγελιστῶν, περὶ οὗ καὶ ἐν τοῖς ἔμπροσθεν ἐλέγετο· «Καὶ εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν.[1]»

«Ἢ ὡς ῥῶγες ἐλαίας δύο ἢ τρεῖς ἐπ' ἄκρου μετεώρου, ἢ τέσσαρες, ἢ πέντε ἐπὶ τῶν κλάδων αὐτῶν καταλειφθῶσι.» Τοσαύτην γάρ φησιν ἔσεσθαι σπάνιν τῶν ἐκ τοῦ Ἰσραὴλ σωθησομένων κατὰ τοὺς χρόνους οὓς ἡ προφητεία σημαίνει, ὡς ἑνὶ στάχυϊ παραβάλλεσθαι τοὺς πάντας· τοὺς δὲ ἐν αὐτοῖς ἐξαιρέτους τοσούτους ἔσεσθαί τινας, ὥσπερ εἰ ῥῶγας ἐλαίας δύο ἢ τρεῖς τοὺς ἐπ' ἄκρου μετεώρου, αἰνιττομένου τοῦ λόγου τοὺς ἀκροτάτους τῶν ἀποστόλων, οὓς ποτὲ μὲν κατὰ συζυγίαν ὁ Σωτὴρ προσεκαλεῖτο, ποτὲ δὲ τρεῖς· οὓς ἡ Γραφὴ τοῦ Εὐαγγελίου ἐκλεκτῶν ἐκλεκτοτέρους εἰσήγαγε· λέγω δὴ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, οὓς ἐπὶ τὸ ὄρος ἀνήγαγε μόνους, ἱστορήσοντας τὴν μεταμόρφωσιν αὐτοῦ, καὶ ἐπὶ τῆς ἀναβιωσκούσης θυγατρὸς τοῦ ἀρχισυναγώγου παρέλαβε. Οἱ δὲ λοιποὶ παρὰ τοὺς τρεῖς τούτους οἱ τέσσαρές εἰσι καὶ πέντε, καὶ τοὺς τέσσαρας καὶ τοὺς πέντε, δέκα καὶ τέσσαρας ποιήσει τοὺς πάντας, ὧν δώδεκα μὲν τοὺς πρώτους ἀποστόλους εἴποις ἂν εἶναι, οὐκ ἐλάττω δὲ αὐτῶν τὴν ἀρετὴν Παῦλον, καὶ αὐτὸν ὄντα κλητὸν ἀπόστολον, καὶ τὸν Ἰάκωβον γεγονέναι τὸν ἀδελφὸν τοῦ Κυρίου, ὃς πρῶτος ἐπίσκοπος τῆς Ἱεροσολύμων Ἐκκλησίας ὑπ' αὐτοῦ καταστῆναι τοῦ Σωτῆρος μνημονεύεται. Οὗτοι δὲ πάντες ἐπ' ἄκρου τῆς ἐλαίας, λέγω δὴ τῆς Ἰουδαίων διαδοχῆς εὑρημένοι διὰ τῶν μετὰ χεῖρας μνημονεύονται. Καὶ ὁ θεῖος δὲ Ἀπόστολος οἶδεν ἐλαίᾳ παραβάλλειν τὴν παρὰ Ἰούδα διαδοχήν, καὶ ῥίζαν ἁγίαν καὶ ἀπαρχήν, καὶ καλλιελαίαν αὐτὴν καλεῖ.

Στίχ. ζ'-ια'. «Τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· Τῇ ἡμέρᾳ ἐκείνῃ πεποιθὼς ἔσται ὁ ἄνθρωπος ἐπὶ τῷ ποιήσαντι αὐτόν· οἱ δὲ

1. Ἠσ. 1, 9.

ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν ἅγιον τοῦ Ἰσραὴλ ἐμβλέψονται· καὶ οὐ μὴ πεποιθότες ὦσιν ἐπὶ τοῖς βωμοῖς, οὐδὲ ἐπὶ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, ἃ ἐποίησαν οἱ δάκτυλοι αὐτῶν· ἀλλ' ἔσονται πεποιθότες ἐπὶ τὸν ἅγιον τοῦ Ἰσραήλ. Καὶ οὐκ ὄψονται τὰ δένδρα αὐτῶν οὐδὲ τὰ βδελύγματα αὐτῶν. Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσονται αἱ πόλεις σου ἐγκαταλελειμμέναι, ὃν τρόπον κατέλιπον οἱ Ἀμορραῖοι καὶ οἱ Εὐαῖοι ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ. Καὶ ἔσονται ἔρημοι, διότι κατέλιπες τὸν Θεὸν τὸν Σωτῆρά σου, καὶ Κυρίου τοῦ βοηθοῦ σου οὐκ ἐμνήσθης. Διὰ τοῦτο φυτεύσεις φύτευμα ἄπιστον, καὶ σπέρμα ἄπιστον. Τῇ δὲ ἡμέρᾳ, ᾗ ἂν φυτεύσῃς, πλανηθήσῃ. Τὸ δὲ πρωῒ ἐὰν σπείρῃς, ἀνθήσει εἰς ἀμητόν, ᾗ ἂν ἡμέρᾳ κληρώσῃ· καὶ ὡς πατὴρ ἀνθρώπου κληρώσῃ τοῖς υἱοῖς σου.» Ὥσπερ γάρ, φησίν, ἐκείνων ἀπολωλότων, ἕτεροι παρελθόντες κατέσχον αὐτῶν τὰς πόλεις καὶ τὰς χώρας, οὕτως καὶ αἱ σαὶ πόλεις ἑτέρους ἕξουσιν οἰκήτορας, ὑμῶν ἀποβληθέντων καὶ ἐξωσθέντων. «Καὶ ἔσονται ἔρημοι, διότι κατέλιπες τὸν Θεὸν τὸν σωτῆρά σου, καὶ Κυρίου τοῦ Θεοῦ σου οὐκ ἐμνήσθης.» Ἔνθα δὴ καὶ αὐτοῦ Ἰησοῦ τοῦ Σωτῆρος ἡμῶν μέμνηται ἡ Ἑβραϊκὴ φωνή· «σωτῆρα» γὰρ δηλοῖ τὸ Ἰησοῦ ὄνομα εἰς τὴν Ἑλλάδα γλῶτταν ἑρμηνευόμενον. Καὶ τοῦτο αἴτιον, διὸ συμβήσεσθαι αὐτοῖς τὰ προλεχθέντα πάντα, εἴρηται, διότι κατέλιπον τὸν Θεὸν τὸν Σωτῆρα αὐτῶν, καὶ Κυρίου τοῦ πάντοτε βοηθοῦ αὐτῶν οὐκ ἐμνήσθησαν. Ἐπὰν οὖν, φησί, τὸ σπέρμα τοῦτο τὸ ἄπιστον καὶ τὴν φυτείαν τὴν ἄπιστον σπείρῃς ἐν τῇ σεαυτοῦ ψυχῇ, τότε πλανηθήσῃ· εἰ δέ, μεταβαλὼν ἐπὶ τὴν ἀνατείλασαν τῷ κόσμῳ πρωΐαν τοῦ φωτὸς τοῦ εὐαγγελικοῦ, ἕτερον σπέρμα καταθοῖο τῇ σαυτοῦ διανοίᾳ, περὶ οὗ λέλεκται ἐν Εὐαγγελίοις· «Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι·[1]» καί, «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ ἰδίῳ ἀγρῷ·[2]» καὶ ἐπὰν ἐν τῷ ἰδίῳ φωτὶ γένοιο τῆς πρωϊνῆς ἀνατολῆς τοῦ ἡλίου τῆς δικαιοσύνης, ἀνθήσει ἐν σοὶ εἰς ἀμητόν· ὡς μεταδοῦναι κλῆρον ἀγαθὸν καὶ τοῖς ἑαυτοῦ πᾶσι τοῖς κατὰ Θεὸν γεννησομένοις διὰ τῆς σωτηρίου διδασκαλίας.

Στίχ. ιβ'. «Οὐαὶ πλῆθος ἐθνῶν πολλῶν. Ὡς θάλασσα κυμαίνουσα, οὕτως ταραχθήσεσθε.»

Περὶ τῆς τῶν ἐθνῶν ἐπὶ τὸν Θεὸν ἐπιστροφῆς, καὶ τῆς εἰς τὸν Χριστὸν ἀπιστίας τοῦ Ἰουδαίων ἔθνους θεσπίσας ὁ λόγος, μεταβαίνει ἐπὶ τὰ πλήθη τῶν ἐθνῶν, ἐν αὐτῇ τε τῇ Δαμασκῷ καὶ ταῖς λοιπαῖς χώραις ἐν ἀπιστίᾳ ἀπομεινάντων, καὶ τὴν Ἐκκλησίαν τοῦ Θεοῦ ἐλαύνειν καὶ πολιορκεῖν μελλόντων.

Στίχ. ιγ'. «Καὶ νῶτος ἐθνῶν πολλῶν ὡς ὕδωρ ἠχήσει· ὡς ὕδωρ πολύ, ἔθνη πολλά, ὡς ὕδατος πολλοῦ βίᾳ φερομένου.»

Ὡς γὰρ θαλάσσης τὰ νῶτα κυρτούμενα, καὶ εἰς ὕψος αἰρόμενα, ἐν

1. Ματθ. 13, 3. 2. Ματθ. 13, 24.

τῷ χειμάζεσθαι καὶ ταράσσεσθαι ὑπὸ ἀνέμων, ἦχον μέγιστον ἐμποιεῖ καὶ φόβον τοῖς πλέουσιν· οὕτω καὶ τὰ πλήθη τῶν ἐν αὐτῇ τε τῇ Δαμασκῷ καὶ ταῖς λοιπαῖς χώραις ἐπ' ἀπιστίᾳ καὶ εἰδωλολατρείᾳ μενόντων ἐθνῶν, ὑπὸ τῶν ἀοράτων ἐθνῶν ἐνεργούμενα, δίκην κυμάτων θαλάσσης ἠχήσουσι, κατὰ τῆς Ἐκκλησίας τοῦ Θεοῦ ἐπανιστάμενα. «Καὶ ἀποσκορακιεῖ αὐτούς, καὶ πόρρω αὐτοὺς διώξεται·» μονονουχὶ θαλάσσης δίκην τῶν ἀνθεστηκότων κατακυμαινόντες. Νῶτον δὲ αὐτοὺς πολλῶν ἐθνῶν ἐν τούτοις ἀποκαλεῖ, διὰ τὸ πολλὰ διώκεσθαι παρ' αὐτῶν ἔθνη. Τρέχουσι δὲ κατὰ νώτου πάντῃ τε καὶ πάντως τῶν φευγόντων οἱ διώκοντες. «Καὶ ἀποσκορακιεῖ αὐτόν, καὶ πόρρω αὐτὸν διώξεται.» Τουτέστιν, ὀπίσω πέμψει, καὶ αὐτὸν διώξεται. Κατὰ δὲ τὸν Ἀκύλαν, «Ἐπιτιμήσει ἐν αὐτῷ, καὶ φεύξεται μακράν·» κατὰ δὲ τὸν Σύμμαχον, «Καὶ ἐμβριμήσεται αὐτῷ καὶ φεύξεται πόρρω.» Τίνι δὲ αὐτῶν ἐμβριμήσεται ἢ ἐπιτιμήσεται, ἢ τῷ προλεχθέντι ἔθνει τῶν ἀπίστων λαῶν, καὶ τῷ τούτους ἐνεργοῦντι διαβόλῳ; Τίς δὲ αὐτοῖς ἐπιτιμήσει ἀλλ' ἢ ἐκεῖνος περὶ οὗ εἴρηται.

Στίχ. ιδ'. «Ἐπιτιμήσει Κύριος ἐν σοὶ ἐκλεξάμενος τὴν Ἱερουσαλήμ. Πρὸς ἑσπέραν ἔσται πένθος πρινὴ πρωΐ, καὶ οὐκ ἔσται. Αὕτη ἡ μερὶς τῶν προνομευσάντων ὑμᾶς, κληρονομία τοῖς κληρονομήσασι.»

Τοῖς γὰρ δίκην θαλάσσης κυμαινούσης κατεπαρθεῖσι τῆς Ἐκκλησίας πρὸς τῇ δύσει τοῦ βίου καὶ πρὸς αὐτῷ τῷ τέλει πένθος ἔσεται, ὅτι οὐκέτι ὑπάρχουσι· κατὰ τὸν μέλλοντα αἰῶνα, νέου φωτὸς ἀνατολῆς καὶ πρωΐας τὸ τηνικαῦτα ταῖς δίκαις ἐπιλάμψαντος.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Στίχ. α', β'. «Οὐαὶ γῆς πλοίων, πτέρυγες ἐπέκεινα ποταμῶν Αἰθιοπίας· ὁ ἀποστέλλων ἐν θαλάσσῃ ὅμηρα, καὶ ἐπιστολὰς βιβλίνας ἐπάνω τοῦ ὕδατος.»

Πόθεν τοὺς πανταχοῦ Ἰουδαίους τοὺς πάντας συμφώνως ἐξ ἑνὸς συνθήματος ἀντιλέγειν τῷ περὶ Χριστοῦ λόγῳ; Εὕρομεν ἐν τοῖς τῶν παλαιῶν συγγράμμασιν, ὡς οἱ τὴν Ἱερουσαλὴμ οἰκοῦντες τοῦ τῶν Ἰουδαίων ἔθνους ἱερεῖς καὶ πρεσβύτεροι γράμματα διαχαράξαντες εἰς πάντα διεπέμψαντο τὰ ἔθνη τοῖς ἁπανταχοῦ Ἰουδαίοις διαβάλλοντες τὴν Χριστοῦ διδασκαλίαν, ὡς αἵρεσιν καινὴν καὶ ἀλλοτρίαν τοῦ Θεοῦ, παρήγγελλόν τε δι' ἐπιστολῶν μὴ παραδέξασθαι αὐτήν. Τοῦτο δὲ οὖν αὐτὸ σημαίνειν ἔοικεν ἡ μετὰ χεῖρας προφητεία, ἐν ᾧ λέγει· «Οὐαὶ γῆς πλοίων, πτέρυγες ἐπέκεινα ποταμῶν Αἰθιοπίας· ὁ ἀποστέλλων ἐν θαλάσσῃ ὅμηρα·» ἀνθ' οὗ ὁ Σύμμαχος «ἀποστόλους» εἶπε φήσας, «Ἀποστέλλων ἀποστόλους ἐν θαλάσσῃ·» ὁ δὲ Ἀκύλας «πρεσβύτας» ἐξέδωκεν εἰπών, «Ὁ ἀποστέλλων ἐν θαλάσσῃ πρεσβύτας.» Ὁρᾷς ὅπως ὁ λόγος τοὺς προλεχθέντας Ἰουδαίων ἄρχοντας ταλανίζει, καὶ τὴν γῆν αὐτῶν, ἧς ἡ κακία μέχρις Αἰθιόπων ἔφθασε.

Διὸ κατὰ τὸν Σύμμαχον εἴρηται, «Οὐαὶ γῆς ὁ ἦχος πτέρυγος, ἡ πέραθεν ποταμῶν Αἰθιοπίας·» δι' ὧν σημαίνει, ὡς καὶ πέραν τῆς Αἰθιόπων χώρας, ἡ τῶν ἐσχατιῶν τῆς γῆς, ὁ τῆς πονηρίας ἦχος τῶν τὴν Ἰουδαίαν γῆν οἰκούντων διά τινων ὥσπερ ἱπταμένων πλοίων προῆλθεν, οἵ τε ἀπόστολοι αὐτῶν, ἐπιστολὰς βιβλίνας κομιζόμενοι, ὑπεράνω τε τῶν ὑδάτων ναυτιλλόμενοι καὶ τὴν θάλασσαν ἐμπλέοντες, ἀπανταχοῦ γῆς διέτρεχον, τὸν περὶ τοῦ Σωτῆρος ἡμῶν ἐνδιαβάλλοντες λόγον. Ἀποστόλους δὲ εἰσέτι καὶ νῦν ἔθος ἐστὶν Ἰουδαίοις ὀνομάζειν τοὺς ἐγκύκλια γράμματα παρὰ τῶν ἀρχόντων αὐτῶν ἐπικομιζομένους.

«Πορεύσονται γὰρ ἄγγελοι κοῦφοι πρὸς ἔθνος μετέωρον καὶ ξένον λαὸν καὶ χαλεπόν. Τίς αὐτοῦ ἐπέκεινα; ἔθνος ἀνέλπιστον καὶ καταπεπατημένον.» Ὡς εἶναι ἀρχὴν πράγματος· καί μοι δοκεῖ τοῦτο τὸ πρόσταγμα πρὸς τοὺς μαθητὰς τοῦ Σωτῆρος ἡμῶν εἰρῆσθαι· οὓς διὰ τὸ πᾶσιν ἀνθρώποις ἀγαθῶν εὐαγγελιστὰς εἶναι, ἀγγέλους καὶ κούφους ὠνόμασε πρὸς ἀντιδιαστολὴν τῶν Ἰουδαϊκῶν ἀποστόλων. Φησὶν οὖν πρὸς αὐτοὺς τοὺς τῶν ἀγαθῶν ἀγγέλους· Ὑμεῖς, οἱ Χριστοῦ μαθηταί, πορεύεσθε, ὥσπερ οὖν αὐτὸς ὁ Σωτὴρ διετάξατο πρὸς ὑμᾶς λέγων· «Πορεύεσθε μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ[1]», καί, «Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη ἐν τῷ ὀνόματί μου.[2]» Πορευόμενοι δέ, φησί, κοῦφοι γίνεσθε καὶ εὐσταλεῖς, ὡς ἂν ῥᾳδίαν τὴν πορείαν ποιῆσθε· ὃ δὴ καὶ αὐτοῖς πάλιν παρῄνει λέγων· «Μηδὲν ἄρητε κατὰ τὴν ὁδόν· μὴ κτήσησθε χρυσὸν μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν[3]», καὶ τὰ ἑξῆς. Κελεύει δὲ πορεύεσθαι πρὸς ἔθνος μετέωρον καὶ ξένον, καὶ πρὸς λαὸν χαλεπόν. Οὐ γὰρ πρὸς γνωρίμους καὶ πρὸς οἰκείους τινὰς καὶ ἀδελφοὺς ἀπεστέλλοντο, ἀλλὰ πρός τινας ἀπεξενωμένους ἀγνώστους ἄνδρας καὶ ἀλλογενεῖς, τοὺς ἐν πᾶσι τοῖς ἔθνεσι· ἐν οἷς ἦσαν μετέωροι ἀληθῶς, ἐπὶ μηδὲν ἑδραίου ἑστῶτες, πλανώμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς πολυθέου πλάνης. Οἱ δ' αὐτοὶ καὶ χαλεπὸν ἔθνος ἦσαν, ἐχθρῶς καὶ πολεμίως διακείμενοι πρὸς τὸν τῆς θεοσεβείας λόγον. Ὅμως δ' οὖν πρὸς τούτους παρακελεύεται ἀπιέναι τοὺς ἀγγέλους κούφους καὶ τούτοις κηρύττειν, διαβαίνειν δὲ καὶ ἐπὶ τὰ πέρατα τῆς γῆς. Διὸ ἐπιλέγει, «Τίς αὐτοῦ ἐπέκεινα;» ἢ κατὰ τὸν Σύμμαχον, «Μεθ' ὃν οὐκ ἔστιν ἐπέκεινα.» Τοῦτο δὲ τὸ ἀπεξενωμένον καὶ μετέωρον ἔθνος, καὶ ἀνέλπιστον ἦν· ὡς λέγειν τὸν Ἀπόστολον· «Ἦμέν που ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ.[4]»

Στίχ. γ'. «Νῦν οἱ ποταμοὶ τῆς γῆς πάντες ὡς χώρα κατοικουμένη· κατοικισθήσεται ἡ χώρα αὐτῶν.»

Αἰνίττεσθαι δὲ διὰ τούτων μοι δοκεῖ ποταμοὺς μὲν τὰ πλήθη τῶν τὸν Θεὸν ἐπιγνωσομένων λαῶν· χώρας δὲ αὐτῶν τὰς ἐκκλησίας·

---

1. Ματθ. 10, 6. 2. Ματθ. 28, 19. 3. Ματθ. 10, 9. 4. Ἐφ. 2, 12.

ὡς γὰρ ἀνωτέρω κύμασι θαλάσσης, καὶ κύμασι τεταραγμένοις τὰ πλήθη τῶν ἀπίστων ἐθνῶν παρέβαλεν, οὕτω νῦν ποταμοῖς γλυκέσι καὶ εὐσταθῶς κινουμένοις τοὺς Χριστοῦ λαοὺς ἀφομοιοῖ, χώραν αὐτῶν δηλώσας τὴν Ἐκκλησίαν. Πάλαι μὲν οὖν ἦσαν οἱ ποταμοὶ οὗτοι ἀοίκητοι, καὶ ἀλλότριοι Θεοῦ, ἥ τε χώρα αὐτῶν ἔρημος θεοσεβείας· νυνὶ δὲ διὰ τοῦ ἡμετέρου, φησί, κηρύγματος, οἱ δηλωθέντες ποταμοὶ καὶ ἡ χώρα αὐτῶν εἰς οἰκουμένην ἐστί. Προξενήσει δὲ τοῦτο αὐτοῖς τὸ τοῦ Χριστοῦ σημεῖον· «Ὡσεὶ σημεῖον ἀπὸ ὄρους ἀρθῇ.»

Στίχ. δ'. «Ὡς σάλπιγγος φωνὴ ἀκουστὸν ἔσται· διότι οὕτως εἶπε Κύριός μοι· Ἀσφάλεια ἔσται ἐν τῇ ἐμῇ πόλει.»

Ἡ δὲ προλεχθεῖσα χώρα ἐμὴ τοῦ Κυρίου ἐστὶ πόλις· διὸ ἀσφάλεια ἔσται ἐν αὐτῇ, ὡς ἂν ἐμοῦ φυλάττοντος καὶ πανταχόθεν αὐτὴν ἀσφαλιζομένου· ὥστε εἰκότως περὶ αὐτῆς λέγεσθαι· «Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ [1]», καί· «Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ.[2] Ὡς φῶς καύματος μεσημβρίας, καὶ ὡς νεφέλη δρόσου ἡμέρας ἀμητοῦ.» Τοιούτου δὲ φωτὸς καὶ ὥσπερ καύματος μεσημβρινοῦ γενομένου ἐν τῇ ἐμῇ πόλει, οὐκ ἔστι, φησί, βλάβη, οὐδὲ λύπη τοῖς ὑπὸ τοιούτῳ φωτὶ καταυγαζομένοις. Φῶς μὲν οὖν αὐτός ἐστιν ὁ τοῦ Θεοῦ Λόγος, ὁ τὴν Ἐκκλησίαν αὐτοῦ διαπαντὸς φωτίζων· νεφέλη δὲ δρόσου τὸ Πνεῦμα τὸ ἅγιον, τὸ τὴν ἄκραν θεολογίαν τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ τοῖς μὴ οἵοις τε αὐτὴν χωρεῖν ἐπισκιάζον, ὡς κεκραμένον ἀποτελεῖσθαί τι πολὺ καὶ ἀκρότατον τῆς περὶ Χριστοῦ θεολογίας, διὰ τὴν τοῦ ἁγίου Πνεύματος ὡσπερεί τινος νεφέλης ὑποδρομήν. Καὶ ταῦτα ἔσεσθαί φησι πρὸ τοῦ θερισμοῦ· τοῦτον δηλῶν τὸν τρόπον τὰς ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ καρποφορίας, δίκην σταχύων ἀνθούσας· περὶ οὗ καὶ ἀνωτέρω ἐδήλου λέγων· «Καὶ εὐφρανθήσονται ἐνώπιόν σου, ὡς οἱ εὐφραινόμενοι ἐν ἀμητῷ.[3]» Καὶ ὁ Σωτὴρ ὁμοίως δι' ὧν ἔλεγεν· «Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἴδετε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμόν.[4]» Ἔσται τοίνυν τὸ μὲν φῶς τῆς θεότητος τοῦ Λόγου ἄκρατον ὥσπερ ἀκμαῖον καὶ μεσημβρινὸν ἐν τῇ αὐτοῦ πόλει· διὰ δὲ τὸ μὴ χωρηθῆναι αὐτὸ ὑπὸ ἀνθρώπων, μέση διελθοῦσα ἡ νεφέλη τοῦ ἁγίου Πνεύματος, δρόσου ἔμπλεως, ἐπισκιάσει τὴν αὐτὴν πόλιν, ἵνα, ὡς ἐν ἡμέραις ἀμητοῦ, ταῖς πρὸ τοῦ θερισμοῦ, καὶ τὸ φῶς ἐκλάμπῃ καὶ ἡ νεφέλη ἐπισκιάζῃ αὐτήν.

Στίχ. ε', ς'. «Ἔσται πρὸ τοῦ θερισμοῦ, ὅταν συντελεσθῇ ἄνθος, καὶ ὄμφαξ ἐξανθήσῃ ἄνθος ὀμφακίζουσα· καὶ ἀφελεῖ τὰ βοτρύδια τὰ μικρὰ τοῖς δρεπάνοις, καὶ τὰς κληματίδας ἀφελεῖ, καὶ ἀποκόψει.»

Ὥσπερ γάρ, φησίν, ἐν ταῖς ἀμπέλοις, ἐπειδὰν ὄμφακες ὦσιν οἱ βότρυες, ἐπιστὰς ὁ γεωργὸς τὰ περιττὰ καὶ ἄχρηστα τῶν κλημάτων ἐκκόπτει, οὐ μόνον, ἀλλὰ καὶ τὰ ἀτελεσφόρα καὶ ὡσπερεὶ νεκρι-

---

1. Ψαλμ. 86, 3. 2. Ψαλμ. 45, 5. 3. Ἡσ. 9, 3. 4. Ἰω. 4, 35.

μνία· καὶ ταῦτα γάρ, ὡς οὐκ ἂν ἀλκαῖα, οὐδὲ ἀγαθὴν ἔχοντα ἐλπίδα πρὸς καρποῦ τελείωσιν, περιαιρεῖ ἐπιστήμη γεωργική, ἵνα μὴ λυμαίνηται τοῖς ἐρρωμένοις βότρυσι τὰ περιττὰ καὶ ἄχρηστα· διότι ταῦτα μὲν ἀφαιρεῖ καὶ παραδίδωσιν εἰς βρῶσιν «τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς», τὰ δὲ τὸν ἐντελῆ διασῴζοντα καρπὸν διὰ πάσης ἐπιμελείας φυλάττει· οὕτω κατὰ τὸν καιρὸν τοῦ θερισμοῦ γενήσεσθαί φησι, τῶν τῆς ἀμπέλου περιττῶν κλημάτων, καὶ τῶν ἀχρήστων αὐτῇ βοτρύων περιαιρουμένων, καὶ ἀποκοπτομένων, εἰς βορὰν τε ἐκδιδομένων ταῖς κολαστικαῖς δυνάμεσιν, οἱ ἀγαθοὶ βότρυες, αἱ καρποφόροι ψυχαί, τῆς παρὰ Θεοῦ τεύξονται ἀγαθῆς ἐλπίδος. Ἐν τούτοις αὐτὸς ὁ Σωτὴρ ἑαυτὸν εἶναι τὴν ἄμπελον ἔφησεν· τοὺς δὲ μαθητὰς τὰ κλήματα· βότρυες δὲ τῶν κλημάτων ἀκόλουθόν ἐστι νοεῖν, τοὺς ὑπὸ τῶν ἀποστόλων μαθητευομένους· ὧν τὰ ὥσπερ νεκριμαῖα βοτρύδια τὰ ἄχρηστα καὶ ζωτικῆς δυνάμεως ἐστερημένα, κατὰ τὸν καιρὸν τῆς κρίσεως ἀποβληθήσεσθαι διδάσκει· καὶ τὰ κλήματα δὲ ὡσαύτως, τὰ μηδένα βότρυν φέροντα, οἷος ἦν ὁ προδότης Ἰούδας, ὁμοίως τοῖς ἀχρήστοις βότρυσιν, ἀποκοπήσεσθαι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς, ἀντικείμεναι κολαστικαὶ δηλονότι δυνάμεις.

Στίχ. ζ'. «Ἐν τῷ καιρῷ ἐκείνῳ ἀνενεχθήσεται δῶρα Κυρίῳ Σαβαὼθ ἐκ λαοῦ τεθλιμμένου καὶ τετιλμένου, καὶ ἀπὸ λαοῦ μεγάλου, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα χρόνον.»

Εἴη δ' ἂν οὗτος ὁ τὴν στενὴν καὶ τεθλιμμένην ὁδεύων τὴν ἀπάγουσαν εἰς τὴν ζωήν· ὁ αὐτὸς καὶ ἐκτετιλμένος ὑπάρχει, ὡς ἂν τῆς κοινῆς τῶν ἀνθρώπων ζωῆς ἠλλοτριωμένος, καὶ μέγας δέ ἐστι παρὰ τῷ Θεῷ καὶ πολύς· διὸ λέλεκται, «ἀπὸ λαοῦ μεγάλου.» Καὶ γὰρ ἐν τῷ παρόντι βίῳ, καὶ ἐν τῷ μέλλοντι δὲ αἰῶνι τὰ λογικὰ δῶρα καὶ τὰς ἀναιμάκτους τῷ Θεῷ θυσίας ἀναπέμπων οὐ διαλιμπάνει ὁ δηλωθεὶς λαός.

«Ἔθνος ἐλπίζον καὶ καταπεπατημένον, ὅ ἐστιν ἐν μέρει ποταμοῦ τῆς χώρας αὐτοῦ εἰς τὸν τόπον, οὗ τὸ ὄνομα Σαβαώθ, εἰς ὄρος ἅγιον.» Τὸ γὰρ ἔθνος τοῦτο ἐν μέρει ποταμοῦ τῆς χώρας τοῦ Θεοῦ ἐτύγχανεν, ὅτε ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ ἐπολιτεύετο· ὡς λέγειν· «Ἐν μέρει γινώσκομεν καὶ ἐν μέρει προφητεύομεν.[1]» Οὔτε γὰρ τὸν πάντα ποταμὸν ἐχώρει, λέγω δὲ τὸν τοῦ Θεοῦ Λόγον, ἡ δηλωθεῖσα χώρα· διὸ ἐν μέρει τοῦ ποταμοῦ τῆς χώρας τοῦ Θεοῦ λέγεται γεγονέναι τὸ δηλωθὲν ἔθνος.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Στίχ. α' «Ὅρασις Αἰγύπτου. Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς Αἴγυπτον.»

Προσήκει δὲ τὸν νοῦν ἐπιστῆσαι ὅπως εἴρηται· «Ὅρασις Αἰγύ-

1. Α' Κορ. 13, 9.

πτου.» Οὐ γὰρ ὡς ἐπὶ τῆς Βαβυλῶνος ἐλέγετο· «Ὅρασις κατὰ Βαβυλῶνος· οὐδ' ὡς ἐπὶ τῆς Ἰουδαίας καὶ τῆς Ἱερουσαλήμ, «Ὅρασις ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμώς, ἣν εἶδε κατὰ τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ·» οὐδ' ὡς ἐπὶ τῆς Δαμασκοῦ καὶ τῆς Μωαβίτιδος, οὕτως ἐπὶ τῆς Αἰγύπτου· οὐ γὰρ εἴρηται, «Ὅρασις κατὰ τῆς Αἰγύπτου·» ἤτοι ὡς αὐτῆς Αἰγύπτου μελλούσης ὁρᾶν, καὶ θεωρεῖν ὀφθαλμοῖς διορατικοῖς τὰ θεσπιζόμενα· ἢ ὡς τοῦ προφήτου τὴν ὅρασιν τεθεαμένου τὴν τὰ κάλλιστα τοῖς Αἰγυπτίοις προαναφωνήσασαν. Τί γὰρ κάλλιον, τί δὲ μακαριώτερον ὑπάρχειν ἤμελλεν Αἰγυπτίοις τοῦ τὸν Κύριον τῆς αὐτοῦ παρουσίας καταξιοῦν αὐτούς, καὶ τὴν αὐτοῦ γνῶσιν αὐτοῖς παρέξειν, καὶ ποιήσειν ὅσα ἄλλα ἐμφέρεται τοῖς Αἰγυπτίοις;

«Καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ, καὶ ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς.» Ὃ δὲ πεπληρῶσθαι εἴποιεν ἄν τις πρὸς ἱστορίαν, ὅτε αὐτὸς ὁ Κύριος, ὁ ἐν ἀρχῇ πρὸς τὸν Θεόν, Θεὸς Λόγος οὐκ ἀσωμάτως οὐδὲ ἀφανῶς ἐπεδήμει τῇ τῶν Αἰγυπτίων χώρᾳ, ἀλλὰ μετὰ τῆς νομιζομένης κούφης νεφέλης καθήμενον αὐτὸν ἀφικέσθαι, τοῦ σώματος δηλαδή, οὗ ἀνειλήφει ὁ Χριστός, ἐξ ἁγίου Πνεύματος καὶ τῆς ἁγίας Παρθένου ἐπεσκευασμένου. Εἰ μὲν γὰρ μὴ προσέκειτο τὸ ἐπὶ νεφέλην καθήμενον αὐτὸν ἀφικέσθαι, ἤτοι ἠδύνατό τις λέγειν, ὅτι ἀσωμάτως καὶ θεϊκῇ δυνάμει πανταχοῦ παρὼν ὁ Θεὸς Λόγος, ἅτε δὴ πάντα πληρῶν· «Ἐν τῷ κόσμῳ» γὰρ «ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο[1]», καὶ τῇ Αἰγύπτῳ τὴν αὐτὴν παρουσίαν παρέχει, διὰ τοῦ τὴν ἐπισκοπὴν αὐτοῦ καὶ τὴν πρόνοιαν μέχρις αὐτῶν ἐκτείνειν. Ἀλλ' οὐ μᾶλλον εἴποι τις αὐτὸν ἐν Αἰγύπτῳ, ἢ ἐν ἑτέρῳ μέρει πάντως κατὰ τοῦτον ὑπάρχειν τὸν τρόπον. Νῦν δὲ ἀφωρισμένως εἰς Αἴγυπτον αὐτὸν ἥξειν ὁ λόγος ἐπὶ νεφέλης αὐτὸν ὀχούμενον κούφης εἶπεν, ἰδιάζουσάν τινα καὶ σωματικὴν τὴν παρουσίαν αὐτοῦ δηλῶν. Ὧ δὴ εἴποι ἄν τις ὁ ταύτῃ συνιστάμενος τῇ ἐκδοχῇ τέλους ἠξιῶσθαι τὸ ῥητὸν ἐπὶ τῇ εἰς ἀνθρώπους προόδῳ τοῦ ἐκ τῆς ἁγίας Παρθένου γεννηθέντος Θεοῦ, ὃν Ἐμμανουὴλ καλεῖ ἡ προφητεία. Ὡς γὰρ ἡ νεφέλη οὐκ ἄλλοθεν ἔχει τὴν σύστασιν, ἢ ἐξ ἀέρος καὶ ἀναθυμιάσεως τῆς γῆς, οὕτως τὸ σῶμα ὃ ἀνείληφεν, ἐξ ἁγίου Πνεύματος καὶ τῆς γεώδους οὐσίας ὑποστὰν εἰκότως νεφέλῃ κούφῃ παρεβλήθη, ᾗ ἐγκαθήμενος ὁ Χριστὸς ἐπεδήμει τῇ Αἰγύπτῳ κατὰ τὴν νηπίαν ἡλικίαν. Ἀπήρκει γὰρ καὶ τοῦτο Αἰγυπτίοις ἀρρήτῳ δυνάμει μέγιστα ὠφελουμένοις ἐκ τῆς τοῦ Σωτῆρος ἐπιβάσεως. Κατὰ δὲ βαθύτερον νοῦν, τῆς τοῦ Κυρίου παρουσίας ἐξαιρέτως ἐδεῖτο ἡ Αἴγυπτος, ἐπειδὴ πάντων ἀνθρώπων δεισιδαιμονέστεροι γεγόνασιν, ὡς μὴ μόνον εἱμαρμένῃ καὶ τοῖς κατ' οὐρανὸν ἄστροις τὴν τοῦ παντὸς ἀνατιθέναι αἰτίαν, ἐκπεσεῖν δὲ καὶ μέχρι τῆς τῶν ἀλόγων ζῴων, καὶ θηρίων ἀτιθάσσων πτηνῶν τε καὶ ἑρπετῶν

1. Ἰω. 1, 10.

θεοποιίας. Οὕτω δὲ ἀδέσποτον καὶ ἀπρονόητον ἡγοῦντο τὸ πᾶν, ὡς καὶ βασιλέα αὐτῶν γυμνῇ τῇ κεφαλῇ λέγειν· «Οὐκ οἶδα τὸν Κύριον», καί, «Τίς ἐστιν οὗ εἰσακούσομαι τῆς φωνῆς αὐτοῦ;[1]» Ταῦτα δὲ αὐτοῖς ἔργοις τέλος ἐλάμβανε καθ' ὃν χρόνον ἐκκλησίαι μὲν Θεοῦ καθ' ὅλης ἱδρύοντο τῆς Αἰγύπτου, ἐπεδήμησε δὲ αὐτὸς ὁ Κύριος τοῖς Αἰγυπτίοις, ἐπισκοπῶν τὰς ἐκκλησίας αὐτοῦ κατὰ τό· «Ὅπου δύο ἢ τρεῖς συνηγμένοι εἰσὶν εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν.[2]» Οὕτω γοῦν αἱ μὲν ἐκκλησίαι τῇ αὐτοῦ διέλαμπον χάριτι, ἡ δὲ τῶν αὐτόθι δαιμόνων καθῃρεῖτο πλάνη.

Στίχ. β'. «Καὶ ἐπεγερθήσονται Αἰγύπτιοι ἐπ' Αἰγυπτίους, καὶ πολεμήσει ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ.»

Καὶ ταῦτα μὲν ἐπληροῦτο μετὰ τὸ εὐαγγελικὸν κήρυγμα, τὸ εἰς πᾶσαν διαδοθὲν τὴν Αἴγυπτον, ἐφ' ᾧ τὰ μὲν ἄψυχα ξόανα τῆς ἐξ αἰῶνος ἀκινήτου στάσεως αὐτῶν ἐσαλεύθη, ὥστε μὴ καθιδρύσθαι καὶ βεβαίαν ἔχειν αὐτὰ στάσιν διὰ τὸν ἐγγενόμενον αὐτοῖς λαόν, οἱ δὲ ἐν αὐτοῖς ἐμφωλεύοντες δαίμονες πονηροί, τὸ μηδὲν ὄντες διηλέγχοντο ἐπὶ τούτοις. Ὥσπερ γὰρ ἡ ἐμφύλιος στάσις καθ' ὅλης διηγείρετο τῆς Αἰγύπτου· διισταμένων ἀπ' ἀλλήλων καὶ τεμνομένων καὶ μεριζομένων κατ' οἴκους, καὶ πολιτῶν τὴν χώραν οἰκούντων, τῷ τοὺς μὲν αὐτῶν προστρέχειν τῷ κηρύγματι εὐαγγελικῷ ἀναχωροῦντας τῆς δαιμονικῆς καὶ Αἰγυπτιακῆς πλάνης· τοὺς δὲ ἐναπομένοντας ἐν αὐτῇ πόλεμον ἄσπονδον κατὰ τούτων ἐγείρειν· οὕτως οὖν ἐπανίσταντο Αἰγύπτιοι ἐπ' Αἰγυπτίους.

Στίχ. γ', δ'. «Πόλις ἐπὶ πόλιν, καὶ νομὸς ἐπὶ νομόν. Καὶ ταραχθήσεται τὸ πνεῦμα τῶν Αἰγυπτίων ἐν αὐτοῖς, καὶ τὴν βουλὴν αὐτῶν διασκεδάσω. Καὶ ἐπερωτήσουσι τοὺς θεοὺς αὐτῶν καὶ τὰ ἀγάλματα αὐτῶν καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας, καὶ τοὺς ἐγγαστριμύθους. Καὶ παραδώσω τὴν Αἴγυπτον εἰς χεῖρας ἀνθρώπων κυρίων σκληρῶν, καὶ βασιλεῖς σκληροὶ κυριεύσουσιν αὐτῶν.»

Νομοὶ δὲ καλοῦνται παρ' Αἰγυπτίοις εἰσέτι καὶ νῦν αἱ παρ' αὐτοῖς χῶραι, αἳ καὶ αὐταὶ διίστανται πρὸς ἀλλήλας τῆς αὐτῆς ἕνεκεν ὑποθέσεως. Ἐχωρίζετο δὲ τῆς κατὰ Θεοῦ πολιτείας ὁ τῶν ἀθέων βίος, καὶ νομὸς ἐπηγείρετο νομῷ, τοῦ εὐαγγελικοῦ νόμου τὰ τῶν Αἰγυπτίων ἀνατρέποντος νόμιμα, ὡς αὖ πάλιν τοῦ τῆς εἰδωλολατρείας νόμου πολεμοῦντος τὸν σωτήριον λόγον. Ταῦτα δὲ πάντα ἐγίνετο, τὴν ἐπὶ κακῷ συμφωνίαν τῶν Αἰγυπτίων καὶ τὴν ὁμόνοιαν αὐτῶν τὴν περὶ τὴν πολύθεον πλάνην συγχέοντος τοῦ ἐπιδημήσαντος αὐτοῖς Κυρίου. Διὸ εἴρηται κατὰ τὸν Ἀκύλαν, «Καὶ στασιάσω Αἰγυπτίοις Αἰγυπτίους·» κατὰ δὲ τὸν Σύμμαχον, «Συμβαλῶ Αἰγυπτίους Αἰγυπτίοις.» Συγγενῆ δὲ τούτοις καὶ ἀδελφά, μᾶλλον δὲ τὰ αὐτὰ ἑτέροις

1. Ἔξ. 5, 2. 2. Ματθ. 18, 20.

ῥήμασιν αὐτὸς ὁ Κύριος ἡμῶν ἐν Εὐαγγελίοις ἐδίδασκε λέγων· «Μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν[1]», καὶ τὰ ἑξῆς. Τούτων δὲ γινομένων, ταραχθήσεσθαί φησιν ὁ λόγος τὸ πνεῦμα τῶν Αἰγυπτίων· κατὰ δὲ τὸν Σύμμαχον, «Καὶ ῥαγήσεται πνεῦμα Αἰγύπτου ἐν αὐτῇ.» Κατὰ δὲ τὸν Θεοδοτίωνα, «Καὶ σχισθήσεται τὸ πνεῦμα Αἰγύπτου ἐν αὐτῇ·» ὁ δὲ Ἀκύλας, «Καὶ παραδοθήσεται πνεῦμα Αἰγύπτου ἐν ἐγκάτῳ αὐτῆς.» Τούτου δὲ ῥηγνυμένου καὶ καταρριπτουμένου ἐκ τῆς Ἐκκλησίας, προκοπῇ τῶν Αἰγυπτίων βουλὰς πονηρὰς ἐπινοούντων, Ἐγώ, φησίν, αὐτὸς ὁ Κύριος, τὴν βουλὴν αὐτῶν διασκεδάσω. «Καὶ ἐπερωτήσουσι τοὺς θεοὺς αὐτῶν, καὶ τὰ ἀγάλματα αὐτῶν, καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας, καὶ τοὺς ἐγγαστριμύθους.» Οὐκέτι μηδενὸς τούτων αὐτοῖς συνήθως φαινομένου, εἰς ἐσχάτην ἐμπεσοῦνται ἀπορίαν, «Καὶ παραδώσω τὴν Αἴγυπτον εἰς χεῖρας ἀνθρώπων, κυρίων σκληρῶν, καὶ βασιλεῖς σκληροὶ κυριεύσουσιν αὐτῶν.» Ἐνταῦθα δηλοῦσθαι τὸν χρόνον οἶμαι τῆς τῶν θεσπιζομένων ἐκβάσεως· μεταβολὴν γὰρ ἔσεσθαι τῆς βασιλείας τῶν Αἰγυπτίων σημαίνει, κατὰ τοὺς χρόνους τῆς τοῦ Κυρίου εἰς Αἴγυπτον ἀφίξεως. Καὶ τίς οὐκ ἂν ἐκπλαγείη, συμβαλὼν τοὺς τοῦ σωτηρίου κηρύγματος καὶ τῆς ἐν αὐτῷ καταλύσεως τοῦ κατ' Αἴγυπτον βασιλείου, ὡς ἐξ ἐκείνου καὶ εἰς δεῦρο μηκέτι αὐτῶν τοὺς πρότερον ἄρχοντας, λέγω δὴ τοὺς Πτολεμαίους, κρατεῖν, Ῥωμαίους δὲ αὐτῶν κυρίους ἀποφανθῆναι;

Ἀντὶ δὲ τοῦ, «βασιλεῖς σκληροί», ὁ μὲν Ἀκύλας, «Καὶ βασιλεὺς κεκραταιωμένος βασιλεύσει αὐτῶν», εἴρηκεν· ὁ δὲ Σύμμαχος, «Καὶ βασιλεὺς σκληρὸς ἐξουσιάσει αὐτῶν·» ὁ δὲ Θεοδοτίων, «Καὶ βασιλεὺς ἰσχυρὸς κυριεύσει αὐτῶν.» Εἴποις δ' ἂν τοῦτον εἶναι τὸν κατὰ τοὺς χρόνους τῆς γεννήσεως τοῦ Σωτῆρος ἡμῶν τῶν Ῥωμαίων μοναρχήσαντα βασιλέα. Τότε γοῦν Αὔγουστος κεκραταιωμένος ἀληθῶς καὶ ἰσχυρῶς βασιλεύων, πρῶτος τὴν Αἴγυπτον ὑπέταξε Ῥωμαίοις, καθελὼν τὴν ἐκ μακροῦ κρατήσασαν διαδοχὴν τῶν παρ' αὐτοῖς βασιλευσάντων Πτολεμαίων.

Στίχ. ε'. «Τάδε λέγει Κύριος Σαβαώθ· Καὶ πίονται ὕδωρ τὸ παρὰ θάλασσαν οἱ Αἰγύπτιοι.»

Ἀνθ' οὗ ὁ μὲν Ἀκύλας, «Καὶ ἀναποθήσεται», φησίν, «ὕδατα ἀπὸ θαλάσσης·» ὁ δὲ Σύμμαχος, «Καὶ ἀφανισθήσεται ἀπὸ θαλάσσης ὕδατα.» Τροπικῶς δὲ ὁ λόγος θαλάσσας ἐν τούτοις τὸ ταραχῶδες πλῆθος τῶν Αἰγυπτίων ᾐνίξατο.

Στίχ. ς'. «Ὁ δὲ ποταμὸς ἐκλείψει καὶ ξηρανθήσεται. Καὶ ἐκλείψουσιν οἱ ποταμοί, καὶ αἱ διώρυγες τοῦ ποταμοῦ, καὶ ξηρανθήσεται πᾶσα συναγωγὴ ὑδάτων.»

Ὡς καινὸν αὐτοῖς ξενίζῃς πότον· μηκέτι γὰρ ὑφεστῶτος τοῦ πο-

1. Ματθ. 10, 34.

ταμοῦ, μηδὲ ἑτέρου Αἰγυπτιακοῦ ὕδατος, ἀλλὰ μηδὲ τοῦ θαλαττίου ἐπιτηδείου ὄντος πρὸς πόσιν, νέον καὶ ξένον ὕδωρ πίεσθαι αὐτούς φησι· τοῦτο δὲ ἦν τὸ ἐκ τῶν πηγῶν τοῦ σωτηρίου παρὰ τοῦ Κυρίου αὐτοῖς χορηγούμενον. Ἀλλὰ γὰρ καὶ ἐκλιπόντων τῶν Ἰουδαϊκῶν ὑδάτων, οἱ θηραταὶ τῶν ἰχθύων, δηλαδὴ τῶν ἀνθρωπίνων ψυχῶν, πενθήσειν λέγονται. Νοήσεις δὲ τοὺς ἐν τῷ προφήτῃ λεγομένους ἁλιεῖς καὶ ἀμφιβολεῖς ἐξ ἑτέρων ἁλιέων καὶ σαγηνευτῶν, λέγω δὴ τῶν ἀποστόλων, καὶ μαθητῶν τοῦ Σωτῆρος ἡμῶν, οἷς ἐλέγετο, «Δεῦτε, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων.[1]» Εἰ γὰρ οὗτοι διὰ τῆς αὐτῶν διδασκαλίας ἐθήρευον τὰς τῶν ἀνθρώπων ψυχάς, ἕλκοντες ἐπὶ σωτηρίαν, διατί οὐκ ἂν εἴποις καὶ τοὺς Αἰγυπτίων λεγομένους ἁλιεῖς καὶ ἀμφιβολεῖς τοὺς πάλαι διδασκάλους τῆς παρ' αὐτοῖς φιλοσοφίας εἶναι, οἳ διὰ τῆς Αἰγυπτιακῆς γοητείας, ἐπαγίδευον καὶ ὥσπερ ἐδελέαζον τοὺς ὑπ' αὐτῶν ἁλισκομένους.

Στίχ. ζ', η'. «Καὶ ἐν παντὶ ἕλει καλάμου καὶ παπύρου, καὶ τὸ ἀχὶ τὸ χλωρόν, πᾶν τὸ κύκλῳ τοῦ ποταμοῦ, καὶ πᾶν τὸ σπειρόμενον διὰ τοῦ ποταμοῦ ξηρανθήσεται ἀνεμόφθορον. Καὶ στενάξουσιν οἱ ἁλιεῖς, καὶ στενάξουσι πάντες οἱ βάλλοντες ἄγκιστρον εἰς τὸν ποταμόν, καὶ οἱ βάλλοντες σαγήνας καὶ ἀμφιβολεῖς πενθήσουσιν.»

Παντελῆ δὲ οἶμαι ξηρασίαν ὑδάτων διὰ τούτων σημαίνειν, ὡς μηδὲ ἴχνος νοτίδων ὑδάτων μήτε ἐν τῷ ποταμῷ φαίνεσθαι, μήτε ἐν τῷ ἕλει μήτ' ἀμφὶ τῶν ποταμῶν ἐκτός, μήτ' ἐν αὐτῷ μέσῳ, μήτ' ἐν διώρυξιν, μήτ' ἐν στασίμοις ὕδασιν· λεῖψιν δὲ ἀθρόως τούτων ἔσεσθαι ἁπάντων, ὡς μηδαμοῦ τῆς Αἰγυπτίων γῆς ὕδατα ὑφεστάναι. Ἀλλ' οὗτος ὁ λόγος καὶ τὸν οὐκ ἐθέλοντα βιάζεται ἐπὶ τροπικὴν μεταβαίνειν θεωρίαν· ὥστε ἐξ ἀνάγκης ποταμοὺς καὶ ὕδατα νοεῖν Αἰγύπτια ἤτοι τὰ πλήθη τῆς Αἰγυπτιακῆς δυνάμεως, ἢ τὴν βασιλείαν αὐτῶν τὴν πάλαι ποταμοῦ δίκην πλημμυροῦσαν ἢ καθ' ἑτέραν ἐκδοχήν, τὴν παρ' Αἰγυπτίοις τὸ παλαιὸν ἀκμάζουσαν φιλοσοφίαν, περὶ ἧς λέλεκται· «Καὶ ἐπαιδεύθη Μωϋσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων.[2]» Πολλὴ γάρ τις ἦν αὐτή, καὶ μέγας ὁ παρ' αὐτοῖς ῥέων ποταμός, ὁ τῆς παρ' αὐτοῖς θαυμαζομένης σοφίας λόγος. Τούτου δὲ ὑπῆρχε μέρη πολλὰ κατακερματιζομένου εἰς διώρυγας πολλάς, καὶ εἰς πολλοὺς μαθητὰς τῶν καθ' ἕκαστον τῶν παρ' αὐτοῖς μαθήσεων λόγων, ἐξ ὧν ἔφυον οὐκ ἄμπελοι οὐδὲ ἐλαῖαι, οὐδέ τι τῶν καρπίμων τῶν ἀναγκαίων δένδρων, ἀλλὰ πάπυρος, κάλαμος καὶ τὸ χλωρὸν ἀχί. Σαγήνας δὲ αὐτῶν νοήσεις ἀπὸ τῆς τοῦ Σωτῆρος ἡμῶν παραβολῆς δι' ἧς εἴρηται· «Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ συλλαβούσῃ ἀπὸ παντὸς γένους ἰχθύων.[3]» Ὥσπερ δὲ ἐν τῇ παραβολῇ οἱ ἄνθρωποι ἰχθύες εἴρηνται, καὶ σαγήνη ὁ περὶ τῆς βασιλείας τῶν οὐρανῶν εὐαγγελικὸς λόγος· οὕτως καὶ ἐνταῦθα

1. Ματθ. 4, 19. 2. Πράξ. 7, 22. 3. Ματθ. 13, 47.

ἡ πολύπλοκος δεινότης τοῦ Αἰγυπτίου λόγου, εἴη ἂν σαγήνη καὶ τὰ ἀμφίβληστρα ὁμοίως· οἱ δὲ σαγηνευόμενοι πρὸς αὐτῶν ἰχθύες εἶεν οἱ ταῖς ἀπατηλαῖς σοφιστείαις εἰς πᾶν εἶδος ἀθέου δεισιδαιμονίας ὑποσυρόμενοι. Στενάξειν γοῦν καὶ πενθήσειν λέγονται οἱ ἀμφιβολεῖς τῆς Αἰγύπτου, μηκέτι ἔχοντες ἐργασίαν διὰ τὸν ἐπιδημήσαντα αὐτοῖς Χριστὸν καὶ τὴν πᾶσαν αὐτῶν σοφίαν ἀπολέσαντα, κατὰ τό, «Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω.[1]»

Στίχ. θ'. «Καὶ αἰσχύνη λήψεται τοὺς ἐργαζομένους τὸ λίνον τὸ σχιστόν, καὶ τοὺς ἐργαζομένους τὴν βύσσον.»

Οὕτω νοήσεις τοὺς ἐργαζομένους τὸ λίνον, οὔτε τὸ στερρὸν καὶ ἀρραγές, ἀλλὰ τὸ σχιστόν, λόγον δηλαδὴ διερρωγότα, καὶ διεσχισμένον, καὶ τὴν βύσσον δὲ ὡσαύτως· ἐπεὶ καὶ αὐτὰ τοῦ Αἰγυπτίων ποταμοῦ μετεῖχεν, ἐξ αὐτοῦ ἀρδευόμενα. Διὸ καὶ τοὺς τούτων φησὶν ἐργάτας στενάξειν ὁ λόγος· ὅτε μηκέτι αὐτοῖς πρὸς περιβολὴν καὶ κόσμον τῆς παρ' αὐτοῖς σοφίας τὰ διὰ τούτων ὑφάσματα ηὐπόριστο. Διὰ λίνου γὰρ ὥσπερ καὶ βύσσου κόσμον καὶ περιβολὴν ἑαυτοῖς ἐπενόουν, πιθανοῖς τισι καὶ ἀπατηλοῖς λόγοις τὸ παρ' αὐτοῖς ψεῦδος καλύπτοντες.

Στίχ. ι'. «Καὶ ἔσονται οἱ ἐργαζόμενοι αὐτὰ ἐν ὀδύνῃ· καὶ πάντες οἱ ποιοῦντες τὸν ζύθον λυπηθήσονται καὶ τὰς ψυχὰς πεσοῦνται.»

Στενάξειν δὲ πάντας φησὶ τοὺς ποιοῦντας οὐ τὸν ἐξ ἀμπέλου οἶνον, ἀλλὰ τὸν Αἰγυπτιακὸν ζύθον· ὃς καὶ αὐτὸς νόθος ἦν καὶ τεθολωμένος· ᾧ ἐκέχρηντο ἀντὶ ποτοῦ πρὶν αὐτοῖς ἐπιδημῆσαι τὸν Κύριον οἱ Αἰγύπτιοι. Καὶ τούτου δὲ ἐκκλίνοντος, εἰκότως στενάξειν λέγονται καὶ τὰς ψυχὰς ἀλγήσειν οἱ τούτου ποιηταί. Ταῦτα μὲν οὖν πείσεσθαι τοὺς τῆς Αἰγύπτου σοφιστὰς ἀπειλεῖ, ζυθοποιούς τινας καὶ λίνου σχιστοῦ καὶ βύσσου ἐργάτας, ἰχθύων τε θηρευτάς, τὸν ποταμὸν τὸν Αἰγυπτιακὸν περιέποντας, καὶ τὸν τῆς Αἰγυπτιακῆς σοφίας λόγον.

Στίχ. ια'. «Καὶ μωροὶ ἔσονται οἱ ἄρχοντες Τάνεως, οἱ σοφοὶ σύμβουλοι τοῦ βασιλέως, ἡ βουλὴ αὐτῶν μωρανθήσεται.»

Ἐν ταύτῃ γὰρ μάλιστά φησι τὴν πᾶσαν μαγγανείαν τῆς δαιμονικῆς εἰδωλολατρείας συνεστάναι πρότερον· ἐνταῦθα δὲ τὸ βασίλειον ἔχειν τοὺς ἐν τοῖς Μωϋσέως χρόνοις βασιλεύοντας τῆς Αἰγύπτου. Διὸ λέλεκται ἐν πεδίῳ Τάνεως τὰ σημεῖα γεγονέναι, τὰ ἐπὶ Μωϋσέως καὶ ἐπὶ τοῦ παρόντος. Τοιγαροῦν ἐπιδημήσαντος τοῦ Κυρίου τῇ Αἰγύπτῳ, σὺν τῷ Αἰγυπτίῳ ποταμῷ καὶ τοὺς δηλωθέντας ἀρχοντικοὺς δαίμονάς τινας μωρανθήσεσθαί φησι, καίπερ σοφίαν ἐπαγγελλομένους ὅτε οὐ παρῆν αὐτοῖς ὁ Κύριος. Ἀλλὰ γὰρ ἔλεγχον αὐτοῖς ἐπήγαγεν, ὡς οὐδεμιᾶς μετεῖχον σοφίας· μωροὶ δὲ ἦσαν ἀληθῶς ἐν τῇ τοῦ Κυρίου παρουσίᾳ.

Στίχ. ιβ', ιγ'. ««Πῶς ἐρεῖτε τῷ βασιλεῖ, Υἱοὶ συνετῶν ἡμεῖς,

1. Ἡσ. 29, 14. Α' Κορ. 1, 19.

υἱοὶ βασιλέων τῶν ἐξ ἀρχῆς; Ποῦ εἰσι νῦν οἱ σοφοί σου; καὶ ἀναγγειλάτωσάν σοι, καὶ εἰπάτωσαν τί βεβούλευται Κύριος Σαβαὼθ ἐπ' Αἴγυπτον. Ἐξέλιπον οἱ ἄρχοντες Τάνεως, καὶ ὑψώθησαν οἱ ἄρχοντες Μέμφεως, καὶ πλανήσουσι τὴν Αἴγυπτον κατὰ φυλάς.»

Μηκέτι γὰρ ὑπάρχοντος ὑμῖν βασιλέως, πῶς οἷοί τέ ἐστε ἐπὶ συνέσει σεμνύνεσθαι; Πῶς δὲ υἱοὺς βασιλέων παλαιῶν ἑαυτοὺς εἶναί φατε, Ὧρον, καὶ Ἶσιν, καὶ Ὄσιριν προβαλλόμενοι καὶ Τυφῶνα, καὶ θεῶν, καὶ ἡρώων, καὶ νεκύων γένη φάσκοντες τὸν πάλαι χρόνον τῆς Αἰγύπτου κεκρατηκέναι, ὧν θεῶν καὶ βασιλέων υἱοὺς καὶ ἀπογόνους ἑαυτοὺς εἶναί φατε ὑμεῖς οἱ διὰ τῆς προφητείας δηλούμενοι ἄρχοντες Τάνεως καὶ Μέμφεως; Πῶς δ' ἂν εἴητε θεοὶ ἢ πᾶσαν μετασχοίητε σοφίαν, μηδὲ δυνάμενοι προγνῶναι μηδὲ προαγορεῦσαι τὸν ὑμέτερον ἔλεγχον καὶ τὴν τῆς βασιλείας κατάλυσιν τούτων ὧν ἐτυγχάνετε σύμβουλοι, οὓς καὶ ἐπιτρίβετε παντοίαις πλάναις περιβάλλοντες;

Στίχ. ιδ'. «Κύριος γὰρ ἐκέρασεν αὐτοῖς πνεῦμα πλανήσεως, καὶ ἐπλάνησαν τὴν Αἴγυπτον ἐν πᾶσι τοῖς ἔργοις αὐτῶν, ὡς πλανᾶται ὁ μεθύων καὶ ὁ ἐμῶν ἅμα.»

Τεκμαίρεσθαι δέ ἐστι ταύτῃ τῆς μέθης τὴν ὑπερβολὴν ἀπὸ τοῦ μηδὲ ὁμοίως τοῖς λοιποῖς ἀνθρώποις εἰδωλολατρεῦσαι αὐτούς, ἐκπεσεῖν δὲ καὶ μέχρι τῆς τῶν ἀλόγων ζώων ἂν εἰδωλοποιήσεως· διὸ λέλεκται, «Ὡς πλανᾶται ὁ μεθύων καὶ ὁ ἐμῶν ἅμα.» Τοιαύτῃ τινὶ μέθῃ τὰς τῶν Αἰγυπτίων ἐπλάνησαν ψυχὰς οἱ δηλωθέντες ἄρχοντες Τάνεως καὶ Μέμφεως, οἷς αὐτὸς ὁ Κύριος πνεύματα πλανήσεως ἐκέρασε. Δαίμονες γὰρ ὄντες πονηροὶ καὶ δυνάμεις ἀντικείμεναι, ἐναντία τῷ Θεῷ ἐφρόνουν, καὶ θεομαχεῖν ἐπειρῶντο. Διὸ παρεδόθησαν πλάνῃ, τοῦ Θεοῦ κρίναντος ἐπαξίως τῆς πονηρίας αὐτῶν πλάνῃ παραδοῦναι αὐτούς. Οἱ δὲ τὴν σφῶν κακίαν ἐπὶ τοὺς Αἰγυπτίους, ὥσπερ τινὰ ἰὸν θανατηφόρον διέχεαν, καὶ ἐπλάνησαν τὴν Αἴγυπτον, «Ὡς πλανᾶται ὁ μεθύων καὶ ὁ ἐμῶν ἅμα.» Ἀλλὰ καὶ τούτων αὐτῶν χάριν ἐπεδήμει ὁ Κύριος τῇ Αἰγύπτῳ, ἵνα, αὐτοὺς τῆς πλάνης ἀνανῆψαι ποιήσας, μακρὰν αὐτῶν ἀποσκεδάσῃ τοὺς λαούς.

Στίχ. ιε'. «Καὶ οὐκ ἔσται τοῖς Αἰγυπτίοις ἔργον ὃ ποιήσει κεφαλὴν καὶ οὐράν, ἀρχὴν καὶ τέλος.»

Ἄπρακτα γὰρ αὐτοῖς ἐστι τὰ ἐνεργούμενα τὰ πολλὰ παρ' αὐτοῖς ἐπιτελούμενα, ὡς μηδὲ ἔργον ἐν αὐτοῖς μήτε ἀρχὴν ἔχειν, μήτε τέλος, τοῦ Κυρίου καὶ τοῦτο, ὡς ἀγαθοῦ, ἐργασαμένου. Πολλὰ μὲν γὰρ ἐν τῇ παρ' Αἰγυπτίοις πολυθέῳ πλάνῃ ἔργα ἀρχὴν ἔχοντα ἦν καὶ τέλος νομιζομένῃ ἀκολουθίᾳ. Κατὰ δὲ τοὺς δεδηλωμένους χρόνους τῆς τοῦ Κυρίου εἰς αὐτοὺς παρουσίας οὐκέτι ἔσεσθαι παρ' αὐτοῖς ἔργον τοιοῦτον πλῆρες καὶ ὁλόκληρον καὶ τέλειον· ἀλλ' εἰ καὶ εὑρεθῇ τί ποτε, ἀκέφαλον ἔσται καὶ ἄναρχον, ἀτελές τε καὶ ἀσυμπέραστον· ὃ δὴ καὶ ἔστιν ἔργῳ παραλαβεῖν· ἐπεὶ καὶ ἐκλέλοιπε παντελῶς αὐτῶν ἡ εἰδωλο-

λατρεία. Τοιαῦτα δέ ἐστι μήτε κεφαλὴν ἔχειν μήτε τέλος εἰς λόγον ἱκανούμενα.

Στίχ. ιϛ'. «Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσονται Αἰγύπτιοι ὡς γυναῖκες ἐν τρόμῳ καὶ ἐν φόβῳ ἀπὸ προσώπου τῆς χειρὸς Κυρίου Σαβαώθ, ἣν αὐτὸς ἐπιβαλεῖ αὐτοῖς.»

Κατὰ τοὺς ἀποδοθέντας χρόνους τῆς ἀφίξεως τοῦ Κυρίου τῆς εἰς Αἴγυπτον, οὐκέτι ἔσεσθαι τοῖς Αἰγυπτίοις φρόνημα ἀνδρικόν, γυναικῶν δὲ δίκην ἐν φόβῳ καὶ τρόμῳ διάξειν αὐτῶν τὸν βίον διὰ τὴν ἐπαναστᾶσαν αὐτοῖς χεῖρα τοῦ Θεοῦ θεσπίζει. Χεὶρ δὲ Κυρίου τίς ἂν νοηθείη ἑτέρα παρὰ τὴν λεγομένην δεξιὰν αὐτοῦ, ἀλλ' ἡ Ῥωμαϊκὴ δύναμις ὑποτάξασα τοὺς Αἰγυπτίους καὶ ὑποχειρίους ποιησαμένη διὰ τὴν τοῦ Κυρίου παρουσίαν; Οὕτω γάρ ποτε καὶ ὁ διάβολος πρὸς τὸν Θεὸν ἀναγέγραπται εἰρηκὼς περὶ τοῦ Ἰώβ· «Ἀλλ' ἀπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι πάντων ὧν ἔχει, εἰ μὴ εἰς πρόσωπόν σε εὐλογήσει.[1]» Οἱ τοίνυν διακονησάμενοι τῷ βουλήματι τοῦ Θεοῦ εἰς τὸ χειρώσασθαι τὴν Αἰγυπτίων ἀρχήν, δύναμις αὕτη δὲ ἦν ἡ Ῥωμαϊκοῦ στρατοῦ, χεὶρ ὠνόμασται. Ὅπως δὲ γυναικῶν δίκην μετὰ φόβου καὶ ἀγωνίας δουλεύουσι Ῥωμαίοις Αἰγύπτιοι, οὐδὲν δεῖ λέγειν.

Στίχ. ιζ'. «Καὶ ἔσται ἡ χώρα τῶν Ἰουδαίων τοῖς Αἰγυπτίοις εἰς φόβητρον. Πᾶς ὃς ἐὰν ὀνομάσῃ αὐτὴν αὐτοῖς, φοβηθήσονται διὰ τὴν βουλήν, ἣν Κύριος Σαβαὼθ βεβούλευται ἐπ' αὐτήν.»

Χώραν δὲ Ἰουδαίων τὴν θείαν οὐκ ἂν ἁμάρτοις εἰπὼν Γραφήν· ἣν δι' ὑπερβολὴν εὐλαβείας καὶ πίστεως οἱ τὸν Κύριον ἐπεγνωκότες μετὰ φόβου καὶ τρόμου καὶ εὐλαβείας προσίενται, οὐκέτι ὡς τὸ πρὶν βλασφημοῦντες αὐτήν, ἀλλὰ τιμῶντες καὶ σέβοντες διὰ τὸν ἐν αὐτῇ κηρυττόμενον Κύριον· διὸ πᾶς ὁ ὀνομάζων αὐτὴν αὐτοῖς φόβον Θεοῦ ἐμποιεῖ αὐτοῖς· «Ἀρχὴ» γὰρ «σοφίας φόβος Κυρίου.[2]»

Στίχ. ιη'. «Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσονται πέντε πόλεις ἐν γῇ Αἰγύπτου, λαλοῦσαι τῇ γλώσσῃ τῇ Χαναανίτιδι, καὶ ὀμνύοντες τῷ ὀνόματι Κυρίου Σαβαώθ· πόλις Ἀσεδὲκ κληθήσεται μία πόλις.»

Εἰ δὲ πέντε λέγονται πόλεις αἱ θεσπιζόμεναι, ἀλλ' οὐ χρὴ ἀγνοεῖν, ὡς αἱ πέντε μίαν τυγχάνουσι. Διὸ καὶ ἓν ὄνομα κατὰ πασῶν ἐπιλέγεται τὸ Ἀσεδέκ, ὅπερ ὁ Σύμμαχος ἡρμήνευσεν «ἡλίου.» Τίνα μὲν οὖν εἴποις ἂν ταύτην εἶναι ἢ τὴν ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν, κατὰ μὲν τοὺς Ἑβδομήκοντα καλουμένην Ἀσεδέκ, ὃ δὴ σημαίνει «δικαιοσύνης·» κατὰ δὲ τὸν Σύμμαχον, «ἡλίου», περὶ οὗ λέλεκται· «Τοῖς δὲ φοβουμένοις με ἀνατελεῖ ἥλιος δικαιοσύνης, καὶ ἴασεις ἐν ταῖς πτέρυξιν αὐτοῦ·» κατὰ δὲ τὸ ἀκριβὲς τῆς αὐτοῦ διαλέξεως γῆς πόλις λέλεκται, ὅπερ οὕτως ἂν ἑρμηνευθείη, «Πόλις τῆς γῆς κληθήσεται ἡ μία πόλις.» Αὕτη γὰρ μόνη καθ' ὅλης γῆς ἵδρυται τῷ Θεῷ πόλις, ὡς ἐρεῖσθαι περὶ αὐτῆς, «Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις

1. Ἰὼβ 1, 11. 2. Ψαλμ. 110, 10.

τοῦ Θεοῦ.[1]» Πέντε δὲ πόλεις ἐν Ἐκκλησίᾳ εἶεν ἂν αἱ διάφοροι πολιτεῖαι· πέντε δὲ τάγματα διῃρημένα, ἤγουν τρεῖς ἀριθμήσεις, τὸ πρῶτον τῶν προέδρων τάγμα, καὶ τὸ δεύτερον τῶν πρεσβυτέρων, τό τε τῶν διακόνων τὸ τρίτον, καὶ τῶν ἐν Χριστῷ πεφωτισμένων τέταρτον, καὶ ἐπὶ τούτοις τῶν ἐν εἰσαγωγῇ τυγχανόντων. Ἰστέον, ὡς πέντε τάγματα πολιτεύεται ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ· διὸ πέντε πόλεις ὑπὸ μίαν εἴρηνται, λαλοῦσαι τῇ γλώσσῃ, πάλαι παρ' Αἰγυπτίοις νομιζομένῃ Χαναανίτιδι, καὶ ὀμνύοντες οὐ τοὺς πατρῴους θεοὺς οὓς ἐνόμιζον, ἀλλ' ἢ τῷ ὀνόματι Κυρίου Σαβαώθ, τοῦ πάλαι Ἰουδαίοις γνωριζομένου Θεοῦ. Οὗτος δὲ ἦν ὁ ἐπὶ νεφέλης κούφης, οὗτος δὲ ἦν ὁ ἐπιδημήσας Χριστὸς αὐτοῖς.

Στίχ. ιθ'. «Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται θυσιαστήριον τῷ Κυρίῳ ἐν χώρᾳ Αἰγυπτίων, στήλη πρὸς τὸ ὅριον αὐτῆς τῷ Κυρίῳ.»

Προφητεύσας ὁ λόγος περὶ πόλεως Θεοῦ ἐν Αἰγύπτῳ συστησομένης, καὶ τῶν ἐν τῇ πόλει διαφόρων ταγμάτων, ἀκολούθως θυσιαστηρίου ἐν τῇ πόλει τοῦ Θεοῦ γενησομένου μνημονεύει, καὶ τοῦτο ἔσεσθαι παραδόξως. Τῶν γὰρ πάλαι παρ' Αἰγυπτίοις νομιζομένων θεῶν ἀπολωλότων, καὶ τοῦ ποταμοῦ αὐτῶν ἐκλελοιπότος, καὶ τῶν ἀρχόντων Τάνεως καὶ Μέμφεως ἀπομωρανθέντων, τὸ παρ' Ἰουδαίοις ὀνομαζόμενον Κυρίῳ θυσιαστήριόν φησι συστήσεσθαι· ὃ δὴ καὶ ἡ τῶν πραγμάτων ἔκβασις ὀφθαλμοῖς ἡμῖν αὐτοῖς δείκνυσιν· ὡς μηκέτι εἰς μέλλοντα καιρὸν προσδοκᾶν τοῦ λόγου τὸ ἀποτέλεσμα. Ὡς δὲ μία πίστις καὶ ἓν βάπτισμα καὶ μία Ἐκκλησία εἴρηται, οὕτω καὶ θυσιαστήριον ἓν καθ' ὅλης τῆς Αἰγύπτου ἐγηγερμένον ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ θυσιαστήρια τυγχάνει, καὶ μία δὴ στήλη γραφὴ σὺν τῷ θυσιαστηρίῳ ἐν δηλωθείσῃ πόλει συνέστη, διορίζουσα τοὺς πιστοὺς τῶν Αἰγυπτίων, καὶ ἀφορίζουσα αὐτοὺς τῶν ἀπίστων. Ἡ μὲν οὖν ἀνωτέρω εἰς φόβητρον τοῖς Αἰγυπτίοις ἔσεσθαι λεγομένη χώρα τῶν Ἰουδαίων, τὴν Ἰουδαϊκὴν αἰνίττεται Γραφήν, καὶ τὸν τῆς Παλαιᾶς Διαθήκης λόγον· ἡ δὲ τῷ Χριστοῦ θυσιαστηρίῳ συνεζευγμένη στήλη τὸ τῆς Καινῆς Διαθήκης εἴη ἂν Εὐαγγέλιον, διορίζον τοὺς εἰς τὸν Χριστὸν πιστεύσαντας τῶν Αἰγυπτίων ἀπὸ τῶν ἀπίστων.

Στίχ. κ', κα'. «Καὶ ἔσται εἰς σημεῖον εἰς τὸν αἰῶνα Κυρίῳ ἐν χώρᾳ Αἰγύπτου, ὅτι κεκράξονται πρὸς Κύριον διὰ τοὺς θλίβοντας αὐτούς. Καὶ ἀποστελεῖ αὐτοῖς ἄνθρωπον ὃς σώσει αὐτούς· κρίνων σώσει αὐτούς. Καὶ γνωστὸς ἔσται Κύριος τοῖς Αἰγυπτίοις, καὶ γνώσονται οἱ Αγύπτιοι τὸν Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ποιήσουσι θυσίαν καὶ δῶρον, καὶ εὔξονται εὐχὰς τῷ Κυρίῳ, καὶ ἀποδώσουσι.»

Διὸ τῷ σημείῳ τούτῳ κατασφραγίζεσθαι μεμαθηκότες οἱ τὸν Κύριον παραδεδεγμένοι Αἰγύπτιοι φυλακτηρίῳ τούτῳ κέχρηνται· ὥστε καὶ ἐν ταῖς θλίψεσιν αὐτῷ σημείῳ βοηθῷ χρώμενοι ἀναβοᾶν

1. Ψαλμ. 86, 3.

καὶ ἐπικαλεῖσθαι τὸν Κύριον διὰ τοὺς διαθλίβοντας αὐτούς. Τίνες δὲ ἦσαν οὗτοι, ἀλλ' ἢ οἱ ἀπομείναντες τῇ ἀπωλείᾳ Αἰγύπτιοι, περὶ ὧν κατ' ἀρχὰς ἐλέγετο τῆς προφητείας, «Καὶ ἐπαναστήσονται Αἰγύπτιοι πρὸς Αἰγυπτίους, καὶ πολεμήσει ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ, πόλις ἐπὶ πόλιν, καὶ νομὸς ἐπὶ νομόν.

Στίχ. κβ'. «Καὶ πατάξει Κύριος τοὺς Αἰγυπτίους πληγῇ καὶ ἰάσεται αὐτούς· καὶ ἐπιστραφήσονται πρὸς Κύριον, καὶ εἰσακούσεται αὐτῶν, καὶ ἰάσεται αὐτοὺς ἰάσει.»

Ἐπεὶ γὰρ «ὃν ἀγαπᾷ Κύριος, καὶ παιδεύει· μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται·[1]» εἰκότως καὶ τοὺς Αἰγυπτίους πατάσσει ἀγαπῶν, ἐπειδὰν ἐν χρείᾳ γίνωνται παιδείας καὶ ἐπιστροφῆς, ἀλλ' οὐκ εἰς μακράν· μηδὲν δὲ ὑπερθέμενος ἰᾶται τῇ αὐτοῦ ἰάσει.

Στίχ. κγ'. «Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται ὁδὸς Αἰγύπτου πρὸς Ἀσσυρίους, καὶ εἰσελεύσονται Ἀσσύριοι πρὸς Αἴγυπτον, καὶ Αἰγύπτιοι πορεύσονται πρὸς Ἀσσυρίους, καὶ δουλεύσουσιν Αἰγύπτιοι τοῖς Ἀσσυρίοις.»

Ἀσσυρίους δὲ ἐνταῦθα οἶμαι καλεῖν τὴν Γραφὴν τοὺς νῦν καλουμένους Σύρους· κατὰ τὸ πάλαι δὲ οἱ τὴν Συρίαν καὶ Μεσοποταμίαν οἰκοῦντες Ἀσσύριοι ἐχρημάτιζον. Ἐχθροὶ δὲ ἦσαν Αἰγύπτιοι καὶ Ἀσσύριοι, καὶ πολέμιοι διετέλουν ὄντες ἐκ τοῦ παντός. Νῦν δὲ ὁ παρὼν λόγος κοινωνίαν αὐτοῖς καὶ ἐπιμιξίαν θεσπίζει, ὅπερ οὐδὲ ἄλλοτε γέγονέ ποτε. Πρὸ γὰρ τῆς Ῥωμαίων ἀρχῆς ἰδιάζοντας εἶχον βασιλέας οἵ τε Αἰγύπτιοι καὶ Ἀσσύριοι· οἱ Αἰγύπτιοι μὲν τοὺς Πτολεμαίους, Σύροι δὲ τοὺς ἀπὸ Ἀντιόχου καὶ Δημητρίου· ὧν μέση κειμένη ἡ Ἰουδαία καὶ ἰδίοις καὶ αὐτὴ ἄρχουσι ἐκυβερνᾶτο. Μεσολαβούμενον δὲ τὸ Ἰουδαίων ἔθνος, ποτὲ μὲν ὑπὸ Σύρων ἐπολεμεῖτο, ποτὲ δὲ ὑπὸ Πτολεμαίων. Ἀλλὰ καὶ Αἰγυπτίοις ἐτύγχανον οἱ Σύροι πολέμιοι· Αἰγύπτιοι δὲ τοῖς Ἀσσυρίοις διεμάχοντο, ὡς ἄμικτα εἶναι αὐτοῖς καὶ ἀδιαβάτας τὰς πρὸς ἀλλήλους πορείας. Τοιαῦτα μὲν οὖν ἐτύγχανον τὰ πάλαι. Μετὰ δὲ τὴν ἄφιξιν τοῦ Κυρίου τὴν εἰς Αἴγυπτον εἰρήνην βαθυτάτην, κοινωνίας τε καὶ ἐπιμιξίας ὁ παρὼν λόγος αὐτοῖς εὐαγγελίζεται. Ὁ μὲν δὴ οὖν συνάγει τοὺς πάλαι ἐχθρούς, λέγω δὴ Σύρους καὶ Αἰγυπτίους καὶ τὸν Ἰσραήλ, μιᾶς τε εὐλογίας τῆς παρὰ Θεοῦ τεύξεσθαι αὐτούς φησι· ὡς μηκέτι μέγα φρονεῖν τὸν Ἰσραήλ, μηδὲ κατεπαίρεσθαι τῶν ἄλλων, ὡς μόνον ηὐλογημένον. Τίς οὖν, ὀφθαλμοῖς ὁρῶν στρατόπεδα Ῥωμαϊκὰ Σύρων ἀνδρῶν κατὰ κεφαλῆς τῶν Αἰγυπτίων ἐγκαθήμενα, Αἰγυπτίους τε τούτοις δουλεύοντας, οὐκ ἂν ἐκπλαγείη τὴν τῆς προφητείας ἔκβασιν; Τίς δὲ οὐ θαυμάσεται ὁρῶν Αἰγυπτίους ἀδεῶς ἐπὶ τὴν Σύρων διαβαίνοντας χώραν, Σύρους τε ἀκωλύτως ἐπιβαίνοντας τοῖς Αἰγυπτίοις, δυνάμει τε ἀρχοντικῆς ἐξουσίας καταδεδουλωμένους αὐτούς; Τὸ δὲ ἁπάντων παραδοξό-

1. Παρμ. 3, 12. Ἑβρ. 12, 6.

τατον, ταύτην ἤρατο κατὰ τὸν αὐτὸν χρόνον παρὰ Σύροις καὶ παρ' Αἰγυπτίοις καὶ ἐν τῇ γῇ τοῦ Ἰσραὴλ λαοὺς ἔσεσθαι τῷ Θεῷ, καὶ τούτους ηὐλογημένους· ὡς μηδὲ μηκέτι διαφέρειν τὸν Ἰσραὴλ τοῦ Αἰγυπτίου, μήτε τοῦ Σύρου, μηδὲ διαλλάττειν παρὰ Θεῷ κρείττω τὸν Σύρον τοῦ Ἰσραήλ, μηδὲ τοῦ Αἰγυπτίου, μηδ' αὖ πάλιν τὸν Αἰγύπτιον ἐλαττοῦσθαι παρὰ Θεῷ τοῦ Ἰσραὴλ ἢ τοῦ Σύρου.

Στίχ. κδ'. «Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται Ἰσραὴλ τρίτος ἐν τοῖς Αἰγυπτίοις, καὶ ἐν τοῖς Ἀσσυρίοις ηὐλογημένος ἐν τῇ γῇ, ἣν ηὐλόγησε Κύριος Σαβαὼθ ὁ λέγων· Εὐλογημένος ὁ λαός μου ὁ ἐν Αἰγύπτῳ, καὶ ὁ ἐν Ἀσσυρίοις, καὶ ἡ κληρονομία μου Ἰσραήλ.»

Ἐὰν δὲ λέγηται τρίτος Ἰσραὴλ ἐν τοῖς Αἰγυπτίοις καὶ ἐν τοῖς Ἀσσυρίοις ἔσεσθαι, εὐλογημένος ἐν τῇ γῇ ἣν ηὐλόγησε Κύριος Σαβαώθ, μὴ ἑτέραν νομίζωμεν εἶναι τὴν γῆν τῆς Ἐκκλησίας τοῦ Θεοῦ. Ἰσραὴλ δὲ νοεῖσθαι δύναται καὶ πᾶς ὁ χορὸς τῶν ἁγίων καὶ θεοφιλῶν ἀνδρῶν ἐκ τοῦ Ἰουδαίων ἔθνους προεξεληλυθότων τοῦ βίου. Διὸ λέλεκται· «Καὶ ἡ κληρονομία μου Ἰσραήλ. Ὅτε γὰρ διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.[1]» Νῦν δὲ καὶ Αἰγύπτιοι λαὸς αὐτοῦ εἴρηται, καὶ λαὸς αὐτοῦ εὐλογημένος, καὶ Ἀσσύριοι ὁμοίως. Τὸ δέ, «Ἐν τῇ γῇ ἣν ηὐλόγησε Κύριος Σαβαώθ», ἔχοι ἂν τὴν ἀναφορὰν καὶ ἐπὶ τὴν ἐπουράνιον, περὶ ἧς φησιν ὁ Σωτήρ· «Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν·[2]» ἔνθα καὶ ἡ ἐπουράνιος Ἱερουσαλήμ, καὶ τὸ Σιὼν ὄρος ἐπουράνιον Θεοῦ.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Στίχ. α', β'. «Τοῦ ἔτους οὗ εἰσῆλθε Ταναθὰν εἰς Ἄζωτον, ἡνίκα ἀπεστάλη ὑπὸ Ἀρνὰ βασιλέως Ἀσσυρίων, καὶ ἐπολέμησε τὴν Ἄζωτον, καὶ κατελάβετο αὐτήν· τότε ἐλάλησε Κύριος πρὸς Ἡσαΐαν λέγων· Πορεύου, καὶ ἄφελε τὸν σάκκον ἀπὸ τῆς ὀσφύος σου.»

Θαυμάσαι δὲ ἔστι τὸν προφητικὸν βίον, ὃν ὁ μὲν Ἀπόστολος παρέστησεν εἰπών, «Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι·[3]» ἡ δὲ παροῦσα Γραφὴ ἐνὶ ἐνδύματι σάκκῳ τὸν Ἡσαΐαν κεχρημένον εἰσάγει, πενθοῦντα δηλαδή, καὶ ἀποκλαιόμενον τοὺς διὰ τὰς οἰκείας ἀσεβείας μακρὰν ἀποπίπτοντας τοῦ Θεοῦ.

Στίχ. γ'. «Καὶ τὰ σανδάλιά σου ὑπόλυσαι ἀπὸ τῶν ποδῶν σου. Καὶ ἐποίησεν οὕτως, πορευόμενος γυμνὸς καὶ ἀνυπόδετος. Καὶ εἶπε Κύριος, ὃν τρόπον πεπόρευται Ἡσαΐας ὁ παῖς μου γυμνὸς καὶ ἀνυπόδετος τρία ἔτη, τρία ἔτη ἔσται εἰς σημεῖα καὶ τέρατα τοῖς Αἰγυπτίοις καὶ Αἰθίοψιν.»

1. Δευτ. 32, 8-9. 2. Ματθ. 5, 4. 3. Ἑβρ. 11, 37.

Τὸ δὲ κελευσθέντα γυμνὸν βαδίσαι καὶ μὴ μελλῆσαι, πρᾶξαι δὲ τοῦτο παραχρῆμα ἐπ' ὀφθαλμῶν τῶν παρόντων αὐτῷ, μεγίστης ὑπακοῆς καὶ προθυμίας τῆς πρὸς τὸν Θεὸν δεῖγμα γένοιτο, παραστήματός τε καὶ φρονήματος ἐπηρμένου, πᾶσαν τὴν παρ' ἀνθρώποις δόξαν ἐν οὐδενὶ τιθεμένου. Ταῦτα δὲ πράξαντος τοῦ προφήτου, τὰ ὅμοια πείσεσθαι τῷ τοῦ προφήτου σχήματι τοὺς Αἰγυπτίους πολεμηθέντας ὑπὸ Ἀσσυρίων φησὶν ὁ Θεός, γυμνοὺς καὶ ἀνυποδέτους ἀπαχθήσεσθαι, οὐ μόνους, ἀλλὰ καὶ τοὺς ἐπικουρήσειν καὶ συμμαχήσειν αὐτοῖς ἐλπισθέντας Αἰθίοπας. Τῷ γὰρ πλήθει τῶν Αἰθιόπων καὶ τῇ τούτων χειρί, μεγάλα κατ' ἐκεῖνο καιροῦ δυναμένων, θαρροῦντες οἱ Αἰγύπτιοι, καταφρονητικῶς εἴχοντο τῶν Ἀσσυρίων· ἀλλ' ὁ Θεὸς τὸ μέλλον προφαίνει λέγων, «Ὃν τρόπον πεπόρευται ὁ παῖς μου Ἠσαΐας γυμνὸς καὶ ἀνυπόδετος», καὶ τὰ ἑξῆς.

Στίχ. δ'. «Ὅτι οὕτως ἄξει βασιλεὺς Ἀσσυρίων τὴν αἰχμαλωσίαν Αἰγύπτου καὶ Αἰθιόπων, νεανίσκους καὶ πρεσβύτας γυμνοὺς καὶ ἀνυποδέτους, ἀνακεκαλυμμένους τὴν αἰσχύνην Αἰγύπτου.»

Δόξει τὰ προκείμενα ἐναντία εἶναι τοῖς ἀρτίως εἰρημένοις, δι' ὧν ἔσεσθαι Αἰγυπτίων καὶ Ἀσσυρίων ἐπιμιξίαν εἴρηκεν ὁ λόγος· νῦν δὲ τὸν βασιλέα τῶν Ἀσσυρίων αἰχμαλώτους λήψεσθαί φησι τῶν Αἰγυπτίων τοὺς νεανίσκους καὶ τοὺς πρεσβύτας γυμνοὺς καὶ ἀνυποδέτους. Εὑρεθείη δ' ἂν λύσις τῆς ἀπορίας, εἰ ἐπιστήσαιμεν τῷ τρόπῳ τοῦ προφητικοῦ πνεύματος. Ὡς γὰρ τῇ Αἰγύπτῳ προσέσχε, συνεῖδε μὲν καὶ τὰ παραυτίκα τοῖς Αἰγυπτίοις μέλλοντα ἔσεσθαι κατὰ τὸν τοῦ προφήτου χρόνον, ἀπέβλεπε δὲ καὶ ἐπὶ τὰ μακροῖς ὕστερον χρόνοις ἀποβησόμενα χρηστὰ περὶ τὴν τῶν Αἰγυπτίων χώραν. Εἶτα πρῶτα χρηστὰ θεσπίσας διὰ τῶν ἔμπροσθεν, ἐπὶ τὰ παραχρῆμα γενησόμενα μεταβαίνει. Λυπηρὰ δὲ τοῖς Αἰγυπτίοις ταῦτα ἦν· ἃ καὶ οὐκ εἰς μακρὰν ἐπληροῦτο κατ' αὐτοὺς ἐκείνους, καθ' οὓς ὁ προφήτης ἐγνωρίζετο χρόνους. Ἀναγκαίως δὲ τὸ θεῖον Πνεῦμα τῆς περὶ τοῦ Κυρίου εἰς Αἴγυπτον ἀφίξεως, καὶ περὶ τῶν ἐπ' αὐτῇ γενησομένων τοῖς Αἰγυπτίοις ἀγαθῶν θεσπίσαν, τὰ παραχρῆμα μέλλοντα τέλους τυγχάνειν συνῆψεν· ἵνα ἀπὸ τῆς τῶν παρόντων ἐκβάσεως καὶ τὰ μακροῖς ὕστερον χρόνοις μέλλοντα γίνεσθαι πιστευθείη τοῖς τότε τηνικαῦτα τῶν προφητικῶν λόγων ἐπακούουσι. Οὐκ ἦν οὖν ἐναντία τὰ προκείμενα τῶν διὰ τῶν ἔμπροσθεν προφητευομένων· τὰ μὲν γὰρ εἰς τοὺς προφητευομένους χρόνους· τὰ δὲ περὶ τῶν ἔγγιστα γενησομένων ἀνεφώνει.

Στίχ. ε'. «Καὶ αναισχυνθήσονται ἡττηθέντες οἱ Αἰγύπτιοι ἐπὶ τοῖς Αἰθίοψιν, ἐφ' οἷς ἦσαν πεποιθότες οἱ Αἰγύπτιοι· ἦσαν γὰρ αὐτοῖς δόξα.»

Ἐρυθριῶντες ἐφ' οἷς ἐθάρσουν καὶ ἐπεποίθεισαν· ὡς καταγινώσκειν καὶ μέμφεσθαι αὐτοὺς ἑαυτούς.

Στίχ. ς'. «Καὶ ἐροῦσιν οἱ κατοικοῦντες ἐν τῇ νήσῳ ταύτῃ· Ἰδοὺ ἡμεῖς ἦμεν πεποιθότες τοῦ φυγεῖν εἰς αὐτοὺς εἰς βοήθειαν, οἳ οὐκ ἠδύναντο σωθῆναι ἀπὸ βασιλέως Ἀσσυρίων· καὶ πῶς ἡμεῖς σωθησόμεθα;»

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Στίχ. α', β'. «Τὸ ὅραμα τῆς ἐρήμου. Ὡς καταιγὶς δι' ἐρήμου διέλθοι, ἐξ ἐρήμου ἐρχομένη ἐκ γῆς· φοβερὸν τὸ ὅραμα, καὶ σκληρὸν ἀνηγγέλη μοι. Ὁ ἀθετῶν ἀθετεῖ, ὁ ἀνομῶν ἀνομεῖ. Ἐπ' ἐμοὶ οἱ Ἐλαμῖται καὶ οἱ πρέσβεις τῶν Περσῶν ἐπ' ἐμὲ ἔρχονται.»

Πέρσαι γοῦν, Μήδους οὐκ εἰς μακρὰν διαδεξάμενοι, τὰ λείψανα τῆς Βαβυλῶνος καθεῖλον. Εἰκότως οὖν περὶ Βαβυλῶνος τὰ πολεμικὰ εἰρῆσθαι ἡγοῦμαι. Τί δὲ βούλεται ὁ λόγος φάσκων, «Τὸ ὅραμα τῆς ἐρήμου;» Ἐντεῦθεν ἤδη Βαβυλῶνα ἔρημον ὀνομάζει διὰ τὰ θεσπισθέντα περὶ τῆς ἐρημίας αὐτῆς. Διὸ ἐκ προσώπου τῆς Βαβυλῶνος αὐτῆς οἶμαι ταῦτα λέγεσθαι, ὡς εἰς ἀκοὴν παραδεξαμένης τὰ μέλλοντα αὐτῇ ἐπιέναι κακά, εὐχομένης τε παρελθεῖν τὴν ἀκοήν, καὶ μὴ γενέσθαι τὰ προσδοκώμενα.

Στίχ. γ'. «Νῦν στενάξω καὶ παρακαλέσω ἐμαυτόν. Διὰ τοῦτο ἐνεπλήσθη ἡ ὀσφύς μου ἐκλύσεως, καὶ ὠδῖνες ἔλαβόν με ὡς τικτούσαν.»

Ἀλλ' ὡς ἔοικε νῦν στενάξω, ὅπερ πρότερον οὐκ ἔπραττον, ὑπερήφανος οὖσα, καὶ τῶν λοιπῶν ἐθνῶν κατεπαιρομένη· ὡς ἑτέροις ἐμποιεῖν στεναγμούς. Νῦν δὲ αὐτὴ ἐγὼ Βαβυλών, καὶ ὁ ἐν ἐμοὶ λαός, στενάξω, καὶ παρακαλέσω ἐμαυτὴν διὰ τοῦ στεναγμοῦ· ἐπειδὴ καθήψατό μου ἡ περὶ τῶν λεχθέντων ἀγγελία, ἧς ἕνεκα ἐπλήσθη ἡ ὀσφύς μου ἐκλύσεως πάλαι κατεσφιγμένη καὶ νεανιευομένη· ὀδύνη τε καὶ πόνοι κατέλαβόν με, ὡς μηδὲν διαφέρειν με τὴν Βαβυλῶνα, τὴν πάλαι ἑτέροις οὖσαν φοβεράν, γυναικὸς τικτούσης. Ταῦτα δέ μοι συμβέβηκεν, ἐπειδήπερ ὁμολογῶ ἠδικηκέναι, ὅτε μηδενὸς ἤκουον τῶν παραινούντων μοι, καὶ ὅτε σπουδὴν ἐποιούμην μηδὲν ὀρθὸν βλέπειν. Διό, φησί, νῦν ἐξομολογουμένη φημί·

Στίχ. δ'. «Ἠδίκησα τοῦ μὴ βλέπειν· πλανᾶται ἡ καρδία μου, καὶ ἡ ἀνομία μου βαπτίζει με· ἡ ψυχή μου ἐφέστηκεν εἰς φόβον.»

Ταῦτα μὲν οἶμαι λελέχθαι τῷ προφήτῃ, προσωποποιοῦντι τὴν Βαβυλῶνα, καὶ ὡς ἐξ αὐτῆς, ἢ καὶ τοῦ ἐν αὐτῇ κατοικοῦντος ἔθνους τὰ εἰρημένα προέρχεσθαι.

Στίχ. ε'. «Ἑτοίμασον τὴν τράπεζαν, φάγετε, πίετε· ἀναστάντες, οἱ ἄρχοντες, ἀνασπάσατε θυρεούς.»

Τὸ προφητικὸν πνεῦμα πρὸς τοὺς Μήδους καὶ τοὺς Ἐλαμίτας, καὶ πρὸς τοὺς πρέσβεις τῶν Περσῶν ἀποτείνεται, διεγεῖρον καὶ παρορμῶν αὐτοὺς ἐπὶ τὸν κατὰ Βαβυλωνίων πόλεμον. Διὸ ὡς πρὸς αὐτούς φησιν· «Ἑτοίμασον τὴν τράπεζαν, φάγετε», καὶ τὰ ἑξῆς.

Στίχ. ς'-η'. «Ὅτι οὕτως εἶπε Κύριος πρός με· Βαδίσας σεαυτῷ στῆσον σκοπόν, καὶ ὃ ἐὰν ἴδῃς, ἀνάγγειλον. Καὶ εἶδον ἀναβάτας ἱππεῖς δύο, καὶ ἀναβάτην ὄνου, καὶ ἀναβάτην καμήλου. Ἀκρόασαι ἀκρόασιν πολλήν, καὶ κάλεσον Οὐρίαν εἰς τὴν σκοπιάν.»

Σημεῖα δὲ καὶ σύμβολα ἦν ταῦτα τῆς τῶν πολεμίων παρατάξεως, ὧν οἱ μὲν ἐφ' ἁρμάτων ὀχούμενοι ἐπήεσαν, οἱ δὲ ἐπὶ νωτοφόρων, τὰ δέοντα πρὸς χρείας ἐπαγόμενοι. «Ἀκρόασαι ἀκρόασιν πολλήν, καὶ κάλεσον Οὐρίαν εἰς τὴν σκοπιάν», τὴν ῥηθήσεσθαι μέλλουσαν ἔπειτα, ἢ τὴν λέαιναν, ἢ τὸν Ἀριὴλ κάλεσαι, ὅπως καὶ αὐτὸς ἐλθὼν ὑπὸ τοῦ σκοποῦ θεαθείη, τοῦ προφήτου ἅμα τῷ σκοπῷ θεωμένου. Ὁ δὲ σημαίνων λέγει τὰ ἑξῆς. Οἶμαι διὰ τούτων σημαίνεσθαι τῆς Ἀσσυρίων βασιλείας τὴν παντελῆ καθαίρεσιν Θεοῦ κρίσει γενομένην. Ἀντὶ δὲ τοῦ, «Οὐρίαν», ὁ μὲν Ἀκύλας, «λέοντα», ὁ δὲ Σύμμαχος, «λέαιναν», ὁ δὲ Θεοδοτίων, «Ἀριήλ», ἐξέδωκεν. Οὐδεὶς τοίνυν Οὐρίαν ὠνόμασεν· ἐπεὶ οὐδὲ ἡ Ἑβραϊκὴ φωνὴ ἐμνημόνευσε τοῦ Οὐρία.

Στίχ. θ'. «Καὶ εἶπεν· ἔστην διαπαντὸς ἡμέρας, καὶ ἐπὶ τῆς παρεμβολῆς ἔστην ὅλην τὴν νύκτα.»

Εἱστήκει τοίνυν καὶ ὁ προφήτης ἅμα τῷ σκοπῷ, καραδοκῶν τὴν μέλλουσαν αὐτοῖς ὀφθήσεσθαι ὄψιν τοῦ λέοντος καὶ τῆς λεαίνης, ἢ τοῦ Ἀριήλ. Διακαρτερήσας δὲ τὸν πάντα τῆς ἡμέρας καὶ τὸν τῆς νυκτὸς χρόνον, ἐπιλέγει· «Καὶ ἰδοὺ αὐτὸς ἔρχεται.» Τίς δὲ οὗτος, ἢ δηλονότι Ἀριὴλ ἐπιβεβηκὼς ξυνωρίδι; Διό φησι· «Καὶ ἰδοὺ αὐτὸς ἔρχεται καὶ ἀναβάτης ξυνωρίδος.» Τίς δὲ οὗτος ἄρα ἦν, ἢ τιμωρός τις ἄγγελος, δι' οὗ τὰ τῆς πολιορκίας τῆς Βαβυλῶνος ἔμελλε πληροῦσθαι; Τάχα που Ἀριὴλ ὀνομαζόμενος, ἢ καὶ αὐτὸς ἐκεῖνος ὁ ὡς λέων ὠρυόμενος, καὶ περιπατῶν ζητῶν τίνα καταπίῃ. Καὶ δὴ θεασάμενος αὐτὸν ὁ προφήτης, συνεῖδεν ὡς τιμωρητικὸς ὢν ἄγγελος τὴν τῆς Βαβυλῶνος ἀπώλειαν ἐργάζεται· διὸ ἐπιβοᾷ λέγων· «Πέπτωκε, πέπτωκε Βαβυλών, καὶ πάντα τὰ ἀγάλματα αὐτῆς, καὶ τὰ χειροποίητα αὐτῆς συνετρίβη εἰς τὴν γῆν.» Ὡς γὰρ ταῦτα πρᾶξαι κεκελευσμένου τοῦ Ἀριήλ, ταύτην ἠφίει τὴν φωνὴν ὁ προφήτης·

Στίχ. ι'. «Ἀκούσατε, οἱ καταλελειμμένοι καὶ οἱ ὀδυνώμενοι, ἀκούσατε, ἃ ἤκουσα παρὰ Κυρίου Σαβαώθ, ὁ Θεὸς τοῦ Ἰσραὴλ ἀνήγγειλεν ἡμῖν.»

Ἃ γὰρ ἐμοὶ ἀπεκάλυψε, ταῦτα καὶ ὑμῖν ἐξέφηνεν ὡς δι' ἑρμηνέως ἐμοῦ.

Στίχ. ια'. «Τὸ ὅραμα τῆς Ἰδουμαίας. Πρὸς ἐμὲ κάλει παρὰ τοῦ Σηείρ. Φυλάσσετε ἐπάλξεις.»

Ἔοικε δὲ τοῖς ἑαυτοῦ γνωρίμοις ὁ Θεὸς προσφωνεῖν λέγων· «Πρὸς ἐμὲ κάλει παρὰ τοῦ Σηείρ·» «τοὺς» γὰρ «φεύγοντας παρὰ τοῦ Σηείρ», κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς, «πρὸς ἐμὲ κάλει», φησίν. Σηεὶρ δὲ ἐκαλεῖτο ἐν τῇ Ἀραβίᾳ ὄρος τοῦ Ἠσαῦ, ἐν ᾧ συνειστήκει αὐτοῦ τὰ βασίλεια· γνωρίζεται δὲ τοῖς ἐπιχωρίοις εἰσέτι καὶ νῦν οὕτω καλούμενον. Τοῖς οὖν ἀγωνιῶσι τὸν ἀπὸ τῶν Ἰδουμαίων φόβον φάσκει· Πρὸς ἐμὲ σπουδάζοντες ἥκετε, καὶ παρ' ἐμοὶ γενόμενοι φυλάσσετε τὰς ἑαυτῶν ἐπάλξεις.

Στίχ. ιβ'. «Καγὼ δὲ φυλάξω ὑμᾶς δι' ἡμέρας καὶ νυκτός, καὶ παρ' ἐμοὶ γένεσθε.»

Εἴ τις ἐν ὑμῖν βοηθείας δεῖται, παρ' ἐμοῦ ζητείτω τὴν βοήθειαν· καὶ εἴ τις αὐτοῦ πεφρόντικε σωτηρίας, παρ' ἐμοὶ ἡκέτω. Ταῦτα μὲν εἰρῆσθαί μοι δοκεῖ πρὸς τοὺς ἐπτοημένους τὸν φόβον τῶν Ἰδουμαίων, οὓς πρὸς ἑαυτὸν ἀνακαλεῖ ὁ Θεός, ἐπαγγελλόμενος τὴν παρ' αὐτοῦ βοήθειαν, εἰ παραμένοιεν ἐν αὐτῷ.

Στίχ. ιγ'-ιε'. «Ἐν τῷ δρυμῷ ἑσπέρας κοιμηθῇς, ἢ ἐν τῇ ὁδῷ Δαιδάν· εἰς συνάντησιν διψῶντι ὕδωρ φέρετε, οἱ ἐνοικοῦντες ἐν τῇ χώρᾳ Θαιμάν· ἄρτοις συναντᾶτε τοῖς φεύγουσιν διὰ τὸ πλῆθος τῶν πεφονευμένων, καὶ διὰ τὸ πλῆθος τῶν πλανωμένων, καὶ διὰ τὸ πλῆθος τῆς μαχαίρας, καὶ διὰ τὸ πλῆθος τῶν τοξευμάτων τῶν διατεταμένων, καὶ διὰ τὸ πλῆθος τῶν πεπτωκότων ἐν τῷ πολέμῳ.»

Ἤδη γὰρ ἐπιστάντων τῶν κατακοπτόντων ὑμᾶς πολεμίων, οἱ μὲν πλεῖστοι τῶν ἐν ὑμῖν ἀπόλλυνται, εἷς δέ που καὶ δεύτερος, ἢ καὶ σφόδρα βραχεῖς εἰ περισωθεῖεν φυγῇ τὴν σωτηρίανποριζόμενοι, τούτοις αὐτοῖς ἐγὼ παρακελεύομαι, ὡσανεὶ φεύγουσι καὶ ἐκ τῆς φυγῆς παρειμένοις ἤδη καὶ ἐκλελυμένοις, μηκέτι γοῦν πόλιν οἰκεῖν ἔχοντες, οὗτοι ἐν δρυμῷ καὶ ἐν ἐρήμοις τόποις, καταλαβούσης αὐτοὺς ἑσπέρας κοιμηθήσονται. Ἀλλ' ἵνα μὴ λιμῷ διαφθαρεῖεν, κεκμηκόσιν αὐτοῖς καὶ διψῶσιν ἀπὸ καμάτου, προσφέρειν ὕδωρ καὶ ἄρτον παρακελεύομαι. Ταῦτα δὲ πρὸς ὑμᾶς φημι τοὺς τὴν Θαιμὰν οὕτω καλουμένην χώραν οἰκοῦντας, οὓς πρέπει δεξιῶς ἀποδέχεσθαι καὶ φιλανθρωπεύεσθαι τοὺς φυγάδας. Οἶμαι δὲ πόλιν ἔτι κατοικεῖν οὐ δυνάμενοι, ἐν ὁδοῖς καὶ δρυμοῖς αὐλισθήσονται. Διὸ μὴ παρίδητε οὕτως οἰκτρῶς λιμῷ φθειρομένους τοὺς διασωθέντας ἐκ τῆς τῶν πολεμίων μαχαίρας· οἳ μάλιστα ἐκ τοσούτου πλήθους δεδύνηνται διαφυγεῖν, τῶν λοιπῶν ἀπολωλότων, ἢ καὶ ἀποπλανηθέντων ἐν ἑτέροις ἀπῳκισμένοις τόποις.

Στίχ. ις', ιζ'. «Διότι οὕτως εἶπέ μοι Κύριος· Ἔτι ἐνιαυτὸς ὡς ἐνιαυτὸς μισθωτοῦ, ἐκλείψει ἡ δόξα τῶν υἱῶν Κηδάρ, καὶ τὸ κατάλοιπον τῶν τοξευμάτων τῶν ἰσχυρῶν υἱῶν Κηδὰρ ἔσται ὀλίγον, ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ ἐλάλησεν.»

Ὅτι γέγονεν ἐγγύς, καὶ οἷον εἴσω βέβηκε θυρῶν ὁ τῆς Ἰδουμαίας ὄλεθρος, καὶ ὅτι πάντῃ τε καὶ πάντως οἰχήσονται πρὸς ἀπώλειαν, κατεμπιπράντων αὐτοῖς τὰς πόλεις τῶν Βαβυλωνίων, καὶ ἅπασαν δὲ καταδῃούντων τὴν χώραν, προαπαγγέλλει σαφῶς. Εἷς γὰρ ἔσται, φησίν, ὁ ἐνιαυτὸς ὁ μεταξύ, καὶ οἱ τῆς Κηδὰρ τοξόται, καίτοι, φησίν, οὐκ ἀθαύμαστον· ἐπ' αὐτῷ δὲ τούτῳ τὴν ὑπόληψιν ἐσχηκότες, ἐκλείψουσί τε καὶ ἀπολοῦνται. Καὶ ἀληθὴς ἡ προαγόρευσις· Κύριος γὰρ ἐλάλησεν ὁ Θεὸς Ἰσραήλ. Ψεύσεται δὲ μᾶλλον οὐδαμῶς ἡ ἀλήθεια.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Στίχ. α'. «Τὸ ὅραμα τῆς φάραγγος Σιών. Τί ἐγένετό σοι, ὅτι νῦν ἀνέβητε πάντες εἰς δώματα μάταια;»

Τό γε μὴν προκείμενον φάραγγος Σιὼν ὅραμα οὐ τῆς αὐτῆς Σιών, ἀλλὰ περὶ τῆς προκειμένης αὐτῇ φάραγγος εἴρηται. Διόπερ ἑξῆς προϊὼν ὁ λόγος φησί· «Καὶ ἔσονται ἐκλεκταὶ φάραγγές σου, πλησθήσονται ἁρμάτων· οἱ δὲ ἱππεῖς ἐμφράξουσι τὰς πύλας σου.» Οἶμαι διὰ τούτων τὸν Θεὸν τὴν ἀποβολὴν τοῦ Ἰσραὴλ καὶ τὴν ἐσχάτην ἀπόπτωσιν σημῆναι βουλόμενον, ἐν τῷ τάγματι τῶν ἀλλοφύλων αὐτοὺς κατατάξαι, μέσους παραληφθέντας τῆς τῶν ἀλλοφύλων Γραφῆς. Ἀλλὰ καὶ τὴν πτῶσιν τῆς Ἱερουσαλὴμ ἡγοῦμαι δηλοῦσθαι, διὰ τοῦτο φάραγγα Σιὼν ὀνομάζων. Καὶ ἄλλως δὲ μέμφεται ὁ Θεὸς τοῦ Ἰουδαίων ἔθνους τοὺς ἀποπεσόντας τοῦ ὕψους τοῦ θεοσεβοῦς πολιτεύματος, ὥσπερ δὴ ἐν κοιλάσι καὶ ἐν φάραγξι τοῦ τῆς κακίας βυθοῦ καταπεπτωκότας. Σιὼν μὲν γὰρ ὄρος ἐστὶν ὑψηλόν, ἐφ' οὗ ὁ νεὼς τοῦ Θεοῦ ᾠκοδόμητο· διὸ λέλεκται· «Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών·[1]» καί, «Προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ.[2]» Καὶ ὁ λόγος δὲ ὁ εὐαγγελικὸς διὰ τοῦ Σιὼν ὄρος σημαίνεσθαι διὰ τῶν ἔμπροσθεν ἐπεδείκνυτο. Οἱ δὲ ταύτης ἐκπεσόντες τῆς ἐλπίδος ἐν φάραγγι παρακειμένῃ τῆς Σιὼν πεπτώκασι· πάλιν γὰρ ἀρετῇ κακία παρέπεται, εἰς ἣν ἐμπίπτει ὁ τῆς ἀρετῆς ἐξολισθαίνων Οὕτω γοῦν οἱ τῆς πίστεως ἐξαμαρτάνοντες εἰς ἀπιστίαν περιτρέπονται. Ὁ τοίνυν ἐκ περιτομῆς λαός, τοῦ εὐαγγελικοῦ ὕψους ἐκπεσών, καὶ τῆς ἐπουρανίου Σιὼν ἀπαλλοτριωθείς, εἰς τὸν τῆς ἀπιστίας περιετράπη κρημνόν· διὸ καὶ ἐν ἀλλοφύλοις ἐλογίσθη. Ὅθεν ἡ προφητεία τὴν ἐσχάτην αὐτῶν ἀποβολὴν αἰνιττομένη, τὸ ῥῆμα τῆς φάραγγος ἀνέγραψεν. Ἐπεὶ μή ἐστι προσωποληψία παρὰ τῷ Θεῷ, τούτου χάριν ἐν τοῖς κατὰ τῶν ἀλλοφύλων ἐλέγχοις μέσος ἐμβέβληται καὶ ὁ περὶ τῆς Σιὼν λόγος. Διὸ καὶ τοὺς τῆς Ἱερουσαλὴμ οἰκήτορας ὥσπερ ἐν ἀλλοφύλοις κατατάττει ὁ Θεός, καὶ τὴν κατ' αὐτῶν προφέρει ψῆφον.

Στίχ. β'. «Ἐνεπλήσθη ἡ πόλις βοώντων· οἱ τραυματίαι σου οὐ τραυματίαι μαχαίρας· οὐδ' οἱ νεκροί σου νεκροὶ πολέμου.»

Θεωρῶν δὲ ὁ προφήτης τῷ πνεύματι τὰς κατὰ τοῦ Σωτῆρος βοὰς αὐτῶν, καὶ τὰς ἀθέους κατ' αὐτοῦ βλησφημίας, δι' ἃς ἀπεβλήθησαν, ἐπιφέρει·

Στίχ. γ'. «Ἐνεπλήσθη ἡ πόλις βοώντων. Πάντες οἱ ἄρχοντές σου πεφεύγασι, καὶ οἱ ἁλόντες σκληρῶς δεδεμένοι εἰσί, καὶ οἱ ἰσχύοντες ἐν σοὶ πόρρω πεφεύγασι.»

Διὸ οὐκέτι κατὰ τὸ παλαιὸν παρ' αὐτοῖς οὐ βασιλεῖς, οὐχ ἡγού-

1. Ἡσ. 40, 9. 2. Ἑβρ. 12, 22.

μενοι, οὐκ ἀρχιερεῖς, οὐ προφῆται, ἀλλ' οὐδὲ Φαρισαῖοι, οὐδὲ Σαδδουκαῖοι, οὐδὲ ὅσοι τὸ παλαιὸν ταῖς παρ' αὐτοῖς ἀρχαῖς τετίμηντο. Ταῦτα συνιδὼν ὁ προφήτης τῷ πνεύματι, καὶ τὴν ἐκ τοσούτου ὕψους ἐπὶ τὴν ἐσχάτην κακίαν ὥσπερ τινὰ φάραγγα, τὴν πτῶσιν τοῦ Ἰουδαίων λαοῦ ἀπολοφύρεται λέγων·

Στίχ. δ'. «Διὰ τοῦτο εἶπα, Ἄφετέ με, πικρῶς κλαύσομαι, μὴ κατισχύσητε παρακαλεῖν με ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ γένους μου.»

Οἶδα γάρ, φησίν, ἀκριβῶς, καὶ τῷ πνεύματι προορῶ, καὶ διὰ τὰ προλεχθέντα πάντα, καὶ ἡ πόλις ἡ τῷ Θεῷ ἀνακειμένη ἁλώσεται, καὶ πάντες οἱ ἐν αὐτῇ εἰς χαρὰν ἐχθρῶν παραδοθήσονται. Διόπερ ἐντεῦθεν ἤδη ἀποδύρομαι, καὶ ὥσπερ ἐπὶ γνησίοις ἐμαυτοῦ σπλάγχνοις ἀποκλαίομαι.

Στίχ. ε'. «Ὅτι ἡμέρα ταραχῆς καὶ ἀπωλείας, καὶ καταπατήματος· καὶ πλάνησις παρὰ Κυρίου Σαβαώθ. Ἐν φάραγγι Σιὼν πλανῶνται· ἀπὸ μικροῦ ἕως μεγάλου πλανῶνται ἐπὶ τὰ ὄρη.»

Καὶ ταῦτα δὲ οἶμαι λέγεσθαι περὶ τῶν κατὰ τὸ αὐτὸ συνελθόντων ἐν τῇ κατὰ τοῦ Σωτῆρος ἡμῶν ἐπιβουλῇ.

Στίχ. ς'. «Οἱ δὲ Ἐλαμῖται ἔλαβον φαρέτρας, καὶ ἀναβάται ἄνθρωποι ἐφ' ἵππους, καὶ συναγωγὴ παρατάξεως.»

Δηλοῖ δὲ δυνάμεις ἀφανεῖς καὶ πολεμίους, αἷς ὑπὸ Θεοῦ παρεδόθησαν. Διὸ καὶ οἱ Ἐλαμῖται ἑρμηνεύονται «παραβλέποντες·» διὰ τὸ παρορᾶν τὴν σωτηρίαν τῶν ἀπολλυμένων, καὶ μηδενὸς φείδεσθαι, εἰκὸς οὕτω κεκλῆσθαι τὰ πολιορκήσαντα αὐτοὺς στρατιωτικὰ πλήθη. Ἀλλὰ μετὰ πλείστης δυνάμεως παραταξάμενοι τῇ πολιορκηθείσῃ φάραγγι Σιών, εἰς ἔσχατον ἐρημίας αὐτὴν ἤγαγον.

Στίχ. ζ'. «Καὶ ἔσονται αἱ ἐκλεκταὶ φάραγγές σου, πλησθήσονται ἁρμάτων, οἱ δὲ ἱππεῖς ἐμφράξουσι τὰς πύλας σου.»

Οὐχὶ νῦν, οὐδὲ κατὰ τὸν παρόντα καιρόν, ἀλλὰ τῇ ἡμέρᾳ ἐκείνῃ· λέγει δὲ ἐν τῷ προφητευομένῳ καιρῷ.

Στίχ. η', θ'. «Καὶ ἀνακαλύψουσι τὰς πύλας Ἰούδα, καὶ ἐμβλέψονται τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τοὺς ἐκλεκτοὺς οἴκους τῆς πόλεως. Καὶ ἀνακαλύψουσι τὰ κρυπτὰ τῶν οἴκων τῆς ἄκρας Δαυΐδ. Καὶ εἴδοσαν, ὅτι πλείους εἰσί, καὶ ὅτι ἀπέστρεψε τὸ ὕδωρ τῆς ἀρχαίας κολυμβήθρας εἰς τὴν πόλιν.»

Ταῦτα δὲ ἦν τὰ ἀπόρρητα τῆς βασιλείας σύμβολα, καὶ τὰ ἐν τῷ ἁγιάσματι ἀποκείμενα· ἃ οὐδενὶ ἐξῆν εἰ μὴ μόνῳ τῷ ἀρχιερεῖ ἐποπτεύειν· ἃ δὴ καὶ αὐτὰ τοῖς πολεμίοις παραδοθήσεσθαί φησιν. Ἐπὶ τούτοις μέμφεται τοὺς ἐν τῇ φάραγγι Σιών, ὡς ἀποστρέψαντας τὰ ὕδατα τῆς ἀρχαίας κολυμβήθρας τὰ ὄντα ἐν τῇ πόλει, ἕτερον δὲ ὕδωρ αὐτοῖς ἐπινοήσαντας μεταξὺ τῶν δύο τειχέων. Ὕδωρ δὲ ἦν παλαιᾶς κολυμβήθρας ἐν τῇ πόλει ὁ τῆς παλαιᾶς καὶ θεοπνεύστου Γραφῆς λόγος, ὃν ἀποστραφέντες, ἀλλότριον ὕδωρ ἑαυτοῖς ἐπενόησαν, τὰς

παραδόσεις τῶν πρεσβυτέρων, διδάσκοντες διδασκαλίας καὶ ἐντάλματα ἀνθρώπων· ἐφ᾽ ᾧ καὶ μέμφεται αὐτοὺς ὁ Σωτήρ, ἀπελέγχων αὐτῶν τὴν παρανομίαν ἐφ᾽ οἷς φησι· «καὶ ἠκυρώσατε τὸν λόγον τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν.[1]»

Στίχ. ι΄, ια΄. «Καὶ ὅτι καθείλοσαν τοὺς οἴκους Ἱερουσαλὴμ εἰς ὀχύρωμα τείχους τῇ πόλει. Καὶ ἐπεσπάσατε αὐτοῖς ὕδωρ ἀνὰ μέσον τῶν δύο τειχέων ἐσώτερον τῆς κολυμβήθρας τῆς ἀρχαίας.»

Ἴδοις δ᾽ ἂν αὐτοὺς εἰσέτι καὶ νῦν τοῦτο πράττοντας, ἐπειδάν, τὰ ῥήματα τῆς θείας Γραφῆς ἀπολαμβάνοντες, τὰς οἰκείας περιτειχίζωσι μυθολογίας, ὥσπερ τινὰ φραγμὸν καὶ ἀσφάλειαν καὶ τεῖχος τοῖς ἰδίοις περιβάλλοντες μύθοις. Ὥσπερ γὰρ ξένον τόπον ἑαυτοῖς ἐπενόησαν, καὶ τεῖχος ἴδιον περιέβαλον, λίθοις χρησάμενοι ταῖς τῶν θείων Γραφῶν λέξεσι· οὕτως οὖν ἀπέστρεψαν τὸ ὕδωρ τῆς παλαιᾶς κολυμβήθρας τὸ ἐν τῇ πόλει, καὶ ἐπενόησαν ἑαυτοῖς ξένον ὕδωρ μεταξὺ τῶν δύο τειχέων, λέγω δὴ τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης· δύο γὰρ τὰ τείχη τῆς τοῦ Θεοῦ πόλεως, δηλαδὴ τῆς κατὰ Θεὸν πολιτείας τυγχάνει· ὧν μέσον ἀλλότριον καὶ ξένον ὕδωρ ἑαυτοῖς οἱ κατηγορούμενοι ἐπενόησαν, τὰς τῶν πρεσβυτέρων παραδόσεις, ἐφ᾽ αἷς καὶ μέγα φρονοῦσιν οἱ παρ᾽ αὐτοῖς καλούμενοι δευτερωταί. «Καὶ οὐκ ἐνεβλέψατε εἰς τὸν ἀπ᾽ ἀρχῆς ποιήσαντα αὐτήν, καὶ τὸν κτίσαντα αὐτὴν οὐκ εἴδετε.» Λέγω δὴ τὴν παλαιὰν τῶν θεοπνεύστων Γραφῶν κολυμβήθραν, τὴν ἀπὸ πηγῶν τοῦ θείου Πνεύματος προχεομένην.

Στίχ. ιβ΄, ιγ΄. «Καὶ ἐκάλεσε Κύριος Σαβαὼθ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κλαυθμὸν καὶ κοπετὸν καὶ ξύρησιν, καὶ ζῶσιν σάκκων· αὐτοὶ δὲ ἐποιήσαντο εὐφροσύνην καὶ ἀγαλλίαμα, σφάζοντες μόσχους καὶ θύοντες πρόβατα, ὥστε φαγεῖν κρέατα, καὶ πιεῖν οἶνον, λέγοντες, Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν.»

Ὁ μὲν οὖν Θεὸς μεγάλα τολμήσασι, μὴ βουλόμενος θάνατον ἁμαρτωλοῦ ὡς τὴν μετάνοιαν αὐτοῦ, θρηνεῖν αὐτοὺς καὶ ἀποκλαίεσθαι τὴν ἑαυτῶν ἀπώλειαν παρεκελεύσατο· οἱ δὲ ἐν τοιούτοις κακοῖς ἐξεταζόμενοι, ὡς ἂν ἀπεγνωκότες ἑαυτῶν σωτηρίαν, εἰς ἀπόνοιαν ἐξώκειλαν, μέθῃ καὶ τρυφῇ ἑαυτοὺς ἐκδόντες, ὡς οὐ διαδεξομένης αὐτοὺς Θεοῦ κρίσεως μετὰ τὴν τοῦ θνητοῦ βίου τελευτήν.

Στίχ. ιδ΄. «Καὶ ἀνακεκαλυμμένα ταῦτά εἰσι ἐν τοῖς ὠσὶ Κυρίου Σαβαώθ.»

Διὸ ὥσπερ δεσμῷ Θεοῦ κατεδεθεῖσιν αὐτοῖς τῇ ἁμαρτίᾳ ἀπόφασις ἐξενήνεκται κατ᾽ αὐτῶν, φήσασα· «Οὐκ ἀφεθήσεται ἡ τοιαύτη ἁμαρτία ὑμῶν, ἕως ἀποθάνητε.»

Στίχ. ιε΄-ιθ΄. «Τάδε λέγει Κύριος Σαβαώθ· Πορεύου εἰς παστοφόριον πρὸς Σομνὰν τὸν ταμίαν, καὶ εἶπον αὐτῷ· Τί σοι ὧδε; Καὶ τί σοί ἐστιν ὧδε, ὅτι ἐλατόμησας σεαυτῷ ὧδε μνημεῖον; καὶ

1. Ματθ. 15, 6.

ἐποίησας σεαυτῷ ἐν ὑψηλῷ μνημεῖον, καὶ ἔγραψας σεαυτῷ ἐν πέτρᾳ σκηνήν; Ἰδοὺ δὴ Κύριος Σαβαὼθ ἐκβαλεῖ καὶ ἐκτρίψει ἄνδρα, καὶ ἀφελεῖ τὴν στολήν σου, καὶ τὸν στέφανόν σου τὸν ἔνδοξον, καὶ ῥίψει σε εἰς χώραν μεγάλην καὶ ἀμέτρητον, καὶ ἐκεῖ ἀποθανῇ· καὶ θήσει τὸ ἅρμα σου τὸ καλὸν εἰς ἀτιμίαν, καὶ τὸν οἶκον τοῦ ἄρχοντός σου εἰς καταπάτημα· καὶ ἀφαιρεθήσῃ ἐκ τῆς οἰκονομίας σου καὶ ἐκ τῆς στάσεώς σου.»

Ἔλεγε τοίνυν ὁ Ἑβραῖος ἀρχιερέα γεγενῆσθαι τὸν Σομνὰν τρυφητήν τινα, καὶ τὸν βίον ἄσεμνον ἄνδρα· ὡς καὶ προδοῦναι τὸν λαὸν καὶ αὐτομολῆσαι πρὸς Σεναχηρεὶμ τὸν τῶν Ἀσσυρίων βασιλέα, πρὸς ὃν ἐκελεύετο βαδίζειν ὁ προφήτης εἰς τὸ παστοφόριον, ἢ κατὰ τὸν Σύμμαχον, «τὸν σκηνοποιοῦντα», ἢ κατὰ τὸν Ἀκύλαν, «πρὸς τὸν σκηνοῦντα·» οὕτω γὰρ ἡρμήνευσαν Θεοῦ τὸ παστοφόριον· εἰπεῖν τε αὐτῷ· Μάτην, ὦ οὗτος, καὶ προπετῶς ἐνθάδε σαυτῷ πρὸς τῇ πέτρᾳ τῇ ὑψηλῇ ἐλατόμησας μνημεῖον, κοιλαίνας ἐν αὐτῷ γράμμασι τῆς σαυτοῦ γνώμης σύμβολα· οὐκ εἰδώς, ὅτι ὅρος κατὰ σοῦ ἐξενήνεκται παρὰ Κυρίου Σαβαώθ, ὁ κελεύων καθαιρεθέντα σε τῆς τιμῆς, ἧς ἐπὶ τοῦ παρόντος μετεῖχες, καὶ γυμνωθέντα τῆς περικειμένης σοι στολῆς, τοῦ τε στεφάνου καὶ τῆς ἄλλης δόξης, πορρωτάτω τῆς ἐνταῦθα γῆς, ἐπὶ ξένης τινὸς καὶ μακρὰν ἀπῳκισμένης χώρας ἀποθανεῖν. Περιττῶς ἄρα ἐφιλοκάλεις τὸν πολὺν ἐκεῖνον συνάγων πλοῦτον, τὰ ἅρματα καὶ τὸν λοιπὸν τῦφον, ὃν εἰσέτι καὶ νῦν περιβέβλησαι. Ἁρμόσει δέ τις τὰ προκείμενα εἰς τὸν καιρὸν τοῦ πάθους τοῦ Σωτῆρος ἡμῶν· τὸν μὲν ἐκπίπτοντα τῆς ἱερωσύνης Σομνὰν εἰκόνα εἶναι λέγων τῶν κατὰ τὸν Μωϋσέως νόμον σωματικῶς ἱερωμένων παρὰ Ἰουδαίων· οὕς τε μετὰ τὸ πάθος τὸ σωτήριον πείσεσθαι τὰ προφητευόμενα, παυομένης τῆς ἱερωσύνης, θεσπίζει. Τὸν δὲ Ἐλιακείμ, «Θεοῦ ἀνάστασις» ἑρμηνευόμενον, σύμβολον εἶναι τῆς νέας καὶ καινῆς ἱερωσύνης, ἣν ἡ τοῦ Σωτῆρος ἡμῶν ἀνάστασις ἐν τῇ αὐτοῦ Ἐκκλησίᾳ καθ' ὅλης τῆς οἰκουμένης συνεστήσατο.

Στίχ. κ'-κδ'. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καλέσω τὸν παῖδά μου Ἐλιακεὶμ τὸν τοῦ Χελκίου, καὶ ἐνδύσω αὐτὸν τὴν στολήν σου, καὶ τὸν στέφανόν σου δώσω αὐτῷ, καὶ τὸ κράτος καὶ τὴν οἰκονομίαν σου δώσω εἰς τὰς χεῖρας αὐτοῦ. Καὶ ἔσται ὡς πατὴρ τοῖς ἐνοικοῦσι τὴν Ἱερουσαλήμ, καὶ τοῖς ἐνοικοῦσιν Ἰούδα. Καὶ δώσω αὐτῷ τὴν κλεῖδα οἴκου Δαυῒδ ἐπὶ τῷ ὤμῳ αὐτοῦ· καὶ ἀνοίξει, καὶ οὐκ ἔσται ὁ ἀποκλείων· καὶ κλείσει, καὶ οὐκ ἔσται ὁ ἀνοίγων. Καὶ δώσω τὴν δόξαν Δαυῒδ αὐτῷ, καὶ ἄρξει, καὶ οὐκ ἔσται ὁ ἀντιλέγων. Καὶ στήσω αὐτὸν ἄρχοντα ἐν τόπῳ πιστῷ· καὶ ἔσται εἰς θρόνον δόξης τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ. Καὶ ἔσται πεποιθὼς ἐπ' αὐτὸν πᾶς ἔνδοξος ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ, ἀπὸ μικροῦ ἕως μεγάλου. Πᾶν τὸ σκεῦος τὸ μικρὸν ἀπὸ σκεύους τῶν ἀγανώθ. Καὶ ἔσονται ἐπικρεμάμενοι αὐτῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.»

Σοὶ μὲν ταῦτα ἐποίσει· τὸν δὲ ἕτερόν σου τὸν Ἐλιακεὶμ παῖδα καὶ δοῦλον ἑαυτοῦ, δοκιμάσας, τὴν σὴν ἐνδύσει στολήν, καὶ τῷ στεφάνῳ τῆς ἀρχιερωσύνης τιμήσει, ἐγχειρήσας αὐτῷ ἣν τέως ἐπὶ τοῦ παρόντος σὺ ἐπιστεύθης οἰκονομίαν· ἄξιος γὰρ ὁ ἀνὴρ τούτων. Ἐπειδὴ δὲ προαχθεὶς ὑπὸ τοῦ Θεοῦ, οὐκ ἔστι σοι ὅμοιος, ὑπερήφανός τε καὶ ἀλαζών. Χώραν δὲ πατρὸς ἐφέξει πρὸς τοὺς μέλλοντας ὑπ' αὐτοῦ διοικεῖσθαι· διόπερ ὡς ἠπίῳ καὶ πρᾴῳ τὴν δόξαν τοῦ βασιλέως Δαυὶδ τοῦ πρᾳοτάτου καὶ δικαιοτάτου καὶ δώσει, ὥστε ἄρχειν τοῦ λαοῦ μετὰ πολλῆς ἐξουσίας, καὶ μηδένα ἀντιλέγειν τοῖς ὑπ' αὐτοῦ προστασσομένοις. Ἔσται δὲ ἐστηλωμένος, βεβαίως ἱδρυμένος ἐπὶ τὴν ἑαυτοῦ λειτουργίαν· ὡς πάντα τὸν ἐν τῷ λαῷ ἔνδοξον μὴ ἀγωνιᾶν μηδὲ ὑφορᾶσθαι φθόνον ἢ βασκανίαν ἐξ αὐτοῦ γενησομένην ποτέ· πεποιθέναι δὲ ἐπ' αὐτῷ ὡς ἐπὶ πατρί. Πάντες γοῦν ἀθρόως ἀπὸ μικροῦ ἕως μεγάλου ἔσονται ἀνηρτημένοι αὐτοῦ, θαρροῦντες αὐτοῦ τῇ περὶ πάντων κηδεμονίᾳ.

Στίχ. κε'. «Τάδε λέγει Κύριος Σαβαώθ· Κινηθήσεται ὁ ἄνθρωπος ὁ ἐστηριγμένος ἐν τόπῳ πιστῷ, καὶ ἀφαιρεθήσεται καὶ πεσεῖται καὶ ἐξολοθρευθήσεται ἡ δόξα ἐπ' αὐτόν· ὅτι Κύριος ἐλάλησεν.»

Ἐπειδὴ μὴ ὀρθῶς, μηδὲ πιστῶς διῴκησεν ἣν ἐπιστεύθη οἰκονομίαν, μεταταχθήσεται καὶ ἀφαιρεθήσεται τῆς τιμῆς, καὶ πεσεῖται ἡ δόξα ἐπ' αὐτῷ· καὶ ταῦτα πάντα περὶ αὐτὸν ἔσεται, κρίναντος αὐτὸν ταῦτα παθεῖν τοῦ Θεοῦ. Σωφρονίζει δὲ διὰ τούτων καὶ ἡμᾶς ὁ λόγος παιδεύων μὴ χαυνοῦσθαι ἐν ταῖς εὐπραγίαις, μηδὲ ἐπαίρεσθαι ταῖς ἀρχαῖς, μηδὲ τῆς κρίσεως ἀμνημονεῖν τοῦ Θεοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Στίχ. α'. «Τὸ ῥῆμα Τύρου. Ὀλολύζετε, πλοῖα Καρχηδόνος, ὅτι ἀπώλετο.»

Τὸ ῥῆμα τοίνυν τῆς Τύρου ἐν τοῖς πρώτοις σημαίνει τὴν ἐπελθοῦσαν τῇ Τύρῳ πολιορκίαν· καθ' ὃν χρόνον ἐπιστὰς ὁ Ἀσσύριος μετὰ τῶν ἄλλων ἐθνῶν καὶ αὐτὴν εἷλε καὶ τὴν Σιδῶνα, ὡς καὶ ἐν ταῖς ἔξωθεν ἐμφέρεται ἱστορίαις. Ἐν τῷ καιρῷ τοίνυν ἐκείνῳ, καθ' ὃν τὴν τοσαύτην ἐκείνην ὑπέμεινεν ἐρημίαν ἡ Τυρίων πόλις, εἰκὸς ἦν αὐτοὺς μηκέτι μηδὲ συνήθει κεχρῆσθαι ἐμπορίᾳ, ναυτικοὺς ὄντας, καὶ πάντοτε πραγματείαις ταῖς διὰ θαλάσσης σχολάζοντας. Ἀφανισθείσης τοίνυν τῆς Τύρου, οὐκέτι ἦσαν οἱ τὰς ἐμπορίας ἐξ αὐτῆς κομίζοντες, ἀπὸ Καρχηδόνος εἰωθότες διαπλεῖν ἐπὶ τὴν Τύρον. «Καὶ οὐκέτι ἔρχονται ἐκ γῆς Κιττιέων· ἧκται αἰχμάλωτος.» Λέγεται δὲ ἡ Κύπρος οὕτω δηλοῦσθαι καὶ Κιττίων εἶναι πόλιν ἐν αὐτῇ, δι' ἧς παρέπλεον οἱ ἀπὸ τῆς Τύρου ναυτιλλόμενοι.

Στίχ. β'-δ'. «Τίνι ὅμοιοι γεγόνασιν οἱ κατοικοῦντες ἐν τῇ νήσῳ, μετάβολοι Φοινίκης, διαπερῶντες τὴν θάλασσαν ἐν ὕδατι πολ-

λῷ· σπέρμα μεταβόλων ὡς ἀμητοῦ εἰσφερομένου· οἱ μετάβολοι τῶν ἐθνῶν. Αἰσχύνθητι, Σιδών, εἶπεν ἡ θάλασσα. Ἡ δὲ ἰσχὺς τῆς θαλάσσης εἶπεν· Οὐκ ὤδινον, οὐδὲ ἔτεκον, οὐδὲ ἐξέθρεψα νεανίσκους, οὐδὲ ὕψωσα παρθένους.»

Νῦν δὲ πάντων ἀθρόως ἀφῃρημένους, καὶ τῶν νομιζομένων αὐτοῖς ἀγαθῶν στερηθέντας, αἰσχύνην καταχέεσθαι προσήκει· μὴ μόνους, ἀλλὰ καὶ τοὺς ἐκ γειτόνων αὐτοῖς οἰκοῦντας Σιδωνίους· μονονουχὶ καὶ τῆς θαλάσσης αὐτῆς, φωνὴν ἀφιείσης, καὶ ἀποθρηνούσης αὐτῆς διὰ τὸ μηκέτι ἔχειν οὓς θρέψει νεανίσκους καὶ παρθένους. Ὅτι τὸ παλαιὸν ὥσπερ θαλάσσης αὐτῆς γεννήματα ὑπ' αὐτῆς ἐτρέφοντο, ὅτε ἤνθει τὰ Τυρίων πράγματα· νῦν δὲ ὅτε μηκέτι ἐστίν, εἰκότως ἀποκλαίεται αὐτοὺς ἡ θάλασσα, καὶ ἡ ἰσχὺς αὐτῆς ἀποθρηνεῖται, ἐπὶ τέκνοις ἀπολωλόσιν ὀλοφυρομένη.

Στίχ. ε΄-θ΄. «Ὅταν δὲ ἀκουστὸν γένηται ἐν Αἰγύπτῳ, λήψεται αὐτοὺς ὀδύνη περὶ Τύρου. Ἀπέλθετε εἰς Καρχηδόνα, ὀλολύξατε, οἱ κατοικοῦντες ἐν τῇ νήσῳ ταύτῃ. Οὐκ αὕτη ἦν ἡ ὕβρις ἀπ' ἀρχῆς, πρινὴ παραδοθῆναι αὐτήν; Τίς ταῦτα ἐβούλευσεν ἐπὶ Τύρον; Μὴ ἥσσων ἐστίν, ἢ οὐκ ἰσχύει; Οἱ ἔμποροι αὐτῆς οἱ ἔνδοξοι ἄρχοντες τῆς γῆς. Κύριος Σαβαὼθ ἐβουλεύσατο παραλῦσαι πᾶσαν τὴν ὕβριν τῶν ἐνδόξων, καὶ ἀτιμάσαι πᾶν ἔνδοξον ἐπὶ τῆς γῆς.»

Ἀλλὰ καὶ ἡ Αἴγυπτος, ἐκ γειτόνων παρακειμένη, ἐν ὀδύνῃ, φησί, καταστήσεται, φροντίζουσα καὶ ἀγωνίζουσα περὶ αὐτῆς, μή πη τὰ ὅμοια πάθῃ τῇ Τυρίων. Ὧν οὕτω γενομένων, εἰ δύνασθε, φησί, μετὰ τοὺς ἀπολωλότας ὑπολειφθέντες ἐν τῇ Τύρῳ, διάβητε φεύγοντες ἐπὶ τοὺς ὑμετέρους ἀποίκους τὴν Καρχηδόνα οἰκοῦντας· κἀκεῖσε ἀπομείναντες ἀποκλαύσασθε τὴν ἑαυτῶν πατρίδα, καταμεμφόμενοι μὴ ἑτέρους ἐφ' οἷς πεποίθατε, ἀλλὰ τὴν ὑμῶν αὐτῶν ὑπερηφανίαν καὶ τὴν ὕβριν, ᾗ πάντας αὐτοὺς περιβάλλειν ἐπειρᾶσθε. Τὰ δὲ συμβεβηκότα ὑμῖν, ὦ Τύριοι, μὴ εἱμαρμένης ἐπιγράφετε ἀνάγκῃ· ἀλλὰ ζητήσατε παρ' ἑαυτοῖς, τίς ταῦτα ἐβουλεύσατο, τίς ἔκρινε ταῦτα παθεῖν τὴν ὑμετέραν πατρίδα. Ζητοῦντες γὰρ εὑρήσετε ἐν δικαίᾳ κρίσει τὰ τοιαῦτα συμβεβηκέναι· Κύριος γὰρ Σαβαώθ, ὁ παρὰ μόνοις Ἑβραίοις θεολογούμενος, τοῦτον ἐξήνεγκε τὸν ὅρον·

Στίχ. ι, ια΄. «Ἐργάζου τὴν γῆν σου· καὶ γὰρ πλοῖα οὐκέτι ἔρχεται ἐκ Καρχηδόνος. Ἡ δὲ χείρ σου οὐκέτι ἰσχύει κατὰ θάλασσαν, ἡ παροξύνουσα βασιλεῖς.»

Μηκέτι τοίνυν ἐπαίρου ὡς αὐτὴ μεγαλαυχουμένη ἐπὶ τῷ ἐκ θαλάσσης ποριζομένῳ σοι πλούτῳ· ταπεινωθεῖσα δέ, περὶ τὴν σαυτῆς ἀσχολοῦ γῆν γεωπονοῦσα, καὶ ἀπὸ τῶν ἀπὸ γῆς καρπῶν τρεφομένη· πέπαυται γάρ σοι τὰ ἀπὸ τῆς θαλάσσης κέρδη. Καὶ γὰρ τούτων ἀπολαύουσα, οὐκ ἔφερες αὐτῆς τὴν εὐδαιμονίαν· ἀλλ' ἐξύβρισας παροξύνουσα βασιλεῖς πάντας τοὺς πλησιοχώρους. Πλὴν οὐκέτι σοι ταῦτα πράττειν ἐξέσται, οὐδὲ καθ' ἑτέρων, οὐδὲ κατὰ τῆς πλησίον σοι

Σιδῶνος, ἣν καὶ αὐτὴν ἀδικεῖν ἐπιχειρεῖς. «Ἡ δὲ χείρ σου οὐκέτι ἰσχύει·» λέγω δὴ ἡ δύναμις ἡ βασιλική, δι' ἧς τὸ πάλαι ὠχύρωται.

Στίχ. ιβ'-ις'. «Κύριος Σαβαὼθ ἐνετείλατο περὶ Χαναάν, ἀπολέσαι αὐτῆς τὴν ἰσχύν. Καὶ ἐροῦσιν· Οὐκέτι οὐ μὴ προσθήσετε τοῦ ὑβρίζειν καὶ ἀδικεῖν τὴν θυγατέρα Σιών. Καὶ ἐὰν ἀπέλθῃς εἰς Κιττιεῖς, οὐδὲ ἐκεῖ ἀνάπαυσις ἔσται σοι· καὶ εἰς γῆν Χαλδαίων, καὶ αὐτὴ ἠρήμωται ἀπὸ τῶν Ἀσσυρίων, οὐδὲ ἐκεῖ σοι ἀνάπαυσις ἔσται· ὅτι ὁ τοῖχος αὐτῆς πέπτωκεν. Ὀλολύξατε, πλοῖα Καρχηδόνος, ὅτι ἀπώλετο τὸ ὀχύρωμα ὑμῶν. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καταλειφθήσεται Τύρος ἔτη ο', ὡς χρόνος βασιλέως, ὡς χρόνος ἀνθρώπου. Καὶ ἔσται μετὰ τὰ ο' ἔτη, ἔσται Τύρος ὡς ᾆσμα πόρνης. Λάβε κιθάραν, ῥέμβευσον, πόλις πόρνη ἐπιλελησμένη, καλῶς κιθάρισον, πολλὰ ᾆσον, ἵνα σου μνεία γένηται.»

Τὰ δὲ προφητευόμενα κατὰ τῆς Τύρου πάντα ἐν ὀλίγοις ἔτεσι συντελεσθήσεται· ἐν οἷς καὶ ἡ τῷ Θεῷ ἀφιερωμένη πόλις κατέστη ἔρημος. Ἔκρινε γὰρ ὁ Θεὸς ἀνθρώπου ἑνὸς ζωῆς χρόνῳ, λέγω δὲ ἑβδομήκοντα ἔτεσιν, ὁρίσαι τὴν μέλλουσαν διαλήψεσθαι ἐρημίαν τὴν Τύρον, ἢ καὶ βασιλέως ἑνὸς πολυετοῦς ἀρχήν. Ἐν δὲ τούτοις τοῖς ο' ἔτεσιν, ᾠδὴν καὶ ᾆσμα περὶ τῆς σῆς ἐρημίας ᾄσουσι πάντες ἄνθρωποι οἱ πάλαι σε ἀκριβῶς εἰδότες, ὡς ἐπὶ γυναικὶ ἐκπεσούσῃ τῆς ἰδίας τιμῆς. Καὶ σὺ δὲ αὐτὴ περίελθε τὸν σὸν χρόνον τῆς ἐρημίας, ῥεμβομένη, καὶ τόπον ἐκ τόπου μεθισταμένη, καὶ εἰς τὰ λοιπὰ ἔθνη ἐκπορνεύουσα. Εἰ δὲ δύνασαι λαβοῦσα τὴν σεαυτῆς κιθάραν μηκέτι πορνικῷ, ἀλλ' ἐπιστημονικῷ χρήσασθαι τῷ σαυτῆς ὀργάνῳ, πολλὰ κιθάρισον, καὶ πολλὰ ᾆσον, καὶ δι' εὐχῶν καὶ ἱκετηρίων λόγων τῶν πρὸς Θεόν· οὕτω γὰρ ἔσται σου μνεία πρὸς τὸν Θεόν, εἰ τοῖς μέλεσι τοῦ ᾄσματος καὶ τοῖς αἰσθητηρίοις αὐτῆς ἐνηρμοσμένοις κιθάρας δίκην ἐπιστημόνως χρήσαιο, σωφρόνως βιοῦσα, καὶ Θεῷ ἀρεσκόντως ᾄδουσα· οὕτω γάρ σου μνεία γενήσεται, καταξιώσαντός σε τῆς αὐτοῦ μνήμης τοῦ Θεοῦ.

Στίχ. ιζ'. «Καὶ ἔσται μετὰ ο' ἔτη, ἐπισκοπὴν ποιήσει ὁ Θεὸς Τύρου, καὶ πάλιν ἀποκαταστήσεται εἰς τὸ ἀρχαῖον, καὶ ἔσται ἐμπόριον πάσαις ταῖς βασιλείαις τῆς οἰκουμένης ἐπὶ πρόσωπον τῆς γῆς.»

Αὐτίκα, συμπερανθέντος τοῦ προλελεγμένου χρόνου, ἐπισκοπῆς τῆς παρ' αὐτοῦ τεύξῃ, καὶ αὖθις ἀποκατασταθήσῃ εἰς τὸ ἀρχαῖον· ὥστε πάλιν συστῆναι ἐν σοὶ ἐμπόριον, καὶ τοὺς ἁπανταχόθεν συρρεῖν ἐπισπεύδοντας, καὶ τὰς ἑαυτῶν ἐπὶ σοὶ πραγματείας κομίζοντας.

Στίχ. ιη'. «Καὶ ἔσται αὐτῆς ἡ ἐμπορία, καὶ ὁ μισθὸς ἅγιος Κυρίῳ.»

Ὃ δὴ καὶ πληροῦται καθ' ἡμᾶς αὐτούς. Τῆς γὰρ Ἐκκλησίας τοῦ Θεοῦ ἱδρυμένης ἐν τῇ Τυρίων πόλει, ὥσπερ οὖν καὶ ἐν τοῖς λοιποῖς ἔθνεσι, πολλὰ τῶν ἐν αὐτῇ μισθωμάτων ἐκ πραγματείας κομιζομένων ἁγιάζεται τῷ Κυρίῳ προσφερόμενα τῇ Ἐκκλησίᾳ αὐτοῦ· ἅπερ οἱ κομίζοντες προσφέρουσι σὺν εὐλαβείᾳ. «Οὐκ αὐτοῖς συναχθή-

σεται, ἀλλὰ τοῖς κατοικοῦσιν ἔναντι Κυρίου· πᾶσα ἡ ἐμπορία αὐτῆς, φαγεῖν, καὶ πιεῖν, καὶ ἐμπλησθῆναι, καὶ εἰς συμβολήν, μνημόσυνον ἔναντι Κυρίου·» δηλαδὴ τοῖς παρέδροις τοῦ θυσιαστηρίου· οὕτω γὰρ Κύριος διετάξατο τοῖς τὸ Εὐαγγέλιον καταγγέλλουσιν ἐκ τοῦ Εὐαγγελίου ζῆν· καὶ οἱ τῷ θυσιαστηρίῳ παρεδρεύοντες, τῷ θυσιαστηρίῳ συμμερίζεσθαι. Τούτοις οὖν αὐτοῖς, ὡς ἂν ἱερεῦσι τοῦ Θεοῦ τοῖς κατοικοῦσιν ἔναντι Κυρίου, τὰς ἀπαρχὰς προσφέροντες οἱ δηλωθέντες, ἔργῳ πληροῦσι τὴν φάσκουσαν προφητείαν· «Καὶ ἔσται ἐμπόριον αὐτοῖς, καὶ μισθὸς αὐτοῖς», καὶ τὰ ἑξῆς.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ΄.

Στίχ. α΄. «Ἰδοὺ Κύριος καταφθείρει τὴν οἰκουμένην ὅλην, καὶ ἐρημώσει αὐτήν, καὶ ἀνακαλύψει τὸ πρόσωπον αὐτῆς.»

Ἐπειδὴ γὰρ «τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς [1]», ὡσανεὶ πάντων ἀνθρώπων κηδόμενος, διαστέλλεται τῇ οἰκουμένῃ τὰ περὶ τῆς μελλούσης ἅπαντας ἀνθρώπους διαλήψεσθαι τοῦ Θεοῦ κρίσεως, ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων, «καὶ διασπερεῖ τοὺς ἐνοικοῦντας ἐν αὐτῇ.» Ἡ κατὰ τὸν Ἀκύλαν καὶ Θεοδοτίωνα, «διασκορπίζει ἄλλους ἀλλαχοῦ», κατὰ τὴν ἀναλογίαν τῶν ἑκάστου πράξεων· πολλαὶ γὰρ μοναὶ παρὰ τῷ Πατρί, μέγας τε καὶ πολὺς ὁ τοῦ Θεοῦ κόσμος, ὡς δύνασθαι πάσας ὑποδέχεσθαι καὶ τὰς ἐξ αἰῶνος ἐν τῇ γῇ πεπολιτευμένας ψυχάς, τῶν μὲν ἀσεβῶν τὸν ᾅδην καὶ τὸ ὑπὸ γῆν οἰκητήριον, σκοτίους καὶ ἀοράτους μυχοὺς κληρωσαμένων, κατὰ τό, «Εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς· παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται· [2]» τῶν δὲ εὐσεβῶν ἁρπαγησομένων ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτως πάντοτε σὺν Κυρίῳ γενησομένων.

Στίχ. β΄. «Καὶ ἔσται ὁ λαὸς ὡς ὁ ἱερεύς, καὶ ὁ παῖς ὡς ὁ κύριος, καὶ ἡ θεράπαινα ὡς ἡ κυρία. Ἔσται ὁ ἀγοράζων ὡς ὁ πωλῶν, καὶ ὁ δανείζων ὡς ὁ δανειζόμενος, καὶ ὁ ὀφείλων ὡς ὁ ᾧ ὀφείλει.»

Σημαίνοντος τοῦ λόγου τοῦ προφητικοῦ τὸν τῆς τῶν νεκρῶν ἀναστάσεως τρόπον. Ἐπειδὰν δὲ ἀνακαλυφθῇ τὰ ἐγκεκρυμμένα ἐν τῇ γῇ σώματα, παραστήσονται οἱ κρινόμενοι πρὸ τοῦ βήματος τοῦ μεγάλου κριτοῦ ἐξ ἴσου πάντες, ὡς μηδὲ διαφέρειν τοὺς ἐν τῷ θνητῷ βίῳ ποτὲ δόξαντας πλέον τι ἐσχηκέναι ἤτοι ἐν ἀξιώματι, ἢ γένει, ἢ πλούτῳ, τῶν ἐνδεεστέρων. Πάντες γὰρ ἐξ ἴσου τότε παραστήσονται τῷ βήματι τοῦ Χριστοῦ· καὶ τῷ ἱερεῖ παραπλησίως ὁ λαός, καὶ ὁμοίως πάντες· ἐπεὶ μή ἐστι προσωποληψία παρὰ τῷ Θεῷ. Διὸ εἴρηται παρὰ τῷ Ἰώβ· «Μικρὸς καὶ μέγας ἐκεῖ ἐστι, καὶ θεράπων οὐ δεδοικὼς τὸν κύριον αὐτοῦ.[3]»

---

1. Ψαλμ. 23, 1. 2. Ψαλμ. 62, 11. 3. Ἰὼβ 3, 19.

Στίχ. γ, δ'. «Φθορᾷ φθαρήσεται ἡ γῆ, καὶ προνομῇ προνομευθήσεται ἡ γῆ· τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα. Ἐπένθησεν ἡ γῆ καὶ ἐφθάρη ἡ οἰκουμένη· ἐπένθησαν οἱ ὑψηλοὶ τῆς γῆς.»

Φωνῆς γὰρ ἀποφαντικῆς Θεοῦ διὰ τοῦ προφήτου προενεχθείσης, ταῦτα ἔσται τοῖς τὴν χείρονα λῆξιν εἰληχόσιν· οὓς διὰ τὸ γεῶδες φρόνημα γῆν ὀνομάζει. Ὥσπερ γάρ ποτε ἐλέχθη τῷ Ἀδάμ, «Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ[1]», οὕτω καὶ τοῖς κατὰ τὸν καιρὸν τῆς τοῦ Θεοῦ κρίσεως φιληδόνοις καὶ φιλοσώμασι, καὶ διὰ τοῦτο γηΐνοις καὶ σαρκίνοις εὑρεθησομένοις ἡ διαφθορᾶς ἠπείληται τιμωρία. Τίς δέ ἐστιν ἡ πενθοῦσα γῆ καὶ φθαρεῖσα οἰκουμένη, διασαφεῖ ἐπιφέρων· «Ἐπένθησαν οἱ ὑψηλοὶ τῆς γῆς·» μάλιστα γὰρ τούτους ἡ ὀργὴ τοῦ Θεοῦ μετελεύσεται, ἐπεὶ «ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.[2]»

Στίχ. ε'. «Ἡ γῆ ἠνόμησε διὰ τοὺς κατοικοῦντας αὐτήν· διότι παρέβησαν τὸν νόμον Κυρίου καὶ διεσκέδασαν, ἤλλαξαν τὰ προστάγματα, διαθήκην αἰώνιον.»

Πάντες γὰρ ἄνθρωποι οἱ ἐξ αἰῶνος τὴν οἰκουμένην οἰκήσαντες, Ἕλληνες ὁμοῦ καὶ βάρβαροι, τὸν φυσικὸν νόμον παρειληφότες καὶ τὰ προστάγματα τοῦ Θεοῦ ταῖς ἑαυτῶν ψυχαῖς ἔχοντες ἐγγεγραμμένα, τήν τε διαθήκην τὴν ἐξ αἰῶνος ἐν ταῖς κοιναῖς ἐννοίαις ὑποδεδεγμένοι, κἄπειτα ἑαυτοὺς τοῖς παρὰ φύσιν ἁμαρτήμασι ἐκδεδωκότες, παραβάται τοῦ φυσικοῦ γεγόνασι νόμου. Διὸ δὴ εὐλόγως παραστήσονται τῷ θείῳ δικαστηρίῳ, κριθησόμενοι ὡς λόγον ὑφέξοντες τῆς ἑαυτῶν παραβάσεως.

Στίχ. ς'-ι'. «Διὰ τοῦτο ἀρὰ ἔδεται τὴν γῆν, ὅτι ἡμάρτοσαν οἱ κατοικοῦντες αὐτήν. Διὰ τοῦτο πτωχοὶ ἔσονται οἱ ἐνοικοῦντες ἐν τῇ γῇ, καὶ καταλειφθήσονται ἄνθρωποι ὀλίγοι. Πενθήσει οἶνος, πενθήσει ἄμπελος, στενάξουσι πάντες οἱ εὐφραινόμενοι τὴν ψυχήν. Πέπαυται εὐφροσύνη τυμπάνων, πέπαυται φωνὴ κιθάρας. Ἠσχύνθησαν, οὐκ ἔπινον οἶνον· πικρὸν ἐγίνετο τὸ σίκερα τοῖς πίνουσιν· ἠρημώθη πᾶσα πόλις· κλείσει οἰκίαν τοῦ μὴ εἰσελθεῖν.»

Ὥσπερ δὲ ἐν ἀρχῇ τῆς κοσμοποιίας, μήπω ἁμαρτίας ὑποστάσης, ηὐλόγησεν ὁ Θεὸς τὸν ἄνθρωπον, οὕτως ἐπὶ συντελείᾳ τῶν αἰώνων. Οὐδὲ γὰρ πάντας στενάξειν φησὶ τοὺς ἐν τῷ παρόντι βίῳ, ἀλλ' ἢ τοὺς τὴν πλατεῖαν καὶ εὐρύχωρον ὡδευκότας, οἰνοφλυγίαις καὶ ἀσωτίαις τὰ ἑαυτῶν κατατρίψαντας· οἱ καὶ μηκέτι ἔχοντες τὴν τῶν ἡδονῶν ἀπόλαυσιν· ἀλλὰ καὶ ἐλεγχόμενοι ἐφ' αἷς ἔπραξαν αἰσχραῖς καὶ ἀθεμίτοις πράξεσιν, αἰσχύνην καταχεοῦνται. Πολλάκις δὲ ὁ Θεολόγος οἴνου μνημονεύσας, τὴν τῶν ἀνθρώπων τρυφὴν ᾐνίξατο, ἢ τὸ τῆς κακίας μίσθωμα καὶ τὸν τῆς ψυχῆς κάρον, παρατρέποντα τὴν διάνοιαν τῶν ὀρθῶν καὶ κατὰ φύσιν λογισμῶν· οὗ μεθύσματος ὥσπερ διανήψαντες οἱ τότε κολαζόμενοι, φωνὰς ἀφήσουσι καὶ βοὰς πενθικάς.

1. Γεν. 3, 19. 2. Ἰακ. 4, 6.

Στίχ. ια΄-ιγ΄. «Ὀλολύζετε περὶ τοῦ οἴνου πανταχῇ· πέπαυται πᾶσα εὐφροσύνη, ἀπῆλθε πᾶσα εὐφροσύνη τῆς γῆς. Καὶ καταλειφθήσονται πόλεις ἔρημοι, καὶ οἶκοι ἐγκαταλελειμμένοι ἀπολοῦνται. Ταῦτα πάντα ἔσται ἐν τῇ γῇ, ἐν μέσῳ τῶν ἐθνῶν. Ὃν τρόπον ἐάν τις καλαμήσηται ἐλαίαν, οὕτως καλαμήσονται αὐτούς· καὶ ἐὰν παύσηται ὁ τρυγητός.»

Ὡς μηδένα περιλειφθῆναι τῶν ἀσεβῶν, ἀλλὰ καὶ μέχρις ἑνὸς τὴν κρίσιν τοῦ Θεοῦ μετελθεῖν. Ὡς γὰρ οἱ τὸν τῆς ἐλαίας καρπὸν ἀναλεγόμενοι καλάμοις εἰώθασι διακρούειν καὶ καταβαλεῖν μέχρι καὶ μιᾶς, εἴπου περιλειφθείη, καὶ ὡς μετὰ τὸν τρυγητὸν ἐπανιόντες τινὲς ἀναλέγονται ῥῶγάς τινας βραχεῖς ἢ βότρυας τοὺς παραλειφθέντας· τὸν αὐτὸν τρόπον καὶ τοὺς ἀσεβεῖς ἀναλέξονται καὶ μέχρις ἑνός, ὡς μηδένα διαφυγεῖν τὴν τοῦ Θεοῦ κρίσιν.

Στίχ. ιδ΄. «Οὗτοι βοῇ φωνήσουσιν.» Τίνες δὲ οὗτοι ἀλλ' ἢ οἱ τοῦ κρείττονος τάγματος; Εἶεν δ' ἂν οὗτοι οἱ τῆς παρὰ Θεῷ μεγαλειότητος ἠξιωμένοι.

«Οἱ δὲ καταλειφθέντες ἐπὶ τῆς γῆς εὐφρανθήσονται ἅμα τῇ δόξῃ Κυρίου· ταραχθήσεται τὸ ὕδωρ τῆς θαλάσσης.» Οἱ δὲ τῆς μερίδος γενόμενοι τοῦ Θεοῦ εὐφρανθήσονται ἅμα τῇ δόξῃ τοῦ Κυρίου· τότε γὰρ αὐτὸς ὁ Κύριος ἐλεύσεται ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. Ἐπὶ ταύτῃ τοίνυν τῇ δόξῃ τοῦ ἑαυτῶν Κυρίου εὐφρανθήσονται οἱ πάλαι εἰς αὐτὸν ἠλπικότες. Ἀντὶ δὲ τοῦ, «Ταραχθήσεται τὸ ὕδωρ τῆς θαλάσσης», «Ἤχησαν ὕδατα θαλάσσης», Θεοδοτίων ἡρμήνευσε, σημαίνων τὸ μέγεθος τῆς ζωῆς, ᾗ χρήζονται οἱ δοξάζοντες τὸν ἑαυτῶν Κύριον· ἤχῳ γὰρ θαλάσσης παραβληθήσεται αὐτῶν ἡ φωνή.

Στίχ. ιε΄. «Διὰ τοῦτο ἡ δόξα Κυρίου ἐν ταῖς νήσοις ἔσται τῆς θαλάσσης.»

Ταῖς Ἐκκλησίαις δηλαδὴ ταῖς μεταξὺ πάλαι τῶν ἀπίστων ἐθνῶν, ὥσπερ ἐν μέσῳ θαλάσσης, ἀπειλημμέναις, ἐφ' ἃς ἡ δόξα Κυρίου ἐπιλάμψει τότε. «Τὸ ὄνομα Κυρίου ἔνδοξον ἔσται. Κύριε ὁ Θεὸς Ἰσραήλ, ἀπὸ τῶν πτερύγων τῆς γῆς τέρατα ἠκούομεν, ἐλπὶς τῷ εὐσεβεῖ. Κατὰ δὲ τὸν Σύμμαχον καὶ Θεοδοτίωνα, «Ἀπὸ τῶν πτερύγων τῆς γῆς ψαλμοὺς ἠκούσαμεν·» κατὰ δὲ τὸν Ἀκύλαν, «μελῳδίας.» Οἱ γὰρ τῆς μερίδος τοῦ Θεοῦ, τὴν δικαίαν αὐτοῦ κρίσιν ἀποθαυμάζοντες, εὐφραίνονται ἅμα τῇ δόξῃ τοῦ Κυρίου, καὶ εὐφραινόμενοι ὕμνους αὐτῷ καὶ ψαλμῳδίας εὐχαριστηρίους ἀναπέμπουσιν. Εἶτ' ἐπιλέγει, «Ἐλπὶς τῷ εὐσεβεῖ.» Ἐπειδὴ γὰρ τὰ τοῖς ἀσεβέσι διῆλθεν ἠπειλημένα, ἑξῆς περὶ τῆς μερίδος τῆς Θεοῦ ἐπήγαγεν, ὡς «Εὐφρανθήσονται ἅμα τῇ δόξῃ Κυρίου», καὶ ὡς «Ἡ δόξα Κυρίου ἐν ταῖς νήσοις ἔσται·» ὡς δὴ τὴν δικαιοκρισίαν τοῦ Θεοῦ παραστήσας, ἀκολούθως ἐπήγαγε τό· «Ἐλπὶς τῷ εὐσεβεῖ·» παντὶ γὰρ δικαίῳ καὶ εὐσεβεῖ ἀνδρὶ ἐλπὶς ἀγαθὴ σωτηρίας ἀπόκειται.

Στίχ. ις΄. «Καὶ ἐροῦσι· Οὐαὶ τοῖς ἀθετοῦσι, οἱ ἀθετοῦντες τὸν

νόμον·» κατὰ μὲν τὸν Ἀκύλαν εἴρηται, «Ὢ οἴμοι ἀθετοῦντες· ἠθέτησαι.»

Ὁρᾷς ὅπως συνέπασχον τοῖς ἀπολλυμένοις, καὶ ὑπερήλγουν αὐτῶν οἱ τοῦ Θεοῦ ἄνθρωποι διὰ φιλανθρωπίαν, ὡς εἰς ἑαυτοὺς ἀναστρέφειν τὸν ταλανισμόν, καὶ λέγειν, ὢ οἴμοι ἐφ' οἷς ἠθέτησαν οἱ παραβάται!

Στίχ. ιζ', ιη'. «Φόβος καὶ βόθυνος καὶ παγὶς ἐφ' ὑμᾶς τοὺς ἐνοικοῦντας ἐπὶ τῆς γῆς. Καὶ ἔσται ὁ φεύγων τὸν φόβον, ἐμπεσεῖται εἰς τὸν βόθυνον· ὁ δὲ ἐκβαίνων ἐκ τοῦ βοθύνου ἁλώσεται ὑπὸ τῆς παγίδος· ὅτι θυρίδες ἐκ τοῦ οὐρανοῦ ἀνεῴχθησαν, καὶ σεισθήσεται τὰ θεμέλια τῆς γῆς.»

Τὴν ἐπισκοπὴν τοῦ Θεοῦ, καὶ τὴν ἐποπτικὴν καὶ τὴν θεωρητικὴν αὐτοῦ τῶν ὅλων δύναμιν αἰνιττόμενος, ἐφορῶσαν τὰ πάντα, ὥσπερ διὰ θυρίδων τοῦ οὐρανοῦ, αἳ δοκοῦσι μὲν κεκλεῖσθαι, ἐπειδὰν τοὺς ἁμαρτάνοντας ἐπὶ γῆς περιέρχεται ὁ Θεός, μὴ ἐπεξιὼν τοῖς πλημμελοῦσι· τότε γὰρ ὥσπερ ἀποστραφείς, οὐδ' ὁρῶντι τοὺς ἁμαρτάνοντας ἔοικεν. Ἐπειδὰν δὲ κρίνῃ ἐπεξελθεῖν τοῖς ἡμαρτηκόσιν, ὥσπερ ἀναπετάννυνται τοῦ οὐρανοῦ αἱ θυρίδες.

Στίχ. ιθ', κ'. «Ταραχῇ ταραχθήσεται ἡ γῆ, καὶ ἀπορίᾳ ἀπορηθήσεται ἡ γῆ· ἔκλινε καὶ σεισθήσεται ὡς ὀπωροφυλάκιον ἡ γῆ, ὡς ὁ μεθύων καὶ κραιπαλῶν.»

Καὶ ταῦτα πάντα πείσεται ἡ γῆ, τῶν ποτε κατοικησάντων αὐτὴν οὕτω δὴ καλουμένων· τοιαῦτα δέ φησι πείσεσθαι αὐτούς, ὡς ἐοικέναι μεθύουσι καὶ κραιπαλῶσιν ἐκ τῆς τῶν κακῶν ὑπερβολῆς. «Καὶ πεσεῖται, καὶ οὐ μὴ δύνηται ἀναστῆναι· κατίσχυσε γὰρ ἀπ' αὐτῆς ἡ ἀνομία.»

Στίχ. κα'. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐπάξει ὁ Θεὸς ἐπὶ τὸν κόσμον τοῦ οὐρανοῦ τὴν χεῖρα.»

Ἅπαξ μὲν γὰρ πεσοῦσα κατὰ τὴν τοῦ θνητοῦ βίου τελευτὴν ἡ γῆ, ἤτοι σὰρξ γεώδης καὶ φιλοσώματος ψυχή, οἱ πάλαι τὴν γῆν οἰκήσαντες τῆς καθεξῆς ἀναστάσεως τεύξονται εἰς τὸ παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ, καὶ κομίσασθαι ἕκαστον τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθόν, εἴτε κακόν· ἐπειδὰν δὲ κριθέντες ἐκπέσωσι τῆς ἀγαθῆς ἐλπίδος, καὶ ταῖς ἠπειλημέναις κολάσεσι παραδοθῶσι, τὸ τηνικαῦτα τοῦ Θεοῦ ἐκπεσόντες, οὐκέτι ἀναστῆναι δυνήσονται. Ἐν οἷς τὴν συντέλειαν ἐδήλωσε τοῦ παντός, ἐν ᾗ ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται. Κόσμον δὲ οὐρανοῦ εἴωθε λέγειν ὁ Μωϋσῆς τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας. «Ἐπάξει ὁ Θεὸς ἐπὶ τὸν κόσμον τοῦ οὐρανοῦ τὴν χεῖρα·» λέγω δὲ κατὰ τὸν δηλούμενον τῆς τοῦ Θεοῦ κρίσεως καιρόν.

Στίχ. κβ'. «Καὶ ἐπὶ τοὺς βασιλεῖς τῆς γῆς, καὶ συνάξουσι συναγωγὴν αὐτῆς εἰς δεσμωτήριον, καὶ ἀποκλείσουσιν εἰς ὀχύρωμα· διὰ πολλῶν γενεῶν ἐπισκοπὴ ἔσται αὐτῶν.»

Δοκεῖ μοι τοὺς ἄρχοντας τοῦ αἰῶνος τούτου σημαίνειν διὰ τῶν βασιλέων τῆς γῆς· οὕτω γοῦν καὶ τῷ Δανιὴλ ὁ χρηματίζων αὐτῷ Γαβριὴλ ἐδήλου λέγων· «Καὶ ἐξῆλθεν εἰς συνάντησίν μου ἄρχων βασιλείας Μήδων.» Τοὺς τοιούτους ἀοράτους τῶν ἐθνῶν βασιλεῖς ἐνταῦθα προειπὼν ὁ λόγος, συναχθήσεσθαι αὐτούς φησιν ὑπὸ τῆς χειρὸς τοῦ Θεοῦ, καὶ ἐμβληθήσεσθαι εἰς δεσμωτήριον καὶ ἀποκλεισθήσεσθαι εἰς ὀχύρωμα. Ἀκόλουθόν μοι γὰρ ἦν τῆς βασιλείας τοῦ Θεοῦ μελλούσης τότε διαλάμπειν, τοῦ τε νέου αἰῶνος ἐπικρατεῖν τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, καὶ τὰ πνευματικὰ τῆς πονηρίας, εἰς τὸν προσήκοντα αὐτοὺς καταβληθῆναι λάκκον, ὃν αὐτοὶ ἑαυτοῖς ὤρυξαν. Λάκκον γὰρ πᾶς ἀσεβὴς ὤρυξε καὶ ἀνέσκαψεν αὐτόν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο.

Στίχ. κγ΄. «Καὶ τακήσεται ἡ πλίνθος, καὶ πεσεῖται τὸ τεῖχος, ὅτι βασιλεύσει Κύριος ἐκ Σιὼν καὶ ἐξ Ἱερουσαλήμ, καὶ ἐνώπιον τῶν πρεσβυτέρων δοξασθήσεται.»

Ἔδει γὰρ ἡμᾶς ἐν τῷ περὶ συντελείας λόγῳ, καὶ τὰ περὶ τῆς κηρυττομένης τοῦ Σωτῆρος ἡμῶν ἐπουρανίου βασιλείας μαθεῖν, ἥτις ἔσται μετὰ τὴν καθαίρεσιν τῶν ἀρχῶν καὶ τῶν ἐξουσιῶν. Σιὼν δὲ καὶ Ἱερουσαλὴμ πολλάκις εἶναι ἐπουρανίους ἀπὸ τῆς ἀποστολικῆς μαρτυρίας παρεστήσαμεν· ἔνθα ἡ τοῦ Χριστοῦ βασιλεία στήσεται.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄.

Στίχ. α΄. «Κύριε ὁ Θεὸς ἡμῶν, δοξάσω σε, ὑμνήσω τὸ ὄνομά σου, ὅτι ἐποίησας θαυμαστὰ πράγματα, βουλὴν ἀρχαίαν, ἀληθινήν· γένοιτο, Κύριε.»

Ταῦτά φησι σπεύδων ὥσπερ καὶ ἐπιθυμῶν ἢ τάχος ἐπιστῆναι τὸ τῶν ἀγαθῶν τέλος. Νοήσομεν δὲ ὅπως ἦν ἀρχαία ἡ βουλὴ αὕτη, ἐπιστήσαντες τῇ φωνῇ τοῦ Σωτῆρος, τῇ λεγούσῃ τοῖς εἰς τὰ δεξιὰ στησομένοις αὐτοῦ· «Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.[1]» Καὶ ὁ Ἀπόστολος δὲ ἐντεῦθεν ὁρμώμενος ἔγραφε· «Καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν ἑαυτῷ.[2]» Ἀρχαία τοίνυν ἦν αὕτη βουλή. Καὶ ταῦτ᾿ ἦν ἀληθῶς τὰ θαυμαστὰ πράγματα τὰ προωρισμένα μου πρὸ καταβολῆς κόσμου, ἐπὶ συντελείᾳ δὲ τῶν αἰώνων πληρωθησόμενα. Ἀρχαία μὲν οὖν ἡ βουλὴ αὕτη διὰ τὴν πρόγνωσιν καὶ προορισμὸν τοῦ Θεοῦ· ἀληθινὴ δὲ διὰ τὴν τοῦ τέλους ἔκβασιν.

Στίχ. β΄. «Ὅτι ἔθηκας πόλεις εἰς χῶμα, πόλεις ὀχυράς, τοῦ

1. Ματθ. 25, 34. 2. Ἐφ. 1, 4, 5.

πεσεῖν αὐτῶν τὰ θεμέλια. Τῶν ἀσεβῶν πόλις τὸν αἰῶνα οὐ μὴ οἰκοδομηθῇ. Διὰ τοῦτο εὐλογεῖ σε ὁ λαὸς ὁ πτωχός, καὶ πόλεις ἀνδρῶν ἀδικουμένων εὐλογήσουσί σε.»

Καὶ ἐπὶ τούτοις οὖν, φησί, δοξάσω σε, ὅτι τῶν ἀσεβῶν περιεῖλες τὰς πόλεις, ἀφανίσας αὐτῶν τὰς ἀθέους πολιτείας καὶ τὰ ἀσεβῆ οἰκοδομήματα. Οἵ γε μήν, διασωθέντες ἐξ αὐτῶν ἐκείνων, εὐλογήσουσί σε· ἢ κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς, «δοξάσουσί σε.» Εἰσὶ δὲ οὗτοι ὁ λαὸς διὰ σὲ πτωχεύσας κατὰ τὸν πρότερον αἰῶνα, καὶ πόλεις τῶν πάλαι ἀδικουμένων, οὓς ἠδίκουν οἱ διῶκται τῆς θεοσεβείας. Οὗτοι εὐλογήσουσί σε ἐν τῇ Ἐκκλησίᾳ σου ἐν διαφόροις πολιτεύμασι ἐξετασθέντες καὶ δικαίως εὐλογήσουσι.

Στίχ. δ΄. «Ἐγένου γὰρ πάσῃ πόλει ταπεινῇ βοηθός, καὶ τοῖς ἀθυμήσασι δι' ἔνδειαν σκέπη· ἀπὸ ἀνθρώπων πονηρῶν ῥύσῃ αὐτούς· σκέπη διψώντων καὶ πνεῦμα ἀνθρώπων ἀδικουμένων.»

Στίχ. ε΄. «Εὐλογήσουσί σε, ὡς ἄνθρωποι διψῶντες ἐν Σιών· ὅτι ῥύσῃ αὐτοὺς ἀπὸ ἀνθρώπων ἀσεβῶν, οἷς ἡμᾶς παρέδωκας.»

Καὶ ὅτε ἦσαν ταπεινοὶ καὶ ἐν ἀθυμίᾳ καὶ ἐν ἐνδείᾳ πάσης τρυφῆς μεταξὺ τῶν φαύλων ἀναστρεφόμενοι, σὺ αὐτῶν ἦσθα βοηθὸς καὶ σκέπη· ἀλλὰ καὶ διψώντων κατ' ἐκεῖνο καιροῦ, ὡς λέγειν, «Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν καὶ ζῶντα», σὺ πάλιν ἦσθα πηγή, δροσίζων αὐτοὺς καὶ ποτίζων τῇ τοῦ ἁγίου Πνεύματος ἐπιρροῇ, καὶ σὺ τῆς ὀλιγοψυχίας αὐτοὺς ἀνεκτῶ, ἐνισχύων αὐτοὺς τῇ δυνάμει τοῦ μονογενοῦς σου Λόγου. Ἵνα δὲ μὴ περὶ αὐτῶν ταῦτα λέγεσθαι ὑπολάβωσιν Ἰουδαίων παῖδες, ἀναγκαίως τὴν εἰς πάντα τὰ ἔθνη χυθεῖσαν τοῦ Χριστοῦ χάριν ἐπιφέρει λέγων·

Στίχ. ς΄. «Καὶ ποιήσει ὁ Κύριος Σαβαὼθ πᾶσι τοῖς ἔθνεσι ἐπὶ τὸ ὄρος τοῦτο.»

Τί δὲ ποιήσει; κατὰ μὲν τοὺς λοιποὺς ἑρμηνευτάς, «πότον», ἑξῆς εἴρηται· κατὰ δὲ τοὺς Ἑβδομήκοντα, «Πίονται», φησίν, «εὐφροσύνην, πίονται οἶνον.» Συμπόσιον τοίνυν οὐ τῷ Ἰσραήλ, οὐδὲ τῷ Ἰουδαίων λαῷ, πᾶσι δὲ τοῖς ἔθνεσι παρασκευάσειν τὸν Κύριον ἐν τούτοις θεσπίζει, οὐκ ἐν κοιλώμασιν, οὐδὲ ἐν φάραγξιν, οὐδὲ ἐν πεδιάσιν· ἀλλ' οὐδὲ ἐν πολλοῖς ὄρεσιν, οὐδ' ὡς ἔτυχεν ἑνὸς ὄρους· ἀλλ' ἐν ἐκείνῳ, ὅπερ δεικνὺς ἔλεγεν· «Ὅτι βασιλεύσει Κύριος ἐν ὄρεσι, καὶ ἐνώπιον τῶν πρεσβυτέρων αὐτοῦ δοξασθήσεται.» Ἐν γὰρ τῷ ὄρει τῆς ἑαυτοῦ βασιλείας, ἐν ᾧ καὶ τὴν δόξαν ἑαυτοῦ τοῖς ἑαυτοῦ πρεσβυτέροις παρέξει, καὶ τοῖς ἔθνεσι τὸ συμπόσιον παρασκευάσας, τὸ τῆς ἀθανασίας αὐτοῖς ποτὸν δωρήσεται. Παρίστησι δὲ τὸ ὄρος ὁ Ἀπόστολος εἰπών· «Προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων πανηγύρει, καὶ Ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς.[1]» Ἐνταῦθα

1. Ἑβ. 12, 22.

τοίνυν γενόμενοι, οὐχ ὁ Ἰσραήλ, ἀλλ' οἱ ἐξ ἁπάντων τῶν ἐθνῶν καταξιούμενοι τῶν ἐπαγγελιῶν πίονται εὐφροσύνην, καὶ πίονται τὸν ἐκ τῆς ἀληθινῆς ἀμπέλου οἶνον, περὶ οὗ ὁ Σωτὴρ ἔλεγε· «Οὐ μὴν πίω αὐτόν, ἕως ἂν πίω αὐτὸν καινὸν μεθ' ὑμῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.[1]»

Στίχ. ζ'. «Χρίσονται μύρον ἐν τῷ ὄρει τούτῳ. Παράδος ταῦτα πάντα τοῖς ἔθνεσιν· ἡ γὰρ βουλὴ αὕτη ἐπὶ πάντα τὰ ἔθνη.»

Τούτων δὲ εἰκόνας ἡμῖν καὶ σύμβολα ἐν τοῖς μυστηρίοις τῆς καινῆς Διαθήκης διὰ τοῦ μυστικοῦ χρίσματος καὶ τοῦ σωτηρίου αἵματος ὁ εὐαγγελικὸς παραδέδωκε λόγος· ἵνα, ἐν τούτοις δοκιμασθέντες, καὶ τῶν κρειττόνων μεταλάβωμεν· ὁ γὰρ Ἰσραὴλ οὐκ ἄξιος τούτων. Ὥσπερ δέ τις παρακαταθήκην ἐν μέτρῳ παραδίδωσι, οὕτω, φησί, τὸν περὶ τῶν λεχθέντων μυστικὸν λόγον παράδος πᾶσι τοῖς ἔθνεσι· καὶ γὰρ βουλὴ αὕτη ἐπὶ πάντα τὰ ἔθνη.

Στίχ. η'. «Κατέπιεν ὁ θάνατος ἰσχύσας, καὶ πάλιν ἀφεῖλεν ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου· τὸ ὄνειδος τοῦ λαοῦ ἀφεῖλεν ἀπὸ πάσης τῆς γῆς· τὸ γὰρ στόμα Κυρίου ἐλάλησε.»

Τότε τοίνυν, ὅτε τῷ Υἱῷ τοῦ Θεοῦ οἱ ἅγιοι συμβασιλεύσουσιν, αὐτὸς ὁ θάνατος ὁ πάλαι καταπίνων αὐτούς, πάντως καταποθήσεται. Ἀντὶ δὲ τούτου ἔσται ἡ χρίσις ἡ κεχρισμένη εἰς πάντα τὰ ἔθνη. Χρισθέντες γὰρ τῷ χρίσματι, οὐκέτι γενήσονται ὑποχείριοι τῷ θανάτῳ· ἀθανασίας δὲ καὶ ζωῆς αἰωνίου μετέχοντες, τὸν θάνατον ἀνενέργητον καὶ ὥσπερ νεκρὸν καταστήσουσι. Ἀλλ' ὁμῶς ὁ φιλάνθρωπος τῶν ἀνθρώπων Σωτήρ, ῥυσάμενος τοῦ θανάτου τὰς τῶν ἀνθρώπων ψυχάς, τῆς τε πολυθέου καὶ δαιμονικῆς πλάνης ἐλευθερώσας, ἀφεῖλε πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου. Ὄνειδος δὲ ἦν τοῦ λαοῦ τοῦ ἐξ ἐθνῶν ἡ κρατήσασα αὐτῶν εἰδωλολατρεία· ὅπερ ὄνειδος ἀφεῖλεν ὁ Θεός, καὶ τὸ ἐπὶ τούτῳ δάκρυον, τῶν διὰ τὴν φιλανθρωπίαν τὴν τῶν τοσούτων ψυχῶν ἀποκλαιομένων ἀπώλειαν. Ὄνειδος γὰρ ἦν οὐ μικρὸν τοῖς κατ' εἰκόνα τοῦ Θεοῦ πεποιημένοις τὸ ἐκπεσεῖν τῆς αἰωνίου ζωῆς καὶ θανάτῳ ὑποβληθῆναι. Ἀλλ' ἀρθήσεται τὸ ὄνειδος, τοῦ μὲν θανάτου καταργηθέντος καὶ τοῦ σκότους ἀφανισθέντος· τῆς δὲ τοῦ Χριστοῦ βασιλείας αἰωνίῳ ζωῇ διαλαμπούσης, ἀπολαύσουσιν οἱ ἐξ ἁπάντων τῶν ἐθνῶν τῶν μὲν προτέρων ἠλευθερωμένοι κακῶν, τῶν δὲ ἐπαγγελιῶν Θεοῦ καταξιωθησόμενοι.

Στίχ. θ', ι'. «Καὶ ἐροῦσι τῇ ἡμέρᾳ ἐκείνῃ· Ἰδοὺ ὁ Θεὸς ἡμῶν ἐφ' ᾧ ἠλπίζομεν, καὶ σώσει ἡμᾶς. Οὗτος Κύριος, ὑπεμείναμεν αὐτῷ καὶ ἠγαλλιώμεθα, καὶ εὐφρανθησόμεθα ἐπὶ τῇ σωτηρίᾳ ἡμῶν. Ἀνάπαυσιν δώσει ὁ Θεὸς ἐπὶ τὸ ὄρος τοῦτο.»

Καταποθέντος τοῦ θανάτου κατὰ τὸν τῆς ἀναστάσεως καιρόν, οἱ τοῦ νέου αἰῶνος υἱοὶ τῇ ἡμέρᾳ ἐκείνῃ εὐχαριστήριον ᾄσουσιν ᾠδήν,

---

1. Ματθ. 26, 29.

ὁρῶντες ἐν δόξῃ τὸν ἑαυτῶν Σωτῆρα, καὶ ἐροῦσιν· «Ἰδοὺ ὁ Θεὸς ἡμῶν ἐφ' ᾧ ἠλπίζομεν.» Πάλαι μὲν γὰρ αὐτὸν ἐν ἐλπίσιν εἴχομεν, πιστεύοντες ταῖς θείαις περὶ αὐτοῦ διδασκαλίαις· νῦν δὲ καὶ ὀφθαλμοῖς ὁρῶμεν αὐτόν, διὸ ὑπεμένομεν πάλαι τὰ ἐπιόντα ἡμῖν λυπηρά. Καὶ οἱ μὲν ταῦτα ἐροῦσιν· ὁ δὲ ἀνάπαυσιν αὐτοῖς δώσει ἐν τῷ προλεχθέντι τῆς βασιλείας αὐτοῦ ὄρει.

Στίχ. ια', ιβ'. «Καὶ καταπατηθήσεται ἡ Μωαβῖτις, ὃν τρόπον πατοῦσιν ἅλωνα ἐν ἁμάξαις. Καὶ ἀνήσει τὰς χεῖρας αὐτοῦ, ὃν τρόπον καὶ αὐτὸς ἐταπείνωσε τοῦ ἀπολέσαι. Καὶ ταπεινώσει τὴν ὕβριν αὐτοῦ, ἐφ' ἃ τὰς χεῖρας ἐπέβαλε, καὶ τὸ ὕψος τῆς καταφυγῆς τοῦ τοίχου ταπεινώσει· καὶ καταβήσεται ἕως τοῦ ἐδάφους.»

Οἶμαι δὲ ἐνταῦθα Μωὰβ λέγεσθαι τὸν πονηρὸν δαίμονα, καὶ τὴν ἀντικειμένην δύναμιν, τὴν πάλαι παρὰ τοῖς Μωαβίταις ὡς Θεὸν τιμωμένην· ἥτις ἐπειδὴ μέγα ἐφρόνει, κατεπαιρομένη τοῦ Θεοῦ Ἰσραήλ, καὶ τὸ ὑφ' ἑαυτὴν ἔθνος ἐπιτρίβουσα, ὡς καὶ ἐπ' αὐτοῦ Μωϋσέως τοιαῦτα τολμῆσαι, ὡς ἐκπορνεῦσαι τὸν λαὸν καὶ τελεσθῆναι τῷ Βεελφεγώρ· τοῦτο δὲ ἦν τὸ τῶν Μωαβιτῶν εἴδωλον· τούτου χάριν τὰ προκείμενα ὡς περὶ δεινῆς τινος καὶ θεομάχου δυνάμεως προπεφήτευται

ΚΕΦΑΛΑΙΟΝ ΚϚ'.

Στίχ. α'. «Τῇ ἡμέρᾳ ἐκείνῃ ᾄσονται τὸ ᾆσμα τοῦτο ἐπὶ γῆς Ἰούδα λέγοντες.»

Μεθ' ἥν, τοῦ Σωτῆρος ἡμῶν τὴν αὐτοῦ βασιλείαν ἀπειληφότος ἐν τῷ ἐπουρανίῳ ὄρει, οἱ τῶν ἐπαγγελιῶν ἄξιοι ᾄσονται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὸ ἐπουράνιον ᾆσμα ἐν τῇ ἐπουρανίῳ Ἱερουσαλὴμ γενόμενοι, ἣν ἐπὶ τοῦ παρόντος Ἰουδαίαν ὠνόμασεν ὁ λόγος, ἀκολούθως τῇ χώρᾳ τῆς ἐπιγείου Ἱερουσαλήμ. Οὕτω γὰρ ὁμοῦ καὶ τοῖς ἀκροωμένοις τοῦ Ἰουδαίων λαοῦ παισὶ θυμηδίαν τινὰ καὶ προτροπὴν εἰς τὴν τῶν προκειμένων ἐλπίδα παρεῖχεν· ὁμοῦ καὶ τὴν ἀληθινὴν παρέστησε Ἰουδαίαν, τῆς ἐπουρανίου Ἱερουσαλὴμ τὴν χώραν, καὶ τὸ μέγα πλάτος ὧδέ που σημαίνων· ἵν' ὁ μὲν τόπος νοῆται Ἰουδαία, τὸ δὲ ἐν αὐτῇ θεοσεβὲς πολίτευμα τῶν θείων καὶ εὐαγγελικῶν πνευμάτων ἡ τοῦ Θεοῦ πόλις· ἔνθα γενόμενοι οἱ διὰ τῆς προφητείας δηλούμενοι τῇ ἡμέρᾳ ἐκείνῃ ᾄσονται τὸ ᾆσμα τὸ ἐπιλεγόμενον.

«Ἰδοὺ πόλις ὀχυρά, καὶ σωτήριον ἡμῖν θήσει τεῖχος καὶ περίτειχος. «Οὐ γὰρ ἦν ἡ κάτω καὶ ἐπὶ γῆς πόλις ὀχυρά, πολλάκις ὑπὸ τῶν πολεμίων ἁλοῦσα, αὕτη δὲ ἀληθῶς ὀχυρὰ τοῦ Θεοῦ τυγχάνει πόλις, καὶ τοῦτ' ἔστι τὸ σωτήριον ἡμῶν. Κατὰ δὲ τὸν Σύμμαχον, «Ἐροῦσι δὲ ᾄδοντες τὸ ᾆσμα πόλιν ἰσχυρὰν ἔχομεν·» κατὰ δὲ τὸν Σύμμαχον, «Πόλις κράτους, ἡμῖν σωτήριον.» Ἡ δὲ Ἑβραϊκὴ λέξις ἀντὶ τοῦ, «σωτήριον», καὶ ἀντὶ τοῦ, «σωτηρίου», τὸ ὄνομα λευκῶς τοῦ Ἰησοῦ οὕτω περιέχει· αὐτοῖς γὰρ γράμμασιν ὁ Σωτὴρ ἡμῶν

Ἑβραϊκῶς γράφεται. Αὐτὸς οὖν ὁ Σωτὴρ ἡμῶν τῶν μακαρίων πόλις, αὐτὸς καὶ τεῖχος αὐτῶν καὶ περίτειχος.

Στίχ. β'. «Ἀνοίξατε πύλας, εἰσελθέτω λαὸς φυλάσσων δικαιοσύνην, καὶ φυλάσσων ἀλήθειαν.»

Μηκέτι γὰρ μηδενὸς ὄντος ἐμποδών, ἀκώλυτος καὶ ἀπαραπόδιστος καὶ εὐθεῖα ἡ ὁδὸς αὐτοῖς γέγονε. Τούτοις δὲ αἴτιον ἡ δικαιοκρισία τοῦ Θεοῦ.

Στίχ. γ'-ε'. «Ἀντιλαμβανόμενος ἀληθείας καὶ φυλάσσων εἰρήνην, ὅτι ἐπὶ σοὶ ἠλπίσαμεν, Κύριε, ἕως τοῦ αἰῶνος. Ὁ Θεὸς ὁ μέγας, ὁ αἰώνιος, ὅς, ταπεινώσας, κατήγαγες τοὺς ἐνοικοῦντας ἐν ὑψηλοῖς, πόλεις ὀχυρὰς καταβαλεῖς, καὶ κατάξεις ἕως ἐδάφους.»

Ἄξια γὰρ τῆς ἐλπίδος τῆς παρὰ σοῦ τεθησαυρισμένης, καὶ ταῦτα λέγω πρὸς σέ, τὴν ἐπιθυμίαν τῆς ψυχῆς μου. Σὺ γὰρ εἶς, Κύριος, ἡ ἐπιθυμία μου, καὶ ὁ θεῖος ἔρως τῆς ἐμῆς ψυχῆς. Διὸ ἡ ψυχή μου ἐπεθύμησέ σε· καὶ αὐτὴ γὰρ ἡ μνήμη τοῦ ὀνόματός σου ἐξίστησιν ἡμῶν τὴν ψυχήν, καὶ διεγείρει ἐπὶ τὸν σὸν πόθον.

Στίχ. ϛ'-θ'. «Καὶ πατήσουσιν αὐτὰς πόδες πραέων, καὶ ταπεινῶν βήματα. Ὁδὸς εὐσεβῶν εὐθεῖα ἐγένετο, καὶ παρεσκευασμένη ἡ ὁδὸς τῶν εὐσεβῶν. Ἡ γὰρ ὁδὸς Κυρίου κρίσις. Ἠλπίσαμεν ἐπὶ τῷ ὀνόματί σου, καὶ ἐπὶ τῇ μνείᾳ ᾗ ἐπιθυμεῖ ἡ ψυχὴ ἡμῶν. Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σέ, ὁ Θεός· διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς.»

Οὔτε γὰρ καθεύδειν οἷοί τέ ἐσμεν τοὺς τῆς νυκτὸς καιρούς, ἀλλὰ καὶ ἡμῶν ἐγρηγορότων τῷ πνεύματι, σὲ τὴν ἐπιθυμίαν ἡμῶν κατὰ νοῦν ἔχομεν. Οὕτως οὖν καὶ αἱ νύκτες ἡμῶν ὡς ἡμέραι πεφωτισμέναι τυγχάνουσιν· ἐπειδήπερ τὰ προστάγματά σου καὶ οἱ λόγοι σου ἡμῖν τοῖς ἐπὶ τῆς γῆς ἔτι τὰς διατριβὰς ποιουμένοις καὶ διὰ νυκτὸς καὶ δι' ἡμέρας ἀντὶ φωτὸς ἐδόθησαν. Ταῦθ' ὑπερβαλλούσῃ διαθέσει πρὸς τὸν Θεὸν ἀναφωνήσας ὁ προφήτης, μεταβαίνει ἐφ' ἡμᾶς, παραινῶν τὴν αὐτὴν αὐτῷ βαδίζειν ὁδόν.

Στίχ. ι'-ια'. «Δικαιοσύνην μάθετε, οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. Πέπαυται γὰρ ἀσεβής· πᾶς ὃς οὐ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς, ἀλήθειαν οὐ μὴ ποιήσει. Ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου. Κύριε ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ᾔδεισαν· γνόντες δὲ αἰσχυνθήσονται.»

Ταπεινοὶ γὰρ ὄντες οἱ ἀσεβεῖς, καὶ μακρὰν ἀφεστηκότες τῆς γνώσεως τοῦ Θεοῦ, ἐν σκότῳ τῆς αὐτοῦ ἀγνοίας ἐκαλινδοῦντο· ἀλλὰ τῆς καθόλου γνώσεως ἐπιστάσης, θεασάμενοι τὸν ὑψηλὸν βραχίονα οἱ πάλαι αὐτὸν ὡς μὴ ὄντα βλασφημοῦντες, παύσονται τῆς ἀπονοίας αἰσχύνῃ κατεχόμενοι.

«Ζῆλος λήψεται λαὸν ἀπαίδευτον.» Αἰνίττεται δὲ τοὺς ἐκ περιτομῆς μὴ καταδεξαμένους τὴν διὰ Χριστοῦ χάριν. «Καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται·» ὡς ἂν ἀποφάσει ὑποβληθησομένους τῇ λεγούσῃ·

«Πορεύεσθε εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.[1]» Ἐπειδὴ τὸ φῶς οὐκ ἐδέξαντο, παραδοθήσονται τῷ πυρὶ καὶ τῷ σκότει.

Στίχ. ιβ', ιγ'. «Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν. Κύριε ὁ Θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς. Κύριε, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν· τὸ ὄνομά σου ὀνομάζομεν.»

Καλὰ μὲν γὰρ καὶ τὰ ἄλλα παρὰ σοῦ πάντα· τὸ δὲ μέγιστον δῶρον ἡ παρὰ σοῦ, καὶ ἡ πρὸς ἑαυτὸν εἰρήνη τυγχάνει, ἵν' ἀστασίαστοι ὦμεν, καὶ χρονεύουσα πρὸς σὲ διαπαντὸς φυλάττοιτο ἡμῶν ἡ ψυχή. Τοῦτο δ' ἂν γένοιτο, εἰ καταξιώσῃ κτῆμα σαυτοῦ ἴδιον γενέσθαι ἡμᾶς· ἐπεὶ καὶ ἡμεῖς οὐκ ἄλλον τινὰ οἴδαμεν ἢ σέ, καὶ μόνῳ τῷ ὀνόματί σου τεθαρρήκαμεν. Ὅτε τοίνυν οὐδένα ἕτερον ἐκεκτήμεθα ἐν τῷ βίῳ ἢ σέ, εἰκότως ἀντιβολοῦμεν καταξιωθῆναι τῆς σῆς γενέσθαι μερίδος καὶ τοῦ σοῦ κλήρου.

Στίχ. ιδ'. «Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσωσι. Διὰ τοῦτο ἀπήγαγες, καὶ ἀπώλεσας, καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν.»

Ἡμεῖς μὲν οὖν, φησί, σοὶ ἐσμέν, Κύριε, καὶ σὺ τὸ ἡμέτερον ὑπάρχεις κτῆμα· οἱ δὲ ταῖς πρὸς θάνατον ἁμαρτίαις ἑαυτοὺς ἐκδόντες, καὶ διὰ τοῦτο νεκροὶ τὰς ψυχὰς γενόμενοι· «ψυχὴ» γὰρ «ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται·[2]» τὴν δὲ ἐπηγγελμένην τοῖς ἁγίοις αἰώνιον ζωὴν οὐκ ὄψονται, οὐδὲ ἰατροί ποθεν ἐπιστάντες κατὰ τὸν τῆς κρίσεως καιρὸν δυνήσονται αὐτοῖς ἐπικουρῆσαι πρὸς σωτηρίαν, οὐδ' ἂν ἀναστῆσαι αὐτῶν τὴν πτῶσιν. Οὓς γὰρ σὺ ὁ μέγας καὶ φοβερὸς καὶ δίκαιος κριτὴς παρέδωκας ἀπωλείᾳ, τίς ἰατρῶν διασώσασθαι δυνήσεται;

«Διὰ τοῦτο ἀπήγαγες καὶ ἀπώλεσας, καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν.» Ἀντὶ δὲ τοῦ, «καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν», ὁ Σύμμαχος, «πᾶσαν τὴν μνήμην αὐτῶν·» ὁ δὲ Ἀκύλας καὶ Θεοδοτίων, «πᾶν τὸ μνημόσυνον αὐτῶν» ἡρμήνευσαν. Ἔδει γὰρ πᾶσαν μνήμην κακίας ἀρθῆναι κατὰ τὸν δηλούμενον τῆς κρίσεως καιρόν. Εἰ δὲ λέγοιτο, «πᾶν ἄρσεν αὐτῶν», πολλὴν εἰσάγει τὴν φιλανθρωπίαν ὁ λόγος· ὡς αὐτῶν μὲν ἡμαρτηκότων μὴ μελλόντων ἀφανίζεσθαι, μηδὲ εἰς τὸ παντελὲς ἀπόλλυσθαι· τῶν δὲ γεννημάτων οὕτω δηλουμένων, ὧν ἡ ψυχὴ αὐτῶν γεγέννηκε λογισμῶν πονηρῶν, τούτων ἀφανισμὸν γενήσεσθαί φησιν.

Στίχ. ιε', ις'. «Πρόσθες αὐτοῖς κακά, Κύριε, πρόσθες κακὰ τοῖς ἐνδόξοις τῆς γῆς. Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου· ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν.»

Ἐπειδὴ τὸν περὶ τῆς καθόλου κρίσεως τόπον θεωρεῖ ὁ προφήτης, ὡσανεὶ παρὼν τῇ κρίσει, καὶ τῷ βήματι τοῦ Θεοῦ παρεστώς, ἐφ' οἷς ὁρᾷ, ποτὲ μὲν ἐξομολογεῖται, ποτὲ δὲ ἱκετεύει, ποτὲ δὲ εὐχαρι-

1. Ματθ. 25, 41. 2. Ἰεζ. 18, 4.

στεῖ, ποτὲ δὲ τὰς ἀποθησομένας ὑπὸ τοῦ Θεοῦ ἀμοιβὰς τοῖς ἀξίοις διέρχεται. Πάντα δὲ ταῦτα διὰ τῆς αὐτοῦ Γραφῆς καὶ ἡμῖν παραδίδωσιν, ὡς ἂν παιδευοίμεθα διδασκόμενοι πάνθ' ὅσα καὶ αὐτὸς ἐκ τῆς τοῦ θείου Πνεύματος ἐπιλάμψεως ἔγνω. Καὶ νῦν οὖν, φησίν, ὅτε καιρὸς ἦν, ὦ Κύριε, τὴν στενὴν καὶ τὴν τεθλιμμένην ὁδεύοντες ὑπὲρ τῆς εὐσεβείας ἠγωνιζόμεθα· πλὴν καὶ ἐν ἐκείνῃ τῇ θλίψει οὐκ ἦμέν σου ἀμνήμονες· ὑπ' αὐτῆς δὲ τῆς σῆς μνήμης δυναμούμενοι καρτερῶς ὑπεμένομεν· ὥστε λέγειν «Θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλιμπανόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι.[1]» Διὰ ταύτης γοῦν τῆς θλίψεως παιδευόμεθα, εἰδότες, ὅτι ὃν ἀγαπᾷ Κύριος, παιδεύει.

Στίχ. ιζ', ιη'. «Καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν, καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραγεν· οὕτως ἐγενήθημεν τῷ Ἀγαπητῷ σου. Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας σου, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς. Οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται πάντες οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.»

Διὸ πάντα πόνον ὑπομένοντες, ἐοικότες ἦμεν ὠδινούσῃ γυναικί, καὶ βοὰς ἀφιούσῃ περὶ αὐτὸ τὸ μέλλειν τὸ κατὰ γαστρὸς κινούμενον εἰς φῶς προάγειν· οὕτω γὰρ καὶ ἡμεῖς ἐγενήθημεν τῷ σῷ Ἀγαπητῷ· τὸν γὰρ μονογενῆ σου Λόγον ἔνδον ἔχοντες ἐν τῇ ἑαυτῶν ψυχῇ, καὶ τὸν ἐκ σοῦ κατασπαρέντα ἡμῖν ἔνθεον φόβον, καὶ δὴ καρτερήσαντες, οὐκ ἐσφάλημεν τῆς ἐλπίδος, ἀλλ' ἐτέκομεν πνεῦμα σωτηρίας. Τέλος γὰρ τῆς κυήσεως τοῦ Ἀγαπητοῦ σου καὶ τοῦ φόβου αὐτοῦ ἡ σωτηρία ἦν τοῦ ἡμετέρου πνεύματος. Ὅπερ ἀπογεννήσαντες φανερὸν κατεστήσαμεν πᾶσι τοῖς ἐπὶ τῆς γῆς κατοικοῦσιν ἀνθρώποις, ὡς ἂν καὶ αὐτοὶ μαθόντες ὠφεληθεῖεν διὰ τοῦ ζηλῶσαι κυῆσαι καὶ αὐτοὺς ἀπὸ τοῦ φόβου, καὶ ἀποτεκεῖν τὸ αὐτὸ πνεῦμα. Οἱ γὰρ μὴ τοῦτο λαβόντες μηδὲ τεκόντες τὸ πνεῦμα τῆς σωτηρίας, ἄλλως δὲ ἄγονοι καὶ ἄκαρποι γενόμενοι, καὶ ἐκπεσοῦνται τῆς παρὰ σοῦ ἐλπίδος· οἱ δέ γε τῆς σῆς μερίδος ὄντες, οἱ διὰ σὲ πᾶσαν θλῖψιν ὑπομείναντες, εἰ καὶ μέχρι θανάτου ἀγωνίσαιντο πρὸς τὴν ἁμαρτίαν, οὐδαμῶς τῆς παρὰ σοὶ ζωῆς ἀποπεσοῦνται.

Στίχ. ιθ'. «Ἀναστήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ· ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν· ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται.»

Ἀναστήσονται γὰρ οἱ νεκροί, ἢ κατὰ τὸν Ἀκύλαν, «Ζήσονται οἱ τεθνεῶτές σου», ἢ κατὰ τὸν Σύμμαχον καὶ Θεοδοτίωνα, «Ζήσονται οἱ νεκροί σου.» Νεκροὶ δὲ αὐτοῦ τίνες ἂν εἶεν, ἢ οἱ ἅγιοι αὐτοῦ μάρτυρες, ἕτεροι ὄντες παρὰ τοὺς λεχθέντας νεκρούς, περὶ ὧν εἴρητο· «Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσονται;» Ἀλλ' ἐκεῖνοι μὲν ἦσαν νεκροί, τὰ πρὸς θάνατον ἡμαρτη-

1. Β' Κορ. 4, 9.

κότες, οἱ δὲ νεκροὶ τοῦ Κυρίου οἱ δι' αὐτὸν πᾶσαν θλῖψιν ἕως θάνατον ὑπομένοντες. Ἀντὶ δὲ τοῦ, «ἐγερθήσονται», οἱ λοιποὶ ἡρμήνευσαν, ὡς κοιμηθέντων αὐτῶν, οὐχὶ δὲ τεθνεώτων. Διὸ ὁ τῶν ἁγίων θάνατος κοίμησις ὀνομάζεται. Ἀκολούθως δὲ τῇ κοιμήσει ἡ ἀνάστασις ἐξυπνισμὸς ἂν λεχθείη. Διὸ κατὰ τοὺς λοιποὺς ἑρμηνευτὰς ἐξυπνισθήσεσθαι οἱ ἐν τοῖς μνημείοις κατὰ τὸ πρῶτον εἴρηνται· κατὰ δὲ τὸ δεύτερον, «ἀγαλλιάσονται», ἢ «αἰνέσουσι», κατὰ τὸν Ἀκύλαν, ἢ «ἀλαλάξουσι», κατὰ τὸν Θεοδοτίωνα. Δρόσος ἡ ἐπὶ γῆς κατιοῦσα ἠρέμα καὶ πράως ἐκτρέφει καὶ αὔξειν ποιεῖ τὰ ἐναποκείμενα αὐτῇ σπέρματα· τὸν αὐτὸν τρόπον ἡ παρὰ σοῦ δρόσος ἴαμα καὶ ζωὴν καὶ σωτηρίαν παρέξει τοῖς σοῖς νεκροῖς, ὧν τὰ σώματα κατὰ καιρὸν ἐπὶ τῆς γῆς ἐσπάρη. Οὐκ ἂν δὲ ἁμάρτοις αὐτὸν εἶναι δρόσον λέγων τὸν μονογενῆ τοῦ Θεοῦ Λόγον, ὅς, ἐπιστάξας τὰς ἑαυτοῦ ζωοποιοὺς σταγόνας τοῖς αὐτοῦ νεκροῖς, ὁμοῦ καὶ ἴασιν ἁμαρτημάτων, εἴ πού τι αὐτοῖς κατ' ἄνθρωπον πεπλημμέλητο, παρέξει ὁμοῦ καὶ ἀνάστασιν καὶ σωτηρίαν, καὶ ζωὴν αἰώνιον αὐτοῖς δωρήσεται· ἀλλ' οὐχὶ τὰ τῶν ἀσεβῶν τοιαῦτα.

Στίχ. κ'. «Βάδιζε, ὁ λαός μου· εἴσελθε εἰς τὰ ταμιεῖά σου·» μὴ περιεργάζου τὰ πορρωτάτω τυγχάνοντα τῶν σῶν ταμιείων. «Ἀπόκλεισον τὴν θύραν σου· ἀποκρύβηθι μικρὸν ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου.» Μετὰ τὴν διδασκαλίαν τῆς τῶν νεκρῶν ἀναστάσεως, ὡς περιεστῶτας ἔμπροσθεν, καὶ ἐπὶ τὸ αὐτὸ μετὰ τὴν ἀνάστασιν συνηγμένους τοὺς ἁγίους τοῦ Θεοῦ θεασάμενον τὸ πνεῦμα τὸ προφητικόν, ἔπειτα ἐξ ἑτέρου μέρους τὴν ἐπιοῦσαν τοῖς ἀσεβέσιν ὀργὴν κατανοῆσαν, τῷ τάγματι τῶν ἁγίων προσφωνεῖ ἀποχωρεῖν πρὸς βραχὺ τοῦ μακρὰν κρύπτεσθαι, ὡς μηδὲ θεωροὺς τῆς τῶν ἀσεβῶν γίνεσθαι ἀπωλείας. Ταμιεῖα δὲ τοῦ λαοῦ τοῦ Θεοῦ αἱ πολλαὶ παρὰ τῷ Πατρὶ τυγχάνουσι μοναί, ἑκάστῳ τάγματι τῶν ἁγίων κατὰ δικαίαν Θεοῦ κρίσιν ἀφωρισμέναι. Εἰς ταῦτ' οὖν τὰ σοὶ παρεσκευασμένα ταμιεῖά σου, φησίν, ὁ ἐμὸς λαός, εἴσελθε, καὶ ἀπόκλεισον τὴν θύραν σου.

Στίχ. κα'. «Ἰδοὺ γὰρ Κύριος ἀπὸ τοῦ ἁγίου ἐπάγει τὴν ὀργὴν ἐπὶ τοὺς ἐνοικοῦντας ἐπὶ τῆς γῆς.»

Παρελθούσης δὲ αὐτῆς, ἀναπετάσας λοιπὸν τὰς τῶν σαυτοῦ ταμιείων πύλας, μετὰ πολῆς ἐξουσίας καὶ παρρησίας πρόϊθι τὸν νέον ἐποπτεύων αἰῶνα, καὶ τὴν ἐπηγγελμένην σοι βασιλείαν τοῦ Θεοῦ. «Καὶ ἀνακαλύψει ἡ γῆ τὸ αἷμα αὐτῆς, καὶ οὐ κατακαλύψει τοὺς ἀνῃρημένους·» ὡς μηδένα λαθεῖν τῶν πάλαι ἐν αὐτῇ τὰς ψυχὰς ἀνῃρημένων διὰ τῶν πρὸς θάνατον ἁμαρτημάτων· ἐπὶ τούτῳ γὰρ τὴν ὀργὴν ἐπάξειν εἴρηται ὁ Θεός· ὀργῆς ἐνταῦθα ὀνομαζομένης τῶν ταῖς κολάσεσι διακονουμένων ἀγγέλων. Δηλοῖ δὲ διὰ τούτων τὴν τῶν ἁγίων τοῦ Θεοῦ ἀναίρεσιν καὶ τὰ τῶν μαρτύρων αἵματα, περὶ ὧν καὶ Μωϋσῆς ἐν μεγάλῃ ᾠδῇ γράφων ἔλεγε· «Ὅτι τὸ αἷμα τῶν

υἱῶν αὐτοῦ ἐκδικεῖται, καὶ ἐκδικήσει, καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσιν ἀνταποδώσει.[1]»

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Στίχ. α'. «Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπάξει ὁ Θεὸς τὴν μάχαιραν τὴν ἁγίαν, τὴν μεγάλην καὶ τὴν ἰσχυρὰν ἐπὶ τὸν δράκοντα, τὸν ὄφιν φεύγοντα, ἐπὶ τὸν δράκοντα ὄφιν σκολιόν, καὶ ἀνελεῖ τὸν δράκοντα.»

Ἡ μὲν οὖν τοῦ Θεοῦ ῥάβδος, εὐθεῖά τις οὖσα καὶ παιδευτική, κατὰ τό, «Ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου·[2]» τοῖς ἰάσιμα ἡμαρτηκόσι τετήρηται εἰς παίδευσιν αὐτῶν καὶ βελτίωσιν καὶ ψυχῆς ὠφέλειαν προσαγομένη· ὁ δὲ μηδὲ ὀρθὸν μηδὲ εὐθὺ κεκτημένος, ὅλος δὲ διόλου καμπύλος καὶ σκολιός, χαμαί τε ἐπὶ τὸ στῆθος καὶ κοιλίαν ἕρπων, ἐφεδρεύων τε τοῖς πάντων ποσὶν ἐπὶ τὸ σκελίζειν καὶ καταβάλλειν αὐτούς, μετὰ πάντας τοὺς ἀσεβεῖς τῇ σκληρᾷ καὶ μεγάλῃ καὶ ἰσχυρᾷ μαχαίρᾳ παραδοθήσεται, ἣν αὐτῷ μόνῳ ὁ μέγας κριτὴς ἐταμιεύσατο. Μάχαιραν ἐνταῦθα λέγει τὴν ἐνέργειαν τῆς δίκης· ἀλλὰ καὶ ἁγίαν καλεῖ, ὁμοῦ μὲν παραμυθούμενος τὸ φοβερὸν τῆς ἀπειλῆς, ὁμοῦ δὲ καὶ δεικνύς, ὡς οὐκ εἰς ἀπώλειαν καταστρέψουσιν οἱ τιμωρούμενοι· ἁγιωσύνης τε αὐτοῖς αἴτιον ἔσται μετανοοῦσι. Καὶ γὰρ οὐκ ἀπολέσαι βούλεται ὁ Θεὸς παιδεύων, ἀλλὰ καθᾶραι καὶ ἁγιάσαι ἐπιστρέψαντας.

Στίχ. β'-δ'. «Τῇ ἡμέρᾳ ἐκείνῃ ἀμπελὼν καλός, ἐπιθύμημα ἐξάρχειν κατ' αὐτῆς. Ἐγὼ πόλις ὀχυρά, πόλις πολιορκουμένη, μάτην ποτιῶ αὐτήν· ἁλώσεται γὰρ νυκτός, ἡμέρας δὲ πεσεῖται τὸ τεῖχος αὐτῆς. Οὐκ ἔστιν ἣ οὐκ ἐπελάβετο αὐτῆς. Τίς με θήσει φυλάσσειν καλάμην ἐν ἀγρῷ; διὰ τὴν πολεμίαν ταύτην ἠθέτηκα αὐτήν. Τοίνυν διὰ τοῦτο ἐποίησε Κύριος πάντα ὅσα συνέταξε. Κατακέκαυμαι.»

Ὁ δὲ νοῦς τοῦ λόγου τοιοῦτός ἐστι· Μή τι κακὸν ἀντὶ κακοῦ τοῖς ἔθνεσιν ἀπεδίδοσαν οἱ κηρύττοντες αὐτοῖς εἰρήνην; Οἱ μὲν γὰρ ἐδίωκον αὐτοὺς καὶ πληγὰς ἐπιθέντες· οἱ δὲ τὰ κάλλιστα αὐτοῖς τὴν εἰρήνην εὐηγγελίζοντο. Μήτι οὖν τὰ ἴσα ἔπασχον οἱ ἐξ ἐθνῶν, ἀδικοῦντες τοὺς τῆς εἰρήνης κήρυκας; Ἔτυπτον γάρ, καὶ οὐκ ἀντετύπτοντο, καὶ ἀνῄρουν, ἀλλ' οὐκ ἀντανῃροῦντο· καὶ μαχόμενοι δὲ καὶ ὀνειδίζοντες, ἐδίωκον αὐτοὺς καὶ ἐξαπέστελλον· οἱ δὲ οὐκ ἀνεχώρουν τοῦ τὴν εἰρήνην καὶ τοῦ τὰ ἀγαθὰ αὐτοῖς εὐαγγελίζεσθαι. Διὸ ἐπιλέγει·

Στίχ. ε'- η'. «Βοήσονται οἱ ἐνοικοῦντες ἐν αὐτῇ· ποιήσωμεν εἰρήνην αὐτῷ, ποιήσωμεν εἰρήνην· οἱ ἐρχόμενοι τέκνα Ἰακὼβ βλαστήσει, καὶ ἐξανθήσει Ἰσραήλ, καὶ ἐμπλησθήσεται ἡ οἰκουμένη τοῦ καρποῦ αὐτοῦ. Μὴ ὡς αὐτὸς ἐπάταξε, καὶ αὐτὸς οὕτως πληγήσεται·

1. Δευτ. 32, 43. 2. Ψαλμ. 44, 7.

καὶ ὡς αὐτὸς ἀνεῖλεν, οὕτως ἀναιρεθήσεται; Μαχόμενος καὶ ὀνειδίζων ἐξαποστελεῖ αὐτούς. Οὐ σὺ ἦσθα μελετῶν τῷ πνεύματι τῷ σκληρῷ, ἀνελεῖν αὐτοὺς πνεύματι θυμοῦ;»

Ταῦτα γὰρ ἐμελέτων οἱ ἐξ ἐθνῶν ἄπιστοι κατὰ τῶν ἀποστόλων τοῦ Χριστοῦ «πνεύματι σκληρῷ» κατεχόμενοι, καὶ οὐδὲν ἕτερον διανοούμενοι, ἢ ὅπως ἀνέλωσιν αὐτοὺς τῷ ἐν αὐτοῖς πνεύματι. Ἀλλ' ἐπειδὴ τοιαῦτα πάσχοντες οἱ ἐκ τοῦ Ἰακὼβ βλαστήσαντες, καὶ ἐκ τοῦ Ἰσραὴλ ἐξανθήσαντες, ἔφερον πάντα γενναίως διὰ τὸν Χριστόν· τούτου χάριν ἐπιλέγει·

Στίχ. θ΄. «Διὰ τοῦτο ἀφαιρεθήσεται ἡ ἀνομία Ἰακώβ, καὶ τοῦτό ἐστιν ἡ εὐλογία αὐτοῦ, ὅταν ἀφέλωμαι τὴν ἁμαρτίαν αὐτοῦ, ὅταν θῶσι πάντας τοὺς λίθους τῶν βωμῶν κατακεκομμένους, ὡς κονίαν λεπτήν, καὶ οὐ μὴ μείνῃ τὰ δένδρα αὐτῶν, καὶ τὰ εἴδωλα αὐτῶν ἐκκεκομμένα, ὥσπερ δρυμὸς μακράν.»

Ταῦτα γάρ, φησίν, αἴτια γενήσεται τῆς ἀφέσεως τῶν ἁμαρτιῶν Ἰακώβ, καὶ διὰ ταῦτα ἐπ' αὐτὸν ἥξει ἡ εὐλογία, ἀφαιρουμένης αὐτοῦ τῆς ἁμαρτίας. Σωθήσεται γὰρ διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσι ἐν τῇ πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης, κατὰ τὸν Ἀπόστολον· ἀκόλουθόν ἐστι καὶ τὸν Ἰακὼβ τέκνα «βλαστήσαντα», καὶ τὸν τοιοῦτον καρπὸν «ἐξανθήσαντα» διὰ τῆς τούτων ἀρετῆς κοινωνῆσαι αὐτῶν τῇ εὐλογίᾳ. Σημαίνει δὲ ὁ λόγος πολλοὺς διὰ τῆς ἀποστολικῆς χάριτος καὶ τῶν κατὰ σάρκα γειτνιώντων αὐτοῖς σωθήσεσθαι.

Στίχ. ι΄. «Τὸ κατοικούμενον ποίμνιον ἀνειμένον ἔσται, ὡς ποίμνιον καταλελειμμένον. Καὶ ἔσται πολὺν χρόνον εἰς βόσκημα, καὶ ἐκεῖ ἀναπαύσονται ποίμνια».

Ἐπεὶ μὴ ἐβουλήθησαν τὸν καλὸν ποιμένα παραδέξασθαι, τὸν θέντα τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ τῶν προβάτων· διόπερ ἡ χώρα τῆς ψυχῆς αὐτῶν ἔσται πολὺν χρόνον εἰς βόσκημα, ὡς πληροῦσθαι εἰς αὐτοὺς τό, «ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν.[1]»

Στίχ. ια΄. «Καὶ μετὰ χρόνον οὐκ ἔσται ἐν αὐτῇ πᾶν χλωρὸν διὰ τὸ ξηρανθῆναι.»

«Ἐκεῖ», φησίν, «ἀναπαύσονται τὰ ποίμνια», δῆλον δὲ ὅτι οἱ καταβόσκοντες καὶ λυμαινόμενοι αὐτήν. Εἰς τοσαύτην δὲ περιτραπήσεται ἐρημίαν, ὡς μηδὲν χλωρὸν ἐν αὐτῇ ὑπάρξαι· διὸ λέλεκται· «Καὶ οὐκ ἔσται ἐν αὐτῷ χλωρόν. Γυναῖκες ἐρχόμεναι ἀπὸ θέας, δεῦτε· οὐ γὰρ λαός ἐστιν ἔχων σύνεσιν.» Γυναῖκας ἀνακαλεῖται, ὡς ἀνδρῶν μὴ εὑρισκομένων ἐν αὐτοῖς ἀξίων σωτηρίας. Διὸ ταῖς γυναιξὶ παρακελεύεται σπεύδειν καὶ ἥκειν εἰς μαρτυρίαν ἀπὸ θέας τῶν παραδόξων καὶ θαυμασίων ἔργων, ὡς ἂν ἐλθοῦσαι φωτίσαιεν τὸν ἐν σκότῳ

1. Ψαλμ. 79, 14.

καθήμενον λαὸν καὶ τὴν πόλιν αὐτῶν τὴν ἀφειμένην. Διὸ κατὰ τὸν Ἀκύλαν εἴρηται· «Γυναῖκες ἐρχόμεναι φωτίζουσιν αὐτήν·» κατὰ δὲ τὸν Σύμμαχον, «Γυναῖκες ἐρχόμεναι καὶ δηλοῦσαι αὐτήν.» Τίνα δὲ αὐτήν, ἢ τὴν ἀνωτέρω λεχθεῖσαν πόλιν; περὶ ἧς εἴρητο· «Πόλις γὰρ ὠχυρωμένη ἡ μόνη καλή, καὶ ἀφεῖται καὶ ἐγκαταλέλειπται ὡς ἔρημος.» Ταῦτα δὲ ἐπληροῦτο πρὸς λέξιν καὶ πρὸς ἱστορίαν κατὰ τὴν τοῦ Σωτῆρος ἡμῶν ἀνάστασιν, ἐν ᾧ, κατὰ μὲν τὸν Ματθαῖον, «Ἦσαν ἐκεῖ γυναῖκες πολλαὶ ἀπὸ μακρὰν θεωροῦσαι, αἵτινες ἠκολούθησαν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας διακονοῦσαι αὐτῷ· ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνή, καὶ Μαρία Ἰακώβου, καὶ Ἰωσῆ μήτηρ, καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου·[1]» κατὰ δὲ τὸν Λουκᾶν· «Κατακολουθήσασαι δὲ γυναῖκές τινες ἦσαν, συνεληλυθυῖαι ἐκ τῆς Γαλιλαίας αὐτῷ[2]», καὶ τὰ ἑξῆς. «Διὰ τοῦτο οὐ μὴ οἰκτειρήσῃ ὁ ποιήσας αὐτούς, οὐδὲ ὁ πλάσας αὐτοὺς οὐ μὴ ἐλεήσῃ.» Οἶμαι δὲ διὰ τούτων σημαίνεσθαι τὸν ἐπελθόντα τοῖς Ἰουδαίοις πόλεμον κατὰ τὸ Παλαιστίνων ἔθνος, μετὰ τὴν κατὰ Χριστοῦ τόλμαν.

Στίχ. ιβ'. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, συμφράξει ὁ Θεὸς ἀπὸ τῆς διώρυγος τοῦ ποταμοῦ ἕως Ῥινοκορούρων. Ὑμεῖς δὲ συναγάγετε κατὰ ἕνα τοὺς υἱοὺς Ἰσραήλ».

Πόλις δὲ αὕτη ἐστὶν ἀμφὶ τοῦ ὅρους τοῦ μεταξὺ τῆς Αἰγύπτου καὶ τῆς Παλαιστίνης κειμένη. Διὸ κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς, «ἕσω τοῦ χειμάρρου Αἰγύπτου», εἴρηται· αἰνιττομένου, ὡς ἔφην, τοῦ λόγου τὸν γενησόμενον κατὰ Ἰουδαίων πόλεμον ἐν τῷ Παλαιστίνων ἔθνει.

Στίχ. ιγ'. «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, σαλπιοῦσι τῇ σάλπιγγι τῇ μεγάλῃ, καὶ ἥξουσιν οἱ ἀπολόμενοι ἐν τῇ χώρᾳ τῶν Ἀσσυρίων καὶ οἱ ἀπολόμενοι ἐν Αἰγύπτῳ· καὶ προσκυνήσουσι τῷ Κυρίῳ ἐπὶ τὸ ὄρος τὸ ἅγιον ἐν Ἱερουσαλήμ.»

Ἀγαπητὸν γὰρ τὸ κἂν ἕνα, ἢ καὶ δεύτερον, καί τινας εὐαριθμήτους ἐξ αὐτῶν καθ' ἑκάστην πόλιν ἢ καὶ καθ' ἕκαστον ἔθνος σῴζεσθαι. Τούτους μὲν οὖν κατὰ ἕνα συναγάγετε· τοῖς δὲ λοιποῖς ἔθνεσι σάλπιγγι σαλπίσει μεγάλῃ, τοῦ λόγου βοῶντος εἰς ἐξάκουστον πᾶσιν ἀνθρώποις. Σημαίνει δὲ διὰ μὲν τῶν Αἰγυπτίων, τοὺς εἰδωλολάτρας πάντας, διὰ δὲ τῶν Ἀσσυρίων τοὺς πολεμίους τοῦ Ἰσραήλ, τοὺς πολιορκητὰς τῆς Ἰουδαίων χώρας γενομένους, οἷς τοῦ λόγου διὰ τῆς εὐαγγελικῆς σάλπιγγος τῆς ὡς ἀληθῶς μεγάλης κηρύξαντος, μεταβαλόντες οἱ ἐν τοῖς ἔθνεσιν εἰδωλολάτραι, καὶ οἱ πάλαι ἐχθροί, καὶ οἱ πολέμιοι τῆς τοῦ Ἰσραὴλ θεοσεβείας, ἥξουσι πρὸς τὸν Θεὸν ἐπιστρέψαντες, ὡς τοὺς πάλαι ἀπολωλότας ἐν τῇ τῆς εἰδωλολατρείας πλάνῃ, μεταβληθέντας καὶ σπεύσαντας ἐλθεῖν ἐπὶ τὴν τοῦ Θεοῦ γνῶσιν, καὶ τῆς διὰ Χριστοῦ σωτηρίας τυχεῖν.

1. Ματθ. 27, 56. 2. Λουκ. 23, 55.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Στίχ. α'. «Οὐαὶ τῷ στεφάνῳ τῆς ὕβρεως, οἱ μισθωτοὶ Ἐφραΐμ.»

Αἰνίττεται δὲ τὸ συνέδριον τῶν Φαρισαίων καὶ ἀρχιερέων καὶ τῶν λοιπῶν ἀρχόντων τοῦ Ἰουδαίων λαοῦ· οὕς, ἐκ διαφόρων ἀξιωμάτων συνελθόντας κατὰ τὸ αὐτό, στεφάνῳ παραβάλλει, οὐ τιμῆς τινος οὐδὲ δόξης, ἀλλ' ὕβρεως καὶ ἀτιμίας. Διό φησιν, «Οὐαὶ τῷ στεφάνῳ τῆς ὕβρεως», ἢ κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς, «τῷ στεφάνῳ τῆς ὑπερηφανίας.» Ὑπερήφανοι γάρ τινες ἦσαν, ἀλαζόνες τε καὶ ἀπονενοημένοι, ἐν οἷς ὑπῆρχον καὶ οἱ μισθωτοὶ τοῦ Ἐφραΐμ. Ἐλέγετο δὲ Ἰούδας ὁ προδότης ἐκ φυλῆς Ἐφραΐμ γεγονέναι· μισθωτὸν δὲ καλεῖ, ὡς ἂν ἐξηγορασμένον χρήμασιν ἐπὶ τὸ προδοῦναι τὸν διδάσκαλον. «Τὸ ἄνθος τὸ ἐκπεσὸν τῆς δόξης ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους τοῦ παχέος οἱ μεθύοντες ἄνευ οἴνου.» Μετασχὼν γὰρ τῆς δόξης τοῦ ἀποστολικοῦ χοροῦ, διὰ τῆς ἐπὶ τὸ χεῖρον ῥοπῆς, γέγονε τὸ ἄνθος τὸ ἐκπεσὸν τῆς δόξης. Ἄνθος δὲ καὶ βλαστὸς μικρῷ πρόσθεν ὠνομάζοντο οἱ ἀπόστολοι τοῦ Σωτῆρος, ἐν οἷς ἐλέγετο· «Τέκνα Ἰακὼβ βλαστήσει, καὶ ἐξανθήσει Ἰσραήλ, καὶ πλησθήσεται ἡ οἰκουμένη τοῦ καρποῦ αὐτοῦ.» Ἀλλ' ἐκ τούτων ὁ προφήτης ἐκπεσών, τὸ ἄνθος τὸ ἐκπεσὸν τῆς δόξης εἴρηται. Σημαίνει δὲ οὗτος ὁ λόγος τὸ σπέρμα τῶν τὴν ψυχὴν πεπαχυμμένων, περὶ ὧν ἐλέχθη· «Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου.[1]» Ἦσαν τοίνυν ὥσπερ τις κορυφὴ ὄρους τοῦ παχέος οἱ ἄρχοντες τοῦ πεπαχυμμένου λαοῦ, κεφαλὴ τυγχάνοντες αὐτῶν, οἷς συνήφθη τὸ ἄνθος τὸ ἐκπεσὸν τῆς δόξης· διὸ ταλανίζεται. Ἀντὶ δὲ τοῦ, «ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους τοῦ παχέος», ὁ μὲν Ἀκύλας, «φάραγγος ῥυπαριῶν», ὁ δὲ Σύμμαχος, «φάραγγος πιοτήτων», ὁ δὲ Θεοδοτίων, «φάραγγος πιόνων», ἡρμήνευσαν· ἡ δὲ Ἑβραϊκὴ φωνή, «Γεθσημανί», περιέχει. Ὅπερ ἤκουσά τινος τῶν ἡμετέρων ἀγαπητῶν διασαφοῦντος καὶ λέγοντος τὸν τόπον εἶναι τὸν ἐν τῷ Εὐαγγελίῳ «Γεθσημανὶ» ὠνομασμένον, ἔνθα ὁ προδότης μετὰ τοῦ στεφάνου τῆς ὕβρεως ἐπελθὼν τῷ Σωτῆρι, τὰ τῆς προδοσίας εἰργάσατο.

Στίχ. β'. «Ἰδοὺ ἰσχυρὸν καὶ σκληρόν, ὁ θυμὸς Κυρίου, ὡς χάλαζα καταφερομένη οὐκ ἔχουσα σκέπην, βίᾳ καταφερομένη· ὡς ὕδατος πολὺ πλῆθος σύρον χώραν, τῇ γῇ ποιήσει ἀνάπαυμα ταῖς χερσίν.»

Οὕτω γὰρ θυμὸς Κυρίου, φησί, κατὰ τούτων αὐτῶν ἐλεύσεται τῶν μεθυόντων ἄνευ οἴνου· ὡς χαλάζῃ παραβάλλεσθαι, κατὰ κεφαλῆς ἀνδρῶν οὐκ ἐχούσης σκέπην καταρασσούσῃ. Οὕτω πως τὸν θυμὸν τοῦ Θεοῦ κατὰ τῶν δηλουμένων ἐπενεχθήσεσθαί φησι.

Στίχ. γ'. «Καὶ τοῖς ποσὶ καταπατηθήσεται ὁ στέφανος ὕβρεως, οἱ μισθωτοὶ τοῦ Ἐφραΐμ.»

Πάλαι μὲν γὰρ ἦσαν στέφανος ὕβρεως εἰς τὸ ὑβρίζειν παρατε-

---

1. Ματθ. 13, 15.

ταγμένοι· διὸ καὶ στέφανος ὑπερηφανίας ἐλέγοντο· τέλος δὲ αὐτοὺς διαλήψεται τοιοῦτον, ὡς καταπατηθῆναι αὐτούς· διὸ καὶ κατεπατήθησαν ὑπό τε τῶν καταδουλωσαμένων αὐτοὺς πολεμίων· οἳ καὶ τὴν πόλιν αὐτῶν ἑαυτοῖς καταπατήματα πεποιήκασι.

Στίχ. δ'. «Καὶ ἔσται τὸ ἄνθος τὸ ἐκπεσὸν τῆς ἐλπίδος τῆς δόξης ἐπ' ἄκρου τοῦ ὄρους τοῦ ὑψηλοῦ· ὡς πρόδρομος σύκου· ἰδὼν αὐτό, πρὶν εἰς τὴν χεῖρα αὐτοῦ λαβεῖν αὐτό, θελήσει αὐτὸ καταπιεῖν.»

Τοιοῦτος δέ τις ἦν ὁ Ἰούδας ἄνθος μὲν γεγονώς, ἀλλὰ ἐκπεσὼν τῆς ἐλπίδος ὁμοῦ καὶ τῆς δόξης. Καὶ πάλαι μὲν τυγχάνων ἐπάνω ὄρους τοῦ ὑψηλοῦ, περὶ οὗ προϊὼν ὁ προφήτης φησίν· «Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών.[1]» Ἀλλὰ γέγονε τοιοῦτός τις, ὡς ὁμοιωθῆναι προδρόμῳ σύκου, καρπῷ ἀτελεσφορήτῳ, ὡραίῳ μὲν καὶ καλῷ τῇ θέᾳ, ἀχρήστῳ δὲ ἄλλως διὰ τὸ ἀτελὲς τοῦ πρὸς τροφὴν ἐπιτηδείου καρποῦ. Διὸ πρόδρομον αὐτὸν γενόμενον τεθεαμένος ὁ τῶν καλῶν βάσκανος, προήρπασε σπεύσας· ὡς θελῆσαι αὐτὸν καταπιεῖν πρὶν ἢ τῆς χειρὸς ἐπιλαβέσθαι· οὕτω γοῦν αὐτὸν καὶ κατέπιεν ἰσχύσας.

Στίχ. ε', ς'. «Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται Κύριος Σαβαὼθ ὁ στέφανος τῆς ἐλπίδος, ὁ πλακεὶς τῆς δόξης, τῷ καταλειφθέντι τοῦ λαοῦ. Καταλειφθήσονται δὲ ἐπὶ πνεύματι κρίσεως ἐπὶ κρίσιν, καὶ ἰσχὺν κωλυόντων ἀνελεῖν.»

Δῆλον δὲ ὅτι τοῖς περιλειφθεῖσιν ἐκ τῆς τοῦ παντὸς λαοῦ ἀπωλείας· οὗτοι δὲ ἦσαν οἱ τοῦ Σωτῆρος ἀπόστολοί τε καὶ μαθηταί· αὐτὸν γὰρ ἔσεσθαι τὸν Κύριον στέφανον ἐλπίδος ἐπαγγέλλεται.

Στίχ. ζ'. «Οὗτοι γὰρ οἴνῳ πεπλημμελημένοι εἰσίν· ἐπλανήθησαν διὰ τὸ σίκερα·»

ὅπερ οἱ λοιποὶ ἑρμηνευταὶ «μέθυσμα» ὠνόμασαν. Ἵνα δὲ μή τις οἶνον ὑπολάβοι καὶ μέθυσμα τὸ προχείρως νοούμενον, προησφαλίσατο ἀνωτέρω εἰπών, «οἱ μεθύοντες ἄνευ οἴνου.» Οὐκοῦν ἕτερος ἦν οὗτος ὁ οἶνος, καὶ ἄλλο τὸ καλούμενον σίκερα, ἢ τὸ μέθυσμα, δι' οὗ τὰ τῆς πλάνης αὐτοῖς γέγονε. «Ἱερεὺς καὶ προφήτης ἐξέστησαν διὰ τὸ σίκερα· κατεπόθησαν διὰ τὸν οἶνον, ἐσείσθησαν ἀπὸ τῆς μέθης, ἐπλανήθησαν· τουτέστι φάσμα.»

Στίχ. η'. «Ἀρὰ ἔδεται ταύτην τὴν βουλήν· αὕτη γὰρ ἡ βουλὴ ἕνεκα πλεονεξίας.»

Φάσμα γὰρ ἦν ἀληθῶς καὶ φάντασμα τὸ πάντας αὐτοὺς ἀθρόως τὰ τοσαῦτα παθεῖν καὶ τὸ βουλὴν βουλεύσασθαι δεινὴν καὶ ἄθεον, ἣν καταλήψεται ἡ ἐκ τοῦ Θεοῦ ἀρά. Ἰούδας μὲν οὖν χρημάτων ἕνεκεν καὶ τῆς τούτων πλεονεξίας τὸν Σωτῆρα παρεδίδου· οἱ δὲ λοιποί, μεταποιούμενοι τῆς ἐκ τοῦ λαοῦ πλεονεξίας, καὶ μή πῃ ὁ Χριστοῦ λόγος καθέλοι αὐτοὺς τῆς ἀρχῆς ὑφορώμενοι, τὴν κατ' αὐτοῦ σκευὴν ἐτύρευσαν· διὸ εἴρηται· «Αὕτη γὰρ ἡ βουλὴ ἕνεκεν πλεονεξίας.»

---

1. Ἡσ. 40, 9.

Στίχ. θ΄. «Τίνι ἀνηγγείλαμεν κακά, καὶ τίνι ἀνηγγείλαμεν ἀγγελίαν; οἱ ἀπογεγαλακτισμένοι ἀπὸ γάλακτος, οἱ ἀπεσπασμένοι ἀπὸ μαστοῦ.»

Διαγράψας ὁ λόγος τὴν περὶ τοῦ στεφάνου τῆς ὕβρεως καὶ τῶν ἑξῆς ἐπενηνεγμένων προφητείαν, μεταβαίνει πάλιν ἐπὶ τὸ τάγμα τὸ ἀποστολικόν, οὗ ἐλέγετο εἶναι αὐτὸς ὁ Κύριος Σαβαὼθ στέφανος ἐλπίδος καὶ κίδαρις δόξης. Καὶ διδάσκει τοῦτον αὐτὸς ὁ Κύριος Σαβαώθ, λέγω δὴ τὸν ἀποστολικὸν χορὸν παρασκευάζεσθαι πρὸς θλίψεις μελλούσας αὐτοῖς ἐπάγεσθαι διὰ τὸν Χριστοῦ λόγον. Διὸ ὥσπερ ἐπιφωνῶν αὐτοῖς λέγει· «Τίνι ἀνηγγείλαμεν κακά; καὶ τίνι ἀνηγγείλαμεν ἀγγελίαν;» ὡς εἰ σαφέστερον ἔλεγε· Τίς ἄρα πρόθυμος παραδέξασθαι τὰ ἐπαγγελλόμενα κακά; Κακὰ δὲ ὀνομάζει κοινοτέρως τὰς περιστάσεις καὶ τὰ νομιζόμενα λυπηρά· τοὺς πόνους δηλαδὴ καὶ τὰς θλίψεις τὰς ὑπὲρ εὐσεβείας. Πρὸς ὑμᾶς γὰρ τοὺς ἀποστόλους ἐστὶν ὁ λόγος, καὶ ταῦτα περὶ ὑμῶν ἐπαγγέλλομεν. Ὅτε μὲν γὰρ ἦτε νήπιοι, ὡσανεὶ ὑπὸ μαζῶν τρεφόμενοι γάλακτι, οὐδὲν ἦν ὑμῖν ἐπικείμενον τοιοῦτον διὰ τὸ ἀτελὲς τῆς νοητῆς ἡλικίας· τοιοῦτοι δὲ τυγχάνοντες οἱ ὑπὸ παιδαγωγὸν τὸν Μωϋσέως νόμον, εἴτε γαλουχούμενοι ταῖς πρώταις εἰσαγωγαῖς τοῦ θεοσεβοῦς λόγου· νῦν δὲ ὅτε, προκόψαντες τῇ ἡλικίᾳ, τοῦ μὲν παιδαγωγοῦ ἀπηλλάγητε, τῷ δὲ τελείῳ διδασκάλῳ προσεληλύθατε, ἀπογαλακτισθέντες ἀπὸ νομικοῦ γάλακτος καὶ ἀποσπαθέντες ὡς ἀπὸ μητρὸς τῆς Ἰουδαϊκῆς καὶ σωματικῆς λατρείας.

Στίχ. ι΄-ιβ΄. «Θλῖψιν ἐπὶ θλῖψιν προσδέχου, ἐλπίδα ἐπ' ἐλπίδα· ἔτι μικρόν, ἔτι μικρόν· διὰ φαυλισμὸν χειλέων, διὰ γλώσσης ἑτέρας· ὅτι λαλήσουσι τῷ λαῷ τούτῳ λέγοντες αὐτῷ· Ἀνάπαυμα τῷ πεινῶντι, καὶ τοῦτο τὸ σύντριμμα, καὶ οὐκ ἠθέλησαν ἀκούειν.»

Λέγεται δὲ ταῦτα πρὸς τὸν χορὸν τὸν ἀποστολικὸν καὶ πρὸς πάντας τοὺς τῷ σωτηρίῳ Εὐαγγελίῳ μαθητευομένους. Οὐ δεῖ δὲ ἐν ταῖς θλίψεσιν ἑαυτῶν τὴν σωτηρίαν ἀπογιγνώσκειν, ὡς ἐν θλίψει πάντοτε προσδοκῶντας ἔσεσθαι· ὅσον γὰρ οὔπω, παυσαμένης τῆς θλίψεως, τὰ ἐκ ταύτης ὑμᾶς βραβεῖα διαδέξεται, νικητὰς ἀποφανθέντας, καὶ τὸν στέφανον τῆς ἐλπίδος τὸν πλακέντα τῆς δόξης ἀναδησαμένους. Διόπερ ἐλπίδα ἐπ' ἐλπίδι ἐπάγει, οὐ μετὰ μακρὸν διάστημα τῆς θλίψεως· βραχὺ γάρ τι ἔσται τὸ μεταξύ· διό φησιν, «Ἔτι μικρόν·» Ἡ γὰρ «θλῖψις ὑπομονὴν κατεργάζεται· δὲ δὲ ὑπομονὴ δοκιμήν· ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει.[1]» Φαυλίζοντες γὰρ ὑμᾶς οἱ θλίβοντες, καὶ χλευάζοντες, λοιδοροῦντες καὶ βλασφημοῦντες, διατελοῦσιν ἀλλοιοτέρᾳ γλώσσῃ χρώμενοι. Ὧν δεῖ καταφρονεῖν διὰ τὴν ἔτι μικρὸν διαδεξομένην ὑμᾶς ἐλπίδα.

Στίχ. ιγ΄. «Καὶ ἔσται αὐτοῖς τὸ λόγιον τοῦ Θεοῦ, θλῖψις ἐπὶ

1. Ῥωμ. 5, 3-4.

θλίψει, ἐλπὶς ἐπ' ἐλπίδι· ἔτι μικρόν, ἔτι μικρόν· ἵνα πορευθῶσιν εἰς τὰ ὀπίσω, καὶ κινδυνεύσωσι, καὶ συντριβήσωνται, καὶ ἁλώσωνται.»

Δείκνυσιν ὁ λόγος τοὺς ἐκ περιτομῆς ἀπίστους, οἳ οὐ θελήσουσιν ἀκούειν. Διόπερ «Ἔσται», φησί, «τὸ λόγιον Κυρίου αὐτοῖς, θλῖψις ἐπὶ θλίψει.» Οἱ γὰρ μὴ βουληθέντες διὰ Χριστὸν θλίβεσθαι, μηδὲ τὴν στενὴν καὶ τεθλιμμένην ὁδεῦσαι· τὴν πλατεῖαν δὲ καὶ εὐρύχωρον ἀπελθόντες, πεσοῦνται εἰς τὰ ὀπίσω καὶ συντριβήσονται καὶ κινδυνεύσουσι καὶ ἁλώσονται. Ταῦτα γὰρ πάντα διαδέξεται αὐτοὺς μὴ βουληθέντας τὸ προλεχθὲν λόγιον Κυρίου παραδέξασθαι· ἑαυτοῖς δὲ πτώσεως καὶ συντριβῆς γενομένους αἰτίους.

Στίχ. ιδ΄. «Διὰ τοῦτο ἀκούσατε λόγον Κυρίου, ἄνδρες τεθλιμμένοι, καὶ οἱ ἄρχοντες τοῦ λαοῦ τούτου τοῦ ἐν Ἱερουσαλήμ.»

Ὄντων γὰρ καὶ ἄλλων χλευαστῶν ἀνδρῶν τῶν παρ' Ἕλλησι διασυρόντων τὸν Χριστοῦ λόγον· ἵνα μή τις ὑπολάβῃ περὶ ἑτέρων τὰ προκείμενα λέγεσθαι, ἀκριβῶς καὶ ἀναγκαίως προσέθηκεν τό, οἱ ἐξουσιάζοντες τοῦ λαοῦ τούτου. Καὶ ἐπειδήπερ καὶ ἐκτὸς τῆς Ἱερουσαλὴμ ἦσαν πλείους ἀνὰ πᾶσαν τὴν Ἰουδαίαν καὶ Γαλιλαίαν προεστῶτες τοῦ λαοῦ, ἐπισημαίνεται ἀκριβῶς πρὸς ποίους ἄρχοντας καὶ ἐξουσιάζοντας τοῦ λαοῦ ταῦτα γένοιτο.

Στίχ. ιε΄. «Ὅτι εἴπατε· Ἐποιήσαμεν διαθήκην μετὰ τοῦ ᾅδου, καὶ μετὰ τοῦ θανάτου συνθήκας. Καταιγὶς φερομένη ἐὰν παρέλθῃ, οὐ μὴ ἐπέλθῃ ἐφ' ἡμᾶς· ἐθήκαμεν ψεῦδος τὴν ἐλπίδα ἡμῶν, καὶ τῷ ψεύδει σκεπασθησόμεθα.»

Ἐπειδὴ τοίνυν ταῦτα διενοήθησαν καὶ ἀλλήλοις ὡμίλησαν οἱ προλεχθέντες χλευασταί, τὸν μὲν Χριστοῦ λόγον χλευάσαντες, καὶ διασύραντες, δι' οὗ ἐδιδάσκοντο, ὡς δέοι αὐτοὺς θλῖψιν ἐπὶ θλῖψιν προσδοκᾶν, καὶ τὴν ἐπ' αὐτῇ ἐλπίδα ἐπ' ἐλπίδι· ἑλόμενοι δὲ φιλίαν σπείσασθαι πρὸς τὸν θάνατον καὶ πρὸς τὸν ᾅδην, καταφυγήν, τοῦτο πράξαντες, προσεδόκησαν οὔτε θλίψεως πειραθήσεσθαι, οὔτε λυπηρῷ τινι καὶ ἀηδεῖ περιπεσεῖσθαι· εἰ δὲ συμβαίη μάλιστά τινά ποθεν ἐπικλύζουσαν ἐξ ἀντικειμένης δυνάμεως ἐπιέναι οὐκ ἐπ' αὐτοὺς ἥξειν ὑπέλαβον διὰ τὸ φίλους εἶναι τῇ ἀντικειμένῃ δυνάμει καὶ αὐτῷ τῷ θανάτῳ φησίν, «ἀκούσατε λόγον Κυρίου.»

Στίχ. ιϛ΄. «Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐμβαλῶ εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ, ἐκλεκτόν, ἀκρογωνιαῖον, ἔντιμον εἰς τὰ θεμέλια αὐτῆς· καὶ ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ μὴ καταισχυνθῇ.»

Ὑμεῖς μὲν οὐ παρεδέξασθε τὴν πρώτως ὑμῖν κατεπαγγελθεῖσαν χάριν· ἐγὼ δὲ τὸν ἐμαυτοῦ τὸν πολυτελῆ καὶ τίμιον ἐν ἀκρογωνίαις ἀναθείς, ὑψηλὸν καὶ ἐπιφανῆ, καὶ τοῖς ἄλλοις πᾶσιν ἔκδηλον ποιήσω, ὅπως πᾶς ἐπ' αὐτὸν πιστεύων μὴ ἐκπέσῃ τῆς ἐλπίδος. Τοῦτον δὲ τὸν λίθον ἐπαγγέλλεται θήσειν εἰς τὰ θεμέλια Σιών, ὃ δὴ καὶ ἔργῳ πεποίηκεν, εἰπὼν καὶ ἐπιτελέσας τό, «Ἐπὶ τὴν πέτραν οἰκοδομήσω

μου τὴν Ἐκκλησίαν.[1]» Σιὼν γὰρ ὄρος τὸ εὐαγγελικὸν κήρυγμα, καὶ ἐπὶ τούτῳ τεθεμελιωμένην Ἐκκλησίαν πολλάκις ἐξειλήφαμεν. Πολυτελῆ δὲ ὄντα τὸν λίθον τοῦτον καὶ ἐκλεκτὸν καὶ τίμιον θήσειν εἰς τὰ θεμέλια τῆς Ἐκκλησίας ἐπαγγέλλεται· ἐντεῦθεν γωνιαῖος καὶ ἀκρογωνιαῖος κέκληται. Εἴη δ' ἂν τὸ ἀνθρώπινον τοῦ Σωτῆρος ἡμῶν οὕτως ὠνομασμένον σῶμα· ἐπεὶ καὶ κατὰ τὸν Δανιήλ, «λίθος τμηθεὶς ἄνευ χειρῶν» ἑωρᾶτο· λίθου μὲν τοῦ ἀνθρωπίνου νοουμένου σώματος· ὅρους δὲ τῆς κατὰ τὸν Σωτῆρα θεότητος.

Στίχ. ιζ'. «Καὶ θήσω κρίσιν εἰς ἐλπίδα· ἡ δὲ ἐλεημοσύνη μου εἰς σταθμούς, καὶ οἱ πεποιθότες μάτην ψεύδει, ὅτι οὐ μὴ παρέλθῃ ὑμᾶς καταιγίς.»

Κατὰ δὲ τοὺς λοιποὺς ἑρμηνευτάς, «ὁ πιστεύων οὐ σπεύσει.» Μακροθυμήσει γὰρ ὁ πιστεύων, περιμένων τοῦ λόγου τὴν ἐπαγγελίαν. Οὗτος δ' ἂν εἴη ὁ λίθος, ὁ αὐτός τε πέτρα, περὶ ἧς ὁ Σωτὴρ ἔλεγε· «Ἐπὶ τὴν πέτραν ταύτην οἰκοδομήσω μου τὴν Ἐκκλησίαν.» Οὗτος ὁ λίθος καὶ κρίνων ἀγαθὰς παρέξει τοῖς κρινομένοις ἐλπίδας, ἐπειδὴ συνῆπται αὐτῷ ἐλεημοσύνη μετὰ δικαιοτάτου σταθμοῦ καὶ μέτρου· διὸ λέλεκται·

Στίχ. ιη'. «Ἡ δὲ ἐλεημοσύνη μου εἰς σταθμούς. Μὴ καὶ ἀφέλῃ ὑμῶν τὴν διαθήκην τοῦ θανάτου· καὶ ἡ ἐλπὶς ὑμῶν ἡ πρὸς τὸν ᾅδην οὐ μὴ ἐμμείνῃ. Καταιγὶς φερομένη ἐὰν ἐπέλθῃ, ἔσεσθε αὐτῇ εἰς καταπάτημα.»

Μὴ γὰρ ἑαυτούς, φησίν, ἀπατᾶτε φάσκοντες· Ἐπειδὴ τῷ θανάτῳ ἐφιλιώθημεν, οὐ μὴ ἐπέλθῃ ἐφ' ἡμᾶς καταιγίς, οὐδὲ πειραθησόμεθά τινος λυπηροῦ. Ἀκούετε γὰρ ἐντεῦθεν ἤδη καὶ μανθάνετε, ὦ οὗτοι οἱ πεποιθότες τῷ ψεύδει καὶ εἰρηκότες, «Ἐθήκαμεν ψεῦδος τὴν ἐλπίδα ἡμῶν, καὶ τῷ ψεύδει σκεπασθησόμεθα·» ὅτι καταιγὶς παρελθοῦσα οὐ παρελεύσεται ὑμᾶς· ἀλλὰ ἀφελεῖ ὑμῶν τὴν πρὸς τὸν θάνατον συνθήκην, καὶ ἡ ἐλπὶς ὑμῶν ἡ πρὸς τὸν ᾅδην οὐ μὴ ἐμμείνῃ. Σαθρῷ γὰρ πράγματι ἑαυτοὺς ἐπιστεύσατε, θανάτῳ καὶ ᾅδῃ τὰς ὑμετέρας ἐλπίδας ἀναρτήσαντες.

Στίχ. ιθ', κ'. «Ὅταν παρέλθῃ, λήψεται ὑμᾶς· πρωῒ πρωῒ παρελεύσεται ἡμέρας, καὶ ἐν νυκτὶ ἔσται ἐλπὶς πονηρά. Μάθετε ἀκούειν. Στενοχωρούμενοι, οὐ δυνάμεθα μάχεσθαι· αὐτοὶ δὲ ἀσθενοῦμεν τοῦ ὑμᾶς συναχθῆναι.»

Εἰ γὰρ ἐθέλητε, καὶ ἐν τῇ μερίδι τοῦ Θεοῦ συναχθήσεσθε, καὶ οὐκ ἀσθενήσετε ὑπὲρ εὐσεβείας ἀγωνιζόμενοι· ἐπειδὴ δὲ ἑκόντες τῷ θανάτῳ καὶ τῷ ᾅδῃ ἑαυτοὺς προσεκληρώσατε, γινώσκετε, ὅτι ἤδη ὑμῖν ἐπελεύσεται αὐτὸς ὁ Κύριος, ἐπάγων καθ' ὑμῶν ὀργὴν διὰ τὰ προλεχθέντα πάντα.

Στίχ. κα'. «Ὥσπερ ὄρος ἀσεβῶν ἀναστήσεται Κύριος, καὶ

1. Ματθ. 16, 18.

ἔσται ἐν τῇ φάραγγι Γαβαών· μετὰ θυμοῦ ποιήσει τὰ ἔργα αὐτοῦ, πικρίας ἔργον.»

Πικρίας ἔργα τοῖς δεηθεῖσιν ὥσπερ ἀντιδότου πικρᾶς διὰ τὴν ὑποκειμένην αὐτῶν τῇ ψυχῇ κακίαν. Πικρία δὲ καὶ ὀργὴ καὶ θυμός, καὶ τὰ τοιαῦτα λεγόμενα ἐπὶ Θεοῦ οὐδὲν ἕτερον ἢ τὰς κατὰ τῶν ἀσεβῶν κολάσεις τὰς ἐκ τοῦ θείου δικαστηρίου ἐπελευσομένας εἴωθε σημαίνειν. «Ὁ δὲ θυμὸς αὐτοῦ ἀλλοτρίως χρήσεται, καὶ ἡ σαπρία αὐτοῦ ἀλλοτρία.»

Στίχ. κβ'. «Καὶ ὑμεῖς μὴ εὐφρανθείητε, μηδὲ ἰσχυσάτωσαν ὑμῶν οἱ δεσμοί· διότι συντετελεσμένα καὶ συντετμημένα πράγματα ἤκουσα παρὰ Κυρίου Σαβαώθ, ἃ ποιήσει ἐπὶ πᾶσαν τὴν γῆν.»

Μηδὲ ἰσχυσάτωσαν οἱ πόδες ὑμῶν, οἷς κατεδήσατε ἑαυτοὺς διαθήκην μετὰ τοῦ θανάτου ποιησάμενοι καὶ μετὰ τοῦ ᾅδου συνθήκας· ἀλλ' εἴ τις ὑμῖν ἐστι σωτηρίας ἐλπίς, διαρρήξατε τοὺς πρὸς τὸν θάνατον δεσμούς· ἀναχωρεῖτε δὲ καὶ τῆς νομιζομένης ὑμῖν εὐφροσύνης, τῆς τε προσκαίρου παύσασθε ἡδονῆς· τούτων γὰρ ὁποῖον ἔσται τὸ τέλος μεμαθήκατε. Ταῦτα δὲ μὴ νομίσητε λέγειν ἐμὲ τὸν προφήτην· ἃ γὰρ ἤκουσα ψυχῆς ἀκοῇ εἰρηκότος τοῦ Κυρίου Σαβαώθ, ταῦθ' ὑμῖν μεταδέδωκα· ἠβουλήθη γὰρ ὑμᾶς μὴ ἀγνοεῖν τὰ παρ' αὐτῷ κεκρυμμένα καὶ ὡρισμένα καὶ συντεταγμένα πράγματα.

Στίχ. κγ'. «Ἐνωτίζεσθε καὶ ἀκούετε τῆς φωνῆς μου· προσέχετε καὶ ἀκούετε τοὺς λόγους μου.»

Διὰ μὲν τοῦ τῇ φωνῇ τῇ δι' ἀέρος φερομένῃ τὰ ὦτα παρέχειν τὸ ἐνωτίζεσθαι δηλῶν· διὰ δὲ τοῦ ἀκούειν καὶ πειθαρχεῖν τοῖς λεγομένοις τὸ ἀκούειν· διὰ δὲ τοῦ νοεῖν τοῖς σημαινομένοις νοήμασι, τὴν προσοχὴν καὶ τὴν θεωρίαν σημαίνων.

Στίχ. κδ'-κζ'. «Μὴ ὅλην τὴν ἡμέραν ἀροτριάσει ἀροτριῶν; ἢ σπόρον προετοιμάσει, πρὶν ἐργάσασθαι τὴν γῆν; Οὐχ ὅταν ὁμαλίσῃ τὸ πρόσωπον αὐτῆς, τότε σπείρει μικρὸν μελάνθιον ἢ κύμινον; καὶ πάλιν σπείρει πυρόν, καὶ κριθήν, καὶ κέγχρον καὶ ζέαν ἐν τοῖς ὁρίοις σου; καὶ παιδευθήσῃ κρίματι Θεοῦ σου, καὶ εὐφρανθήσῃ. Οὐ γὰρ μετὰ σκληρότητος καθαίρεται τὸ μελάνθιον, οὐδὲ τροχὸς ἁμάξης περιάξει ἐπὶ τὸ κύμινον· ἀλλὰ ῥάβδῳ τινάσσεται τὸ μελάνθιον, τὸ δὲ κύμινον μετὰ ἄρτου βρωθήσεται.»

Εἶθ' ὑποδείγματι κέχρηται φυσικῷ· ὡς γὰρ τῆς κατὰ τὴν χώραν γεωργίας ἕτερός ἐστιν ὁ καιρὸς τοῦ ἀροῦν τὴν χώραν, καὶ ἕτερος τοῦ σπείρειν σπέρματα, τῇ ὑποκειμένῃ γῇ κατάλληλα· κατὰ τὰ αὐτὰ καὶ ὁ τῶν ψυχῶν γεωργὸς τοῦ Θεοῦ Λόγος, κατὰ μὲν τὸν ἐπιτήδειον καιρὸν τὰς τῶν ἀνθρώπων ψυχὰς νεοῦσθαι βούλεται, διὰ τῆς λογικῆς διδασκαλίας σχιζούσης καὶ ἀνατεμνούσης τοὺς ἐν βάθει κρυπτομένους λογισμοὺς τῷ τοῦ λόγου ἀρότρῳ. Διὸ προστάττει λέγων· «Νεώσατε ἑαυτοῖς νεώματα, καὶ μὴ σπείρητε ἐπ' ἀκάνθαις.[1]» Ἐπειδὰν δὲ ὁμαλισθῇ

1. Ἱερ. 4, 3.

τὸ ὡσπερεὶ πρόσωπον τῆς ψυχῆς πάσης κακίας περιαιρεθείσης τῆς πάλαι ἐν αὐτῇ ἀκανθῶν δίκην φυείσης, τηνικαῦτα καταλλήλως τῇ τῶν ὑποδεχομένων τὸν σπόρον διαφορᾷ, καταβάλλει σπέρματα, τοῖς μὲν ἀσθενέστερά τινα καὶ σμικρὰ μελανθίῳ καὶ κυμίνῳ ἀναλογοῦντα· τοῖς δὲ σπουδαιότερα καὶ ἀναγκαῖα, καὶ πυρῷ καὶ κριθῇ, κέγχρῳ τε καὶ ζέᾳ παραβαλλόμενα, διὰ τὴν καὶ ἐν αὐτοῖς τούτοις πολλὴν καὶ διάφορον δύναμιν· διαιρέσεις γὰρ χαρισμάτων εἰσὶ καὶ διαιρέσεις ἐνεργημάτων εἰσί· καὶ ᾧ μὲν διὰ τοῦ Πνεύματος ταῦτα δίδοται, τῷ δὲ ἕτερα, καὶ πάλιν ἑτέρῳ τὰ ἁρμόζοντα. Ἐπειδὰν δὲ ὁ τοῦ θερισμοῦ καιρὸς ἐπιστῇ, συντέλειαν δὲ εἶναι τοῦ κόσμου τὸν θερισμὸν ὁ Σωτὴρ ἐδίδαξε· τότε κατ' ἀξίαν ἕκαστος ὧν εἴληφε σπερμάτων ἀπαιτηθήσεται τὸν καρπόν. Καὶ οἱ μὲν μέτρια εἰληφότες, μὴ καταλλήλως δὲ αὐτοῖς χρησάμενοι, παιδείας καὶ κολάσεως μετριωτέρας πεῖραν λήψονται, ὡσπερεὶ ῥάβδῳ τυπτόμενοι· οἱ δὲ μειζόνων σπερμάτων, καὶ τελειοτέρων χαρισμάτων ἠξιωμένοι, μηδένα καρπὸν ἄξιον τῆς παρασχεθείσης αὐτοῖς δυνάμεως ἀποδεδωκότες, μείζοσι τοῖς τῆς κολάσεως πρηστῆρσι παραδοθήσονται.

Στίχ. κη', κθ'. «Οὐ γὰρ εἰς τὸν αἰῶνα ἐγὼ ὑμῖν ὀργισθήσομαι, οὐδὲ φωνὴ τῆς πικρίας μου καταπατήσει ὑμᾶς. Καὶ ταῦτα παρὰ Κυρίου Σαβαὼθ ἐξῆλθε τὰ τέρατα. Βουλεύσασθε, ὑψώσατε ματαίαν παράκλησιν.»

Οὐ γὰρ οὕτως, φησί, τοῖς ἀσεβέσιν ἐπεξέρχομαι, ὡς καὶ τὴν οὐσίαν αὐτῶν ἀφανίσαι, καὶ εἰς τὸ παντελὲς ἀφανίσαι αὐτῶν τὰς ψυχάς· ἐπεὶ μηδὲ κατὰ τὸ παράδειγμα οἱ τροχοὶ τῆς ἁμάξης οἱ ἐκ σιδήρου κατεσκευασμένοι τὸν σῖτον ἀφανίζουσι· πᾶσαν δὲ τὴν περὶ αὐτὸν περιαίρουσι καλάμην, εἰς τὸ διασῶσαι καὶ καθαρὸν ἀπεργάσασθαι τὸν σῖτον.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Στίχ. α'. «Οὐαὶ Ἀριὴλ πόλις, ἣν ἐπολέμησε Δαυΐδ· συναγάγετε σπέρματα ἐνιαυτὸν ἐπ' ἐνιαυτόν· φάγεσθε γὰρ σὺν Μωάβ.»

Τὴν διὰ τῶν μετὰ χεῖρας ταλανιζομένην Ἀριὴλ καὶ αὐτοὶ οἱ Ἰουδαίων παῖδες ὁμολογοῦσι τὴν Ἱερουσαλὴμ εἶναι· φασὶ δὲ ἰδίως τὸ θυσιαστήριον τὸ πρὸ τοῦ ναοῦ συνεστός, Ἀριὴλ ὠνομάσθαι, καὶ τοῦτο δῆλον εἶναι ἀπὸ τοῦ Ἰεζεκιήλ, οὗ πρὸς τοῖς τελευταίοις ἐπὶ τῆς διαγραφῆς τῆς πόλεως οὕτως εἴρηται· «Καὶ ταῦτα τὰ μέτρα τοῦ θυσιαστηρίου ἐν πήχει πήχεως, καὶ παλαιστῆς κόλπωμα βάθος ἐπὶ πῆχυν·[1]» καὶ ἑξῆς ἐπιφέρει· «Καὶ τὸ Ἀριὴλ πήχεων τεσσάρων· καὶ ἀπὸ τοῦ Ἀριὴλ πήχεων τεσσάρων, καὶ ἀπὸ τοῦ Ἀριὴλ καὶ ὑπεράνω τῶν κεράτων πῆχυς. Καὶ τὸ Ἀριὴλ πήχεων δέκα δύο, μῆκος ἐπὶ πή-

1. Ἰεζ. 43, 13.

χεις δώδεκα· πλάτος τετράγωνον ἐπὶ τέσσαρα μέρη αὐτοῦ.» Ἑρμηνεύεσθαι δέ φασι τὸ Ἀριήλ, «λέων Θεοῦ»· ἐπειδὴ γὰρ τοῦ Θεοῦ ἦν τὸ θυσιαστήριον, κατήσθιέ τε πάντα τὰ ἐν αὐτῷ προσφερόμενα ζώων θύματα, τούτου χάριν ταύτην εἴληφε τὴν προσηγορίαν. Τὸ δέ, «Πόλις ἣν ἐπολέμησε Δαυΐδ», οὔ φασιν εἰρῆσθαι ἐν τῷ Ἑβραϊκῷ· ἀλλὰ κατὰ μὲν τὸν Ἀκύλαν, «Πολίχνη βιωτεύσεως Δαυΐδ», ἤτοι «παρεμβλήσεως·» ἀλλοφύλων γὰρ οὖσαν αὐτὴν πρότερον ὁ Δαυΐδ ὑποχείριον ἐποιήσατο, τοὺς ἀλλοφύλους ἐλάσας ἐξ αὐτῆς· ὥστε δύνασθαι ἡμᾶς καὶ τοῖς Ἑβδομήκοντα ἐφαρμόσαι τὴν διάνοιαν τὴν αὐτήν. Οὕτω γὰρ ἂν λέγοιτο· Πόλις ἣν ἐπολέμησε Δαυΐδ, ὅτε ὑπὸ ἀλλοφύλοις ἦν. Δύναται δὲ καὶ ἀντὶ τοῦ, «δι' ἣν ἐπολέμησε Δαυΐδ», λέγεσθαι. Τὸ δέ, «Συναγάγετε γεννήματα», φησίν· ὅσον γὰρ οὔπω στερηθήσεσθε πάσης λογικῆς τροφῆς. Ὡς ἔτι οὖν καιρός ἐστι, χρήσασθε τοῖς ἐνιαυτοῖς τούτοις πρὸς ὠφέλειαν τῶν ὑμετέρων ψυχῶν· καί μοι δοκεῖ διὰ τούτων αἰνίττεσθαι τὸν χρόνον τοῦ σωτηρίου κηρύγματος, καθ' ὃν ἐπιδημήσας αὐτοῖς ὁ Σωτήρ, ἐκήρυττεν ἐνιαυτὸν Κυρίου δεκτὸν καὶ ἡμέραν ἀνταποδόσεως. Τάχα δὲ καὶ δεύτερον αὐτοῖς ἐνιαυτόν, ἢ καὶ τρίτον ὡμιληκὼς φαίνεται. Αὐτὸν οὖν ἐκεῖνον καθ' ὃν παρεῖχεν αὐτοῖς τὰ περὶ τῆς τῶν οὐρανῶν βασιλείας μαθήματα, σημαίνων φησί· «Συναγάγετε γεννήματα, ἐνιαυτὸν ἐπ' ἐνιαυτὸν φάγεσθε.»

Στίχ. β'-ε'. «Ἐκθλίψω γὰρ Ἀριήλ, καὶ ἔσται αὐτῆς ἡ ἰσχὺς καὶ ὁ πλοῦτος ἐμοί. Καὶ κυκλώσω ὡς Δαυΐδ ἐπὶ σέ, καὶ βαλῶ εἰς χάρακα, καὶ οἰκοδομήσω, θήσω ἐπὶ σὲ πύργους. Καὶ ταπεινωθήσονται οἱ λόγοι σου, καὶ εἰς τὴν γῆν οἱ λόγοι σου δύσονται. Καὶ ἔσται ὡς οἱ φωνοῦντες ἐκ τῆς γῆς ἡ φωνή σου, καὶ πρὸς τὸ ἔδαφος ἡ φωνή σου ἀσθενήσει. Καὶ ἔσται ὡς κονιορτὸς ἀπὸ τροχοῦ ὁ πλοῦτος τῶν ἀσεβῶν, καὶ ὡς χνοῦς φερόμενος τὸ πλῆθος τῶν καταδυναστευόντων σε, καὶ ἔσται ὡς στιγμὴ παραχρῆμα παρὰ Κυρίου Σαβαώθ.»

Ὥσπερ γάρ ποτε ὁ Δαυΐδ παρεμβολὴν περὶ σὲ τὴν Ἱερουσαλὴμ ἐκύκλωσε, ὅτε ἀλλοφύλων ἦσθα, καὶ ἐπολέμησέ σε πόλιν οὖσαν ἀλλοφύλων· οὕτω κἀγὼ ὁ ταῦτα λέγων Κύριος νῦν σε κυκλώσω. Ἀλλοφύλων γὰρ οἰκητήριον γέγονας, πληρωθεῖσα κακῶν ἀρχόντων. Ἅπερ ἐπληροῦτο μετὰ τὰ τολμηθέντα τοῖς τὴν Ἱερουσαλὴμ οἰκοῦσι κατὰ τοῦ Σωτῆρος ἡμῶν ἀκολούθως, ὡς καὶ αὐτὸς ὁ Σωτήρ, ἀποκλαυσάμενος τότε τὴν Ἱερουσαλήμ, ἀναγέγραπται εἰρηκώς· «Εἰ ἔγνως καὶ σύ γε τὰ πρὸς εἰρήνην σου, ὅτι ἥξουσιν ἡμέραι ἐπὶ σέ, καὶ παρεμβαλοῦσιν ἐπὶ σὲ οἱ ἐχθροί σου χάρακα, καὶ κυκλώσουσί σε, καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ.[1]»

Στίχ. ς'. «Ἐπισκοπὴ γὰρ ἔσται μετὰ βροντῆς, καὶ σεισμοῦ, καὶ φωνῆς μεγάλης, καταιγὶς φερομένη, καὶ φλὸξ πυρὸς κατεσθίουσα.» Δι' ὧν ἠνίξατο ὡς ἄρα καὶ πυρίκαυστος γενήσεται ἡ πόλις, ἄνωθεν

1. Πρβλ. Λουκ. 19, 43.

ἐκ Θεοῦ βροντῆς καὶ σεισμοῦ καὶ καταιγίδος κατ' αὐτῆς ἐνεχθείσης.

Στίχ. ζ'-η'. «Καὶ ἔσται ὡς ὁ ἐνυπνιαζόμενος ἐν ὕπνῳ ὁ πλοῦτος ἐθνῶν πάντων, ὅσοι ἐπεστράτευσαν ἐπὶ 'Αριήλ, καὶ πάντες οἱ στρατευσάμενοι ἐπὶ 'Ιερουσαλήμ, καὶ πάντες οἱ συνηγμένοι ἐπ' αὐτήν, καὶ οἱ θλίβοντες αὐτήν. Καὶ ἔσονται ὡς οἱ ἐν ὕπνῳ πίνοντες, καὶ ἐσθίοντες, καὶ ἐξαναστάντων, μάταιον αὐτῶν τὸ ἐνύπνιον. Καὶ ὃν τρόπον ἐνυπνιάζεται ὁ διψῶν καὶ πίνων, καὶ ἐξαναστὰς ἔτι διψᾷ· ἡ δὲ ψυχὴ αὐτοῦ εἰς κενὸν ἤλπισεν· οὕτως ἔσται ὁ πλοῦτος τῶν ἐθνῶν πάντων, ὅσοι ἐξεστράτευσαν ἐπὶ τὸ ὄρος Σιών.»

Δι' ὧν ἠνίξατο τὴν ἀπόλαυσιν τῆς ἐν τῷ βίῳ τούτῳ τρυφῆς τῶν 'Ρωμαϊκῶν ἀρχόντων. Οὗτοι γὰρ ἦσαν οἱ τὴν ἐσχάτην πολιορκίαν ἐπαγαγόντες τῇ 'Ιερουσαλήμ. 'Εχρῆν γὰρ ἡμᾶς καὶ περὶ αὐτῶν τι μαθεῖν, καὶ ὁποῖον ἔσται καὶ τὸ αὐτῶν τέλος διδαχθῆναι. Φησὶν οὖν τὸν πλοῦτον καὶ τὴν τρυφὴν αὐτῶν μέχρι τῆς ἐνεστώσης ζωῆς ὑπάρχουσαν ἐοικέναι τοῖς κατὰ τοῖς ὕπνοις ὀνειρώττουσι καὶ μέχρι τοῦ δοκεῖν διακατέχειν ταῦτα νομίζουσι· τοιαύτην γὰρ εἶναι τὴν τοῦ παρόντος πλούτου φαντασίαν. Μετὰ γὰρ τὸν ἐνεστῶτα βίον μάταιον αὐτοῖς εὑρεθήσεται τὸ ἐνύπνιον, καὶ τὸ τέλος ἧς ἐνόμιζον ἀπολαύειν τρυφῆς.

Στίχ. θ', ι'. «'Εκλυθῆτε καὶ ἔκστητε, καὶ κραιπαλήσατε οὐκ ἀπὸ σίκερα, οὐδὲ ἀπὸ οἴνου· ὅτι πεπότικεν ὑμᾶς Κύριος πνεύματι κατανύξεως· καὶ καμμύσει τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ τῶν προφητῶν αὐτῶν, καὶ τῶν ἀρχόντων αὐτῶν, οἱ ὁρῶντες τὰ κρυπτά.»

'Επειδήπερ, ὅτε παρῆν αὐτοῖς ἐνανθρωπήσας ὁ Κύριος, ἀκοῇ ἀκούοντες αὐτοῦ, οὐ συνίεσαν, καὶ βλέποντες αὐτὸν ὀφθαλμοῖς, τῇ ὁράσει τῆς ψυχῆς οὐχ ἑώρων, καὶ τὰ ὦτα αὐτῶν ἐβάρυναν τοῦ μὴ ἀκούειν, ποτίσει αὐτοὺς Κύριος πνεύματι κατανύξεως.

Στίχ. ια'. «Καὶ ἔσονται ὑμῖν τὰ ῥήματα πάντα ταῦτα, ὡς οἱ λόγοι τοῦ βιβλίου τοῦ ἐσφραγισμένου τούτου, ὃ ἐὰν δῶσιν αὐτὸ ἀνθρώπῳ ἐπισταμένῳ γράμματα λέγοντες· 'Ανάγνωθι ταῦτα, καὶ ἐρεῖ, Οὐ δύναμαι ἀναγνῶναι· ἐσφράγισται γάρ.»

Περὶ τῶν μετὰ ταῦτα προεστάναι δοκούντων τοῦ ἐκ περιτομῆς λαοῦ διέρχεται θεσπίζων· «Καὶ ἔσονται ὑμῖν πάντα τὰ ῥήματα τοῦ βιβλίου», οὐ μὴν καὶ συνιέντες αὐτά· μηδὲν γὰρ διαφέρειν αὐτὰ τῶν κατεσφραγισμένων σφραγῖσι, πρὸς τὸ μὴ δύνασθαί τινα τὸν ἐκ τοῦ 'Ιουδαίων λαοῦ τὰ ἐγγεγραμμένα διαγινώσκειν· οὕτως αὐτοῖς ἀγνώστους ἔσεσθαι τοὺς προφητικοὺς λόγους κἄν τε ἀπαγγέλληται αὐτοῖς ἀπὸ στόματος, κἄν τε ἄπειροι ὦσιν αὐτῶν.

Στίχ. ιβ'. «Καὶ δοθήσεται τὸ βιβλίον τοῦτο εἰς χεῖρας ἀνθρώπου μὴ ἐπισταμένου γράμματα· καὶ ἐρεῖ αὐτῷ, 'Ανάγνωθι τοῦτο· καὶ ἐρεῖ, Οὐ δύναμαι ἀναγνῶναι, οὐκ ἐπίσταμαι γράμματα.»

Τοιοῦτον δὲ ἔσεσθαι τὸν προφητικὸν νοῦν, οὐ πᾶσιν ἀνθρώποις, ἀλλὰ μόνοις αὐτοῖς, πρὸς οὓς ταῦτα ἐθεσπίζετο. Πρόσχες γὰρ ἐπιμελῶς ὅπως εἴρηται· «Καὶ ἔσται ὑμῖν τὰ ῥήματα ταῦτα·» ὑμῖν γάρ φησι

τοῖς παροῦσι, καὶ ὁρῶσι, καὶ ἀκούουσιν. «Ὁ δὲ λόγος ἦν λόγος πρὸς Ἰουδαίους, οἷς τὸν νοῦν τῆς προφητείας ἄγνωστον ὑποκαταβὰς διδάσκει δι' ὧν ἐπιλέγει· «Καὶ ἀκούσονται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κωφοὶ λόγους βιβλίου, καὶ ὀφθαλμοὶ τυφλῶν ὄψονται, καὶ ἀγαλλιάσονται.»

Στίχ. ιγ', ιδ'. «Καὶ εἶπε Κύριος· Ἐγγίζει μοι ὁ λαὸς οὗτος ἐν τῷ στόματι αὐτοῦ, καὶ ἐν τοῖς χείλεσιν αὐτῶν τιμῶσί με· ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ. Μάτην δὲ σέβονταί με, διδάσκοντες ἐντάλματα ἀνθρώπων καὶ διδασκαλίας. Διὰ τοῦτο ἰδοὺ προσθήσω τοῦ μεταθεῖναι τὸν λαὸν τοῦτον, καὶ μεταθήσω αὐτόν.»

Καὶ ἐπειδὴ σοφίαν ἀνθρώπων προβάλλονται, τὴν ἐμὴν μὲν ἀποστρέφοντες σοφίαν καὶ τὸν ἐμὸν λόγον, ἑτέρας δέ τινας παραδόσεις τῶν παρ' αὐτοῖς πρεσβυτέρων, ὥσπερ τινῶν σοφῶν κατέχοντες· τούτου χάριν τὰς μὲν ἐμὰς Γραφὰς οὐ συνήσουσιν. «Ἐγὼ δὲ αὐτὸς τῶν σοφῶν αὐτῶν τὴν σοφίαν ἀπολῶ, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω.»

Στίχ. ιε'. «Οὐαὶ οἱ βαθεῖαν βουλὴν ποιοῦντες, καὶ οὐ διὰ Θεοῦ. Οὐαὶ οἱ ἐν κρυφῇ βουλὴν ποιοῦντες, καὶ ἔσται ἐν σκότει τὰ ἔργα αὐτῶν· καὶ ἐροῦσι, Τίς ἑώρακεν ἡμᾶς; καὶ τίς ἡμᾶς γνώσεται, ἢ ἃ ἡμεῖς ποιοῦμεν;»

Εἶτ' ἐπειδήπερ θεοσεβεῖν ἐπαγγελλόμενοι τοῖς χείλεσιν, ἐν τῷ κρυπτῷ τὰ χείριστα διεπράττοντο, φαρμακείαις καὶ ἀκαθαρσίαις, καὶ ἄλλαις μυρίαις ἀθεμίτοις πράξεσι συμφυρόμενοι· πᾶσι δὲ τούτοις ἐνεχείρουν ὡς μὴ ἐφορῶντος τοῦ Θεοῦ· εἰκότως αὐτοὺς ταλανίζει ταῦτα λέγων·

Στίχ. ις'. «Οὐχ ὡς πηλὸς τοῦ κεραμέως λογισθήσεσθε; Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι αὐτό, Οὐ σύ με ἔπλασας; ἢ τὸ ποίημα τῷ ποιήσαντι, Οὐ συνετῶς με ἐποίησας;»

Εἰ γὰρ δὴ πάντες ἄνθρωποι πηλῷ κεραμέως ἐοίκαμεν διὰ τὸ πήλινον ἡμῶν σῶμα, πῶς οὐχ ἕπεται νοεῖν, ὅτι μὴ δυνατὸν λαθεῖν τὸν ποιητήν, ὁποίας ἐργασίας ὑπάρχει τὸ ὑπ' αὐτοῦ πεποιημένον; Τίς δύναται, ἢ τίς τολμήσει φάναι, ὅτι μὴ ὁ Θεὸς αὐτὸν ἔπλασεν; Εἰ δὲ οὐκ ἂν εἴποι ταῦτά ποτε περὶ τοῦ κεραμέως ὁ ὑποκείμενος αὐτῷ πηλός, δῆλον, ὡς μάταιοι πάντες οἱ ἔνδον τῇ ψυχῇ αὐτῶν βουλὴν βαθεῖαν διανοούμενοι, καὶ τὸν Θεὸν οἰόμενοι ἀγνοεῖν τὰ ἐν τῷ σκότῳ πραττόμενα αὐτοῖς ἔργα.

Στίχ. ιζ'. «Οὐκέτι μικρὸν καὶ μετατεθήσεται ὁ Λίβανος, ὡς τὸ ὄρος τὸ Χέρμελ, καὶ τὸ Χέρμελ εἰς δρυμὸν λογισθήσεται;»

Λίβανον μὲν τὸν ἐξ ἐθνῶν λαόν, Κάρμηλον δὲ τὸ Ἰουδαίων ἔθνος. Ἔσεσθαι τοίνυν προφητεύει τὸ μὲν Ἰουδαίων ἔθνος οἷόν τινα δρυμὸν ξύλων ἀγρίων καὶ ἀκάρπων· τὸν δὲ πάλαι δρυμῷ ἐοικότα Λίβανον, τὸν ἐξ ἐθνῶν λαόν, ὁποῖος ἦν ποτε ὁ Ἰουδαίων λαός, πεπληρωμένος δένδρων ἀγαθῶν καὶ παντοίων φυτῶν τε καὶ καρπῶν.

Στίχ. ιη'. «Καὶ ἀκούσονται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κωφοὶ λόγους

βιβλίου, καὶ οἱ ἐν τῷ σκότει, καὶ οἱ ἐν τῇ ὁμίχλῃ· ὀφθαλμοὶ τυφλῶν ὄψονται.»

Ποίας δὲ βίβλου, ἢ ταύτης αὐτῆς τῆς μετὰ χεῖρας, περὶ ἧς ἀνωτέρω ἐλέγετο· «Ὑμῖν τὰ ῥήματα ταῦτα πάντα, ὡς οἱ λόγοι τοῦ βιβλίου τοῦ ἐσφραγισμένου τούτου.» Ἀλλὰ τῷ μέν ποτε Καρμήλῳ, μεταβληθέντι δὲ εἰς δρυμόν, ἔσονται οἱ λόγοι τοῦ βιβλίου τῆς προφητείας ἐσφραγισμένοι· τοῖς δὲ πάλαι τυφλοῖς καὶ ἐν τῷ δρυμῷ τοῦ Λιβάνου λελογισμένοις, μεταβληθεῖσιν ἐπὶ τὸ ἥμερον καὶ καρποφόρον, ἀκουστοὶ γενήσονται οἱ λόγοι τῶν θείων γραμμάτων· καὶ οἱ πάλαι δὲ ὄντες ἐν τῷ σκότει καὶ ἐν τῇ ὁμίχλῃ, ὥστε μὴ βλέπειν μήτε συνιέναι, μήτε νοεῖν, διὰ τὸ τυφλοὺς ἔχειν τοὺς ὀφθαλμούς, οὗτοι, παραδόξου μεταβολῆς ἀξιωθέντες, θεωροὶ γενήσονται τῶν ἐναποκειμένων ἐν τοῖς θείοις γράμμασι μυστηρίων.

Στίχ. ιθ'. «Καὶ ἀγαλλιάσονται πτωχοὶ διὰ Κύριον ἐν εὐφροσύνῃ, καὶ οἱ ἀπηλπισμένοι τῶν ἀνθρώπων ἐμπλησθήσονται εὐφροσύνης.»

Τίς γὰρ καὶ διενοήθη πώποτε τοὺς ἐκ πατέρων εἰδωλολάτρας, ἀθέους ὄντας καὶ ἀσεβεῖς καὶ ἀλλοτρίους τῆς γνώσεως τοῦ Θεοῦ, εἰς τοιαύτην ἥξειν ἐλπίδα; Ὅμως δ' οὖν καὶ «οἱ ἀπηλπισμένοι», φησί, «τῶν ἀνθρώπων ἐμπλησθήσονται εὐφροσύνης.»

Στίχ. κ'. «Ἐξέλιπεν ἄνομος, καὶ ἀπώλετο ὑπερήφανος, καὶ ἐξωλοθρεύθησαν οἱ ἀνομοῦντες ἐπὶ κακίᾳ.»

Τούτων ἀπολαύσουσιν οὗτοι πάντες, ἐπειδὴ ὁ πάλαι κρατῶν αὐτῶν καὶ τυραννῶν, ἄνομός τις καὶ ἀσεβὴς ἄρχων, λέγω δὴ αὐτὸς ὁ διάβολος, ἐξέλιπεν καὶ ἀπώλετο μακρὰν διωχθείς, ὁ πάλαι καταδουλωσάμενος αὐτοὺς ὑπερήφανος· ἀλλὰ καὶ οἱ ὑπὸ τούτῳ ἀσεβοῦντες ἐπὶ ἀδικίᾳ ἐξωλοθρεύθησαν, δηλαδὴ οἱ πονηροὶ δαίμονες.

Στίχ. κα'. «Οἱ ποιοῦντες ἀνθρώπους ἁμαρτάνειν ἐν λόγῳ. Πάντας δὲ τοὺς ἐλέγχοντας ἐν πύλαις πρόσκομμα θήσουσιν· ὅτι ἐπλαγίασαν ἐπ' ἀδίκοις δίκαιον.»

Τοὺς γὰρ προφήτας εἰς πρόσωπον αὐτοὺς ἐλέγχοντας, καὶ τῶν ἁμαρτημάτων ἐπιστρέφοντας, ἐπαγίδευον, λαβὰς κατ' αὐτῶν θηρώμενοι, ὅπως αὐτοὺς ἀπολέσωσι.

Στίχ. κβ', κγ'. «Διὰ τοῦτο τάδε λέγει Κύριος ἐπὶ τὸν οἶκον Ἰακώβ, ὃν ἀφώρισεν ἐξ Ἀβραάμ· Οὐ νῦν αἰσχυνθήσεται Ἰακώβ, οὐδὲ νῦν τὸ πρόσωπον μεταβαλεῖ· ἀλλ' ὅταν ἴδωσι τὰ τέκνα αὐτῶν τὰ ἔργα μου, δι' ἐμὲ ἁγιάσουσι τὸ ὄνομά μου, καὶ ἁγιάσουσι τὸν Ἅγιον Ἰακώβ, καὶ τὸν Θεὸν τοῦ Ἰσραὴλ φοβηθήσονται.»

Ὑμᾶς δὲ λέγω, τὸν καλούμενον οἶκον Ἰακώβ, ὃν οὐκ ἄξιον ὄντα τοῦ θεοφιλοῦς ἐκείνου Ἀβραὰμ ἀφώρισε, καὶ ἀπηλλοτρίωσεν αὐτοὺς ὁ Θεός, διὰ τὸ μὴ τοῖς ἔργοις ἀξίους τοῦ Ἀβραὰμ καταστῆσαι ἑαυτούς. Τὰ γὰρ τέκνα τοῦ Ἀβραὰμ διὰ τῶν ἔργων γνωρίζεται, ὡς ἐδίδαξεν ὁ Σωτὴρ εἰπών· «Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ

Ἀβραὰμ ἐποιεῖτε.[1]» Τίς δ' ἂν εἴη οὗτος ὁ καιρός, ἢ ὁ τῆς ἐκβάσεως τῶν ἐμῶν λόγων, καθ' ὃν τὰ τέκνα τὰ ὑμέτερα τοὺς ἀλλογενεῖς καὶ ἀλλοτρίους τοῦ ἡμετέρου γένους ὄψονται δοξάζοντας τὸ ἐμὸν ὄνομα; Τότε γὰρ αὐτὰ τὰ ὑμέτερα τέκνα καταισχυνθήσεται καὶ διατραπήσεται, ὁρῶντα τὸ παράδοξον τῆς τῶν ἐθνῶν μεταβολῆς, καὶ ὡς ἀλλόφυλοί τινες ἄνδρες τὸν Ἅγιον τοῦ Ἰσραὴλ καὶ τὸν Θεὸν τοῦ Ἰακὼβ ἁγιάζουσι, καὶ φόβον ἀναλάβονται τοῦ ἐπὶ πάντων Θεοῦ.

Στίχ. κδ'. «Καὶ γνώσονται οἱ πλανώμενοι τῷ πνεύματι σύνεσιν· οἱ δὲ γογγύζοντες μαθήσονται ὑπακούειν, καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι μαθήσονται λαλεῖν εἰρήνην.»

Αἱ γλῶσσαι αἱ ψελλίζουσαι καὶ μηδὲν τρανὸν μηδὲ ἀληθὲς λαλεῖν δυνάμεναι, εἰς τὸ κατὰ φύσιν ἐλθοῦσαι, τρανώτατα λαλήσουσι, μαθοῦσαι εἰρήνης λόγους, ὡς ἂν παντὸς ἀπηλλαγμέναι πολέμου, καὶ τὴν πρὸς Θεὸν εἰρήνην ἀσπασάμεναι.

ΚΕΦΑΛΑΙΟΝ Λ'.

Στίχ. α'-ε'. «Οὐαὶ τέκνα ἀποστάται, λέγει Κύριος. Ἐποιήσατε βουλήν, οὐ δι' ἐμοῦ, καὶ συνθήκας οὐ διὰ τοῦ πνεύματός μου, προσθεῖναι ἁμαρτίας ἐφ' ἁμαρτίας, οἱ πορευόμενοι καταβῆναι εἰς Αἴγυπτον, ἐμὲ δὲ οὐκ ἐπηρώτησαν, τοῦ βοηθηθῆναι ὑπὸ Φαραώ, καὶ σκεπασθῆναι ὑπὸ Αἰγυπτίων. Ἔσται γὰρ ὑμῖν σκέπη Φαραὼ εἰς αἰσχύνην, καὶ τοῖς πεποιθόσιν ἐπ' Αἴγυπτον ὄνειδος· ὅτι εἰσὶν ἐν Τάνει ἀρχηγοί, ἄγγελοι πονηροί. Μάτην κοπιάσουσι πρὸς λαόν, ὃς οὐκ ὠφελήσει αὐτοὺς εἰς βοήθειαν, ἀλλὰ εἰς αἰσχύνην καὶ ὄνειδος.»

Σαφῶς παριστᾷ γεγονέναι τότε παρ' Αἰγυπτίοις δαίμονας, ἀγγέλους πονηροὺς ὀνομάζει αὐτούς, οἳ μάλιστα ἐνήργουν τὰ πολλὰ ἐν τῇ καλουμένῃ πόλει τῆς Αἰγύπτου Τάνει, ἔνθα τὸ βασίλειον τοῦ Φαραὼ κατ' ἐκεῖνο ἵδρυτο. Πλὴν ἀλλὰ καὶ οὗτοι, φησίν, οἱ ἐν Τάνει ἀρχηγοί, ἄγγελοι πονηροὶ οὐδὲν ὠφελήσουσιν εἰς τὸ ἐπαμῦναι τοῖς προσφυγοῦσιν αὐτοῖς, καὶ τὴν ἐξ αὐτῶν βοήθειαν ἀνακαλεσαμένοις. Καὶ αὐτοῖς ἔργοις ἐπληροῦτο καθ' ὃν χρόνον ὁ τῶν Βαβυλωνίων βασιλεύς, ὑποχείριον ποιησάμενος τὴν Αἴγυπτον, οὐ μόνους Αἰγυπτίους, ἀλλὰ καὶ τῶν Ἰουδαίων τοὺς πρόσφυγας αὐτοὺς γενομένους, πολεμῶν ὁμοῦ ἐξηνδραποδίσατο. Τὸ τηνικαῦτα γὰρ ἡ ἐπὶ Φαραὼ τῶν Ἰουδαίων ἐλπὶς εἰς αἰσχύνην καὶ ὄνειδος αὐτοῖς περιετράπη.

Στίχ. ς'. «Ἡ ὅρασις τῶν τετραπόδων τῶν ἐν τῇ ἐρήμῳ.»

(Σύμμαχος, «Λῆμμα κτηνῶν Νότου»). Ἐν τῇ θλίψει καὶ τῇ στενοχωρίᾳ λέων καὶ σκύμνος λέοντος, ἐκεῖθεν καὶ ἀσπίδες καὶ ἔκγονα ἀσπίδων πετομένων, οἳ ἔφερον ἐπὶ ὄνων καὶ καμήλων τὸν πλοῦτον αὐτῶν πρὸς ἔθνος, ὃ οὐκ ὠφελήσει αὐτούς·» διὰ τὸ ἔρημον εἶναι πᾶσαν

1. Ἰω. 8, 39.

Θεοῦ, πεπληρῶσθαι τετραπόδων τῶν παρ' αὐτοῖς θεοποιουμένων, καὶ τῶν παρ' αὐτοῖς ἐνεργούντων δαιμόνων. Αὕτη τοίνυν ἡ ὅρασις τῶν τετραπόδων τῶν ἐν τῇ Αὐγυπτίων ἐρημίᾳ ἐθεωρεῖτο τῷ προφήτῃ, καὶ τούτοις οἱ πρόσφυγες τῶν Ἰουδαίων ἐπεκόμιζον τὸν ἑαυτῶν πλοῦτον· τὰ γὰρ ταμιεῖα τῆς ἑαυτῶν ψυχῆς τῇ Αἰγυπτιακῇ παρέδοσαν πλάνῃ.

Στίχ. ζ'-θ'. «Αἰγύπτιοι μάταια καὶ κενὰ ὠφελήσουσιν ὑμᾶς. Ἀπάγγειλον αὐτοῖς, ὅτι ματαία ἡ παράκλησις ὑμῶν αὕτη. Νῦν οὖν καθίσας γράψον ἐπὶ πυξίου ταῦτα, καὶ εἰς βιβλίον, ὅτι ἔσται εἰς ἡμέρας ταῦτα καιρῷ, καὶ ἕως τὸν αἰῶνα· ὅτι ὁ λαὸς ἀπειθής ἐστιν, υἱοὶ ψευδεῖς, οἳ οὐκ ἠβούλοντο ἀκούειν τὸν νόμον τοῦ Θεοῦ.»

Τῆς ἀλογίας καὶ ἀφροσύνης αὐτῶν οὕτω πως δηλουμένης. Οὔτε γὰρ οἱ αἰσθητοὶ Αἰγύπτιοι, οὔτε οἱ τούτων νομιζόμενοι θεοί, βοηθήσειν ἔμελλον τῷ προσφυγόντι αὐτοῖς Ἰουδαίων λαῷ. Κατὰ γὰρ πολλὴν στενοχωρίαν ψυχῆς καὶ καθ' ὑπερβολὴν θλίψεως τοὺς παρ' αὐτοῖς ἀνηγόρευον θεούς· αὐτοὺς δὴ ἐκείνους τοὺς τὰς ψυχὰς αὐτῶν θλίβοντας καὶ στενοχωροῦντας πονηροὺς δαίμονας· ἐν οἷς ἦσαν λέοντες καὶ ἀσπίδες, καὶ τούτων ἔκγονα, καὶ ὄφεις, καὶ ἄλλα μυρία ἑρπετά τε καὶ θηρία· ὧν εἰκόνες ἦσαν καὶ τὰ αἰσθητὰ ζῷα καθ' ὅλης τῆς Αἰγύπτου θεοποιούμενα. Καὶ γὰρ λέοντας ἀληθῶς καὶ ἀσπίδας, καὶ ὄφεις καὶ ἄλλα μυρία οἷα θεοὺς τετιμήκασι. Ἤδη γοῦν ἀπὸ τῆς τῶν νομιζομένων αὐτοῖς θεῶν ἐπωνυμίας καὶ τὰς πόλεις κεκλήκασιν, ἀπὸ τοῦ λέοντος, τὴν Λεοντώ, ἀπὸ δὲ τοῦ κυνὸς τὴν Κυνώ, καὶ ἀπὸ ἄλλου πάλιν θηρὸς ἑτέραν πόλιν.

Στίχ. ι', ια'. «Οἱ λέγοντες τοῖς προφήταις, Μὴ ἀναγγέλλετε ἡμῖν· καὶ τοῖς ὁράματα ὁρῶσι, Μὴ λαλεῖτε ἡμῖν· ἀλλὰ ἡμῖν λαλεῖτε καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν· καὶ ἀποστρέψατε ἡμᾶς ἀπὸ τῆς ὁδοῦ ταύτης. Ἀφέλετε ἀφ' ἡμῶν τὸν τρίβον τοῦτον, καὶ ἀφέλετε ἀφ' ἡμῶν τὸ λόγιον τοῦ Ἰσραήλ.»

Ταῦτα γὰρ οἱ μὴ πιστεύσαντες ταῖς τοῦ Ἱερεμίου φωναῖς πρὸς αὐτὸν καὶ τοὺς τὰ ὅμοια αὐτῷ φρονοῦντας ἔλεγον.

Στίχ. ιβ'-ις'. «Διὰ τοῦτο τάδε λέγει Κύριος ὁ ἅγιος Ἰσραήλ· Ὅτι ἠπειθήσατε τοῖς λόγοις τούτοις, καὶ ἠλπίσατε ἐπὶ ψεύδει, καὶ ὅτι ἐγόγγυσας, καὶ πεποιθὼς ἐγένου ἐπὶ τῷ λόγῳ τούτῳ· διὰ τοῦτο ἔσται ὑμῖν ἡ ἁμαρτία αὕτη ὡς τεῖχος πῖπτον παραχρῆμα πόλεως ὀχυρᾶς ἑαλωκυίας, ἧς παραχρῆμα πάρεστι τὸ πτῶμα· καὶ τὸ πτῶμα αὐτῆς ἔσται ὡς σύντριμμα ἀγγείου ὀστρακίνου ἐκ κεραμίου λεπτά, ὥστε μὴ εὑρεῖν ἐν αὐτοῖς ὄστρακον, ἐν ᾧ πῦρ ἀρεῖς, καὶ ἐν ᾧ ἀποσυριεῖς ὕδωρ μικρόν. Οὕτω λέγει Κύριος Κύριος, ὁ Ἅγιος τοῦ Ἰσραήλ· Ὅταν ἀποστραφεὶς στενάξῃς, τότε σωθήσῃ, καὶ γνώσῃ ποῦ ἦσθα, ὅτε ἐπεποίθεις ἐπὶ τοῖς ματαίοις· ματαία ἡ ἰσχὺς ὑμῶν ἐγενήθη· καὶ οὐκ ἠβούλεσθε ἀκούειν· ἀλλ' εἴπατε, Ἐφ' ἵππων φευξόμεθα· διὰ τοῦτο φεύξεσθε· καὶ ἐπὶ κούφοις ἀναβάταις ἐσόμεθα.»

Φεύξεσθε μέν· ποῦ μὴν διαφυγεῖν δυνήσεσθε τὴν τῶν Βαβυλωνίων

χεῖρα, καταληψομένην ὑμᾶς, καὶ ἐν αὐτῇ ἔχουσαν; «Διὰ τοῦτο κοῦφοι ἔσονται οἱ διώκοντες ὑμᾶς.»

Στίχ. ιζ'. «Χίλιοι διὰ φωνὴν ἑνὸς φεύξονται, καὶ διὰ φωνὴν πέντε φεύξονται πολλοί, ἕως ἂν καταλειφθῆτε ὡς ἱστὸς ἐπ' ὄρους, καὶ ὡς σημαίαν φέρων ἐπὶ βουνοῦ.»

Ὥσπερ νηὸς παραπεσούσης καὶ ἀπολομένης ἐν θαλάττῃ σημεῖον τυγχάνει ἀποτεθεὶς ἐπ' ἄκρου ὄρους ἱστός, τοῦ μηκέτι αὐτοῦ χρείαν εἶναι· οὕτως ἐπίσημον γενήσεσθαι τὴν ἀπώλειαν τῶν δηλουμένων· πλὴν οὐ πάντῃ πάντας ἀπολεῖσθαί φησι, περιλειφθήσεσθαι δὲ βραχεῖς τινας, οὓς ἐλεήσας ὁ Θεός, καὶ οἶκτον λαβὼν διασώζει δοξαζόμενος, καὶ ὑψούμενος διὰ τοῦ ἐλεῆσαι αὐτούς· οὕτω γὰρ αὐτὸν κριτὴν δίκαιον εἶναι, ὡς τοὺς μὲν ἀξίους τιμωρίας κολάζειν, τοὺς δὲ δυναμένους ἐλέου τυχεῖν, τῆς παρ' αὐτοῦ καταξιοῦν σωτηρίας. Διό φησι·

Στίχ. ιη'. «Καὶ πάλιν μένει ὁ Θεὸς τοῦ οἰκτειρῆσαι ὑμᾶς· καὶ διὰ τοῦτο ὑψωθήσεται τοῦ ἐλεῆσαι ὑμᾶς· διότι κριτὴς Κύριος ὁ Θεὸς ὑμῶν. Μακάριοι οἱ ἐμμένοντες ἐν αὐτῷ.»

Δίκαιος γὰρ ὢν κριτής, τοὺς μὲν ἀξίους αἰχμαλωσίᾳ παρεδίδου· οὓς δὲ δίκαιον ἐλεεῖν, ἔσωζεν· ὅθεν καὶ μακάριόν ἐστι τὸ ἐμμένειν ἐν αὐτῷ· ἢ κατὰ τὸν Σύμμαχον, «ὑπομένειν αὐτόν.» Καλὸν γὰρ τὸ μὴ λειποτακτεῖν, καὶ μὴ ἀπογινώσκειν τὴν τοῦ Θεοῦ βοήθειαν ἐν ταῖς καταλαμβανούσαις συμφοραῖς. Ὡς δίκαιος τοιγαροῦν κριτής, καὶ ὡς ἀγαθὸς πάλιν οἰκτειρήσει· ὡς τὴν Σιὼν καὶ τὴν Ἱερουσαλὴμ δεύτερον οἰκοδομηθῆναι, καὶ αὖθις ἐν αὐτῇ κατοικῆσαι λαόν.

Στίχ. ιθ'. «Διότι λαὸς ἅγιος ἐν Σιὼν οἰκήσει, καὶ Ἱερουσαλὴμ κλαυθμῷ οὐκ ἔκλαυσεν. Ἐλέησόν με· ἐλεήσει σε. Τὴν φωνὴν τῆς κραυγῆς σου ἡνίκα εἶδεν, ἐπήκουσέ σου.»

Οὕτω γὰρ περιέχει ἡ Ἑβραϊκὴ λέξις· διὸ κατὰ τὸν Σύμμαχον εἴρηται· «Ἱερουσαλήμ, κλαυθμὸν οὐ κλαύσεις·» ὁμοίως δὲ καὶ κατὰ τὸν Θεοδοτίωνα εἴρηται· «Ἐν Ἱερουσαλὴμ κλαυθμὸς οὐ κλαυσθήσεται.» Οὐκέτι γὰρ ἦν καιρὸς κλαυθμοῦ τοῖς διὰ τὸν ἔλεον τοῦ Θεοῦ ἀπολαβοῦσι τὸ πατρῷον ἔδαφος, καὶ ἐπὶ τούτῳ χαίρουσι καὶ εὐφραινομένοις, κατὰ τὸ εἰρημένον· «Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δράγματα αὐτῶν.[1]» Ἁγίους δὲ καλεῖ τοὺς διὰ τῆς μετανοίας τὸν ἁγιασμὸν ἐφελκυσαμένους. Κλαίουσαν δὲ τὴν Ἱερουσαλὴμ εἰσάγει ὁ προφήτης, προανατυπῶν αὐτὴν τοιαύτην κατὰ νοῦν ἑαυτοῦ τοῖς τῆς συμπαθείας σπάγγνοις. Ἀντὶ δὲ τοῦ, «Τὴν φωνὴν τῆς κραυγῆς σου ἡνίκα εἶδεν, ἐπήκουσέ σου», ὁ Σύμμαχός φησι, «Τὴν φωνὴν τῆς βοῆς σου, καθὼς ἂν ἀκουσθῇ, ἀκούει σου.» Ὅμοιον δὲ τούτῳ, «Κατὰ τὴν πίστιν σου γενηθήτω σοι», εἰωθότι λέγεσθαι ὑπὸ τοῦ Σωτῆρος. Νῦν μὲν γάρ, φησίν, οὐκ ἔκλαυσε, καθ' ἕτερον δὲ καιρὸν τοῦτο ποιεῖ. Πλὴν ὁ λόγος παραινεῖ αὐτῇ βοᾶν πρὸς τὸν Θεὸν πάν-

1. Ψαλμ. 125, 6.

τοτε. «Πρὸς τὴν φωνήν σου», φησίν, «ἀποκριθήσεταί σοι ὁ Θεός.»

Στίχ. κ', κα'. «Καὶ δώσει Κύριος ὑμῖν ἄρτον θλίψεως, καὶ ὕδωρ στενόν· καὶ οὐκέτι μὴ ἐγγίσωσί σοι οἱ πλανῶντές σε· ὅτι οἱ ὀφθαλμοί σου ὄψονται τοὺς πλανῶντάς σε· καὶ τὰ ὦτά σου ἀκούσονται τοὺς λόγους τῶν ὀπίσω σε πλανησάντων· οἱ λέγοντες· Αὕτη ἡ ὁδός, πορευθῶμεν ἐν αὐτῇ, εἴτε δεξιά, εἴτε ἀριστερά.»

Διδάσκει δὲ διὰ τούτων, ὡς ἐν μὲν τῇ ἀρχῇ τῆς ἐπανόδου πολλῆς θλίψεως μετέσχον οἱ ἀπὸ τῆς γῆς πολεμίας ἐπανελθόντες, τῶν περιχώρων θλιβόντων αὐτούς, ὡς καὶ τὸ ἔργον ἐπισχεῖν τῆς οἰκοδομῆς τοῦ ἱεροῦ. Τοῦτο οὖν καὶ ἐν τῇ ἱστορίᾳ ἐν τῇ βίβλῳ τοῦ Ἔσδρα διδάσκει. Διὸ οὐκέτι πλανήσουσί σε· εἰ γὰρ καὶ πειραθεῖεν τοῦτο πρᾶξαί τινες, ἀλλ' οἱ ὀφθαλμοί σου ὄψονται αὐτούς. Ἰδόντες δὲ αὐτοὺς καὶ νοήσαντες, οὐ πλανηθήσονται. Καὶ πάλιν εἰ πειραθεῖεν ἑτέροις λόγοις ἀπατηλοῖς διαστροφὰς πρὸς ὑμᾶς λαλεῖν, καὶ τούτων τὰ ῥήματα οὐ παραδέξονται τὰ ὦτά σου· κἂν ἀπατῶντες λέγοιεν· «Αὕτη ἡ ὁδός, πορευθῶμεν ἐν αὐτῇ, εἴτε δεξιά, εἴτε ἀριστερά·» οὐ πεισθήσῃ γὰρ αὐτοῖς λέγουσι ταῦτα· ἀλλ' ὁδῷ βασιλικῇ πορεύσῃ, τὴν μέσην ὁδεύων, καὶ μὴ ἐκκλίνων μήτε εἰς δεξιὰ μήτε εἰς ἀριστερά.

Στίχ. κβ'-κε'. «Καὶ μιανεῖς τὰ εἴδωλα τὰ περιηργυρωμένα, καὶ περικεχρυσωμένα λεπτὰ ποιήσεις, καὶ λικμήσεις ὡς ὕδωρ ἀποκαθημένης, καὶ ὡς κόπρον ὤσεις αὐτά. Τότε ἔσται ὁ ὑετὸς τῷ σπέρματι τῆς γῆς σου, καὶ ὁ ἄρτος τοῦ γεννήματος τῆς γῆς σου ἔσται πλησμονὴ καὶ λιπαρός.»

Πάντα εἰς σὲ πληρωθήσεται ἐν εὐθηνίᾳ πολλῇ, καὶ βαθυτάτῃ εἰρήνῃ τὴν ζωὴν διατελοῦντι· ὡς καὶ παρὰ σοὶ ζῷα, καὶ μάλιστα τὴν χώραν γεωργοῦντα, πληροῦσθαι τῆς αὐτοῖς κατὰ φύσιν τροφῆς.

«Καὶ βοσκηθήσεταί σου τὰ κτήνη τῇ ἡμέρᾳ ἐκείνῃ τόπον πίονα καὶ εὐρύχωρον. Οἱ ταῦροι ὑμῶν καὶ οἱ βόες οἱ ἐργαζόμενοι τὴν γῆν φάγονται ἄχυρα ἀναπεποιημένα ἐν κριθῇ λελικμημένῃ. Καὶ ἔσται ἐπὶ παντὸς ὄρους ὑψηλοῦ καὶ ἐπὶ παντὸς βουνοῦ μετεώρου ὕδωρ διαπορευόμενον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅταν ἀπόλωνται πολλοί, καὶ ὅταν πέσωσι πύργοι», ἢ κατὰ τὸν Σύμμαχον, «ἐν ἡμέρᾳ σφαγῆς πολλῆς, ἐν τῷ πεσεῖν μεγάλους.» Πότε δὲ ἔσται ἡ πολλὴ σφαγή, καὶ πότε πεσοῦνται οἱ μεγάλοι, ἢ κατὰ τὸν καιρὸν τῆς καθόλου κρίσεως τῆς μετὰ τὴν συντέλειαν τοῦ αἰῶνος τούτου γεγενημένης; Διὸ εἴρηται κατὰ τοὺς Ἑβδομήκοντα, «Ὅταν πέσωσι πύργοι, καὶ ὅταν ἀπόλωνται πολλοί.» Πολλοὶ γὰρ κατ' ἐκεῖνον ἀπολοῦνται τὸν χρόνον, ἐν ᾧ καὶ τὰ ἐπηγγελμένα τοῖς ἀξίοις ἀποδοθήσεται. Ἐνταῦθα οὔτε τοῦ Ἰσραὴλ μνημονεύει, οὐδὲ ὅλως τῶν Ἰουδαίων, ἀλλὰ τοῦ λαοῦ αὐτοῦ· ὡς πάντας τοὺς ἀξίους χρηματίζειν λαὸν Θεοῦ, τῆς ἐπαγγελίας ἐξαπλουμένης.

Στίχ. κς', κζ'. «Καὶ ἔσται τὸ φῶς τῆς σελήνης ὡς τὸ φῶς τοῦ ἡλίου, καὶ τὸ φῶς τοῦ ἡλίου ἔσται ἑπταπλάσιον ἐν τῇ ἡμέρᾳ, ὅταν ἰάσηται Κύριος τὸ σύντριμμα τοῦ λαοῦ αὐτοῦ, καὶ τὴν ὀδύνην τῆς

πληγῆς σου ἰάσεται. Ἰδοὺ τὸ ὄνομα Κυρίου ἔρχεται διὰ πολλοῦ χρόνου, καιόμενος θυμὸς μετὰ δόξης. Τὸ λόγιον τῶν χειλέων αὐτοῦ, λόγιον ὀργῆς πλῆρες, καὶ ἡ ὀργὴ τοῦ θυμοῦ αὐτοῦ ὡς πῦρ ἔδεται.»

Ἀντὶ δὲ τοῦ, «διὰ πολλοῦ χρόνου», οἱ λοιποὶ ἑρμηνευταί, «μακρόθεν», εἰρήκασι. Καὶ τήρει, ὡς οὐκ ἂν αὐτόν φησι τὸν Κύριον ἔρχεσθαι, ἀλλὰ τὸ ὄνομα Κυρίου, τὸν Χριστὸν αἰνιττόμενος, περὶ οὗ εἴρηται· «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.[1]» Ἐρχομένου δὲ καὶ τὴν δευτέραν αὐτοῦ ἔνδοξον παρουσίαν ποιουμένου, ἐπακολουθήσουσι τιμωρητικαὶ δυνάμεις, δι' ὧν αἱ κολάσεις τοῖς ἀσεβέσιν ἐπαχθήσονται, ἃς ἡ παροῦσα Γραφὴ θυμὸν καὶ ὀργὴν ὀνομάζει· ἀκολούθως γὰρ τῇ τοῦ λόγου ἀποφάσει τὰ τῆς ὀργῆς τοῖς κολασθησομένοις ἐπενεχθήσεται.

Στίχ. κη'. «Καὶ τὸ πνεῦμα αὐτοῦ, ὡς ὕδωρ ἐν φάραγγι σύρον, ἥξει ἕως τοῦ τραχήλου, καὶ διαιρεθήσεται.»

Καὶ διαιρεθήσεται τὸ κολαστικὸν τοῦτο πνεῦμα εἰς πολλὰς διαιρέσεις, διὰ τὸ πλείστην εἶναι τῶν κολαζομένων διαφοράν. «Τοῦ ταράξαι ἔθνη ἐπὶ πλανήσει ματαίᾳ, καὶ διώξεται αὐτοὺς πλάνησις, καὶ λήψεται αὐτοὺς κατὰ πρόσωπον αὐτῶν.» Τὴν κατὰ πάντων θεοπτίαν καὶ τοῦτο δείκνυσιν, ὅτι οὐκ ἔσω τούτων στήσεται τὰ τῆς ὀργῆς· διαβήσεται δὲ καὶ εἰς τὰ ἔθνη ἡ τιμωρία. Ἵνα γὰρ μὴ ἐξῇ τοῖς Ἰσραηλίταις, μόνοις ὑπὸ τοῦ Θεοῦ ἐλεγχομένοις, λέγειν αὐτοὺς μόνον τὸν Θεὸν ἐπὶ τοῖς ἁμαρτήμασι τιμωρηθήσεσθαι, οὐχὶ δὲ καὶ τὰ ἔθνη, ἀναγκαίως καὶ τὴν ἐπὶ τὰ ἔθνη διαβήσεσθαι ἐκδικίαν φάσκει, καὶ καταλήψεσθαι τὴν ἐκ τῆς πλανήσεως δίκην προαγορεύει.

Στίχ. κθ'-λβ'. «Μὴ διὰ παντὸς δεῖ ὑμᾶς εὐφραίνεσθαι, καὶ εἰσπορεύεσθαι εἰς τὰ ἅγιά μου διαπαντός, ὡσεὶ ἑορτάζοντας, ὡσεὶ εὐφραινομένους εἰσελθεῖν μετ' αὐλοῦ εἰς τὸ ὄρος Κυρίου πρὸς τὸν Θεὸν τοῦ Ἰσραήλ; Καὶ ἀκουστὴν ποιήσει Κύριος τὴν δόξαν τῆς φωνῆς αὐτοῦ, καὶ τὸν θυμὸν τοῦ βραχίονος αὐτοῦ, δεῖξαι μετὰ θυμοῦ καὶ ὀργῆς καὶ φλογὸς κατεσθιούσης, κεραυνώσει βιαίως, καὶ ὡς ὕδωρ καὶ χάλαζα συγκαταφερομένη βίᾳ. Διὰ γὰρ τῆς φωνῆς Κυρίου ἡττηθήσονται Ἀσσύριοι τῇ πληγῇ, ᾗ ἂν πατάξῃ αὐτούς· καὶ ἔσται αὐτῷ κυκλόθεν.»

Τότε δή, φησίν, οἱ παίοντες αὐτοὺς καὶ τύπτοντες τιμωρηθήσονται· δαίμονες γάρ, κυκλόθεν αὐτοὺς περιστοιχησάμενοι, τὰς τιμωρίας ἐπάξουσι. Τίνες δέ εἰσιν οὗτοι διασαφεῖ φάσκων· «Ὅθεν ἦν αὐτοῖς ἡ ἐλπὶς τῆς βοηθείας, ἐφ' ᾗ αὐτὸς ἐπεποίθει. Αὐτοὶ μετὰ τυμπάνων καὶ κιθάρας πολεμήσουσιν.» Ἐλπὶς τοῖς ἀσεβέσι βοηθείας ἦν ἀπὸ τῶν θεῶν αὐτῶν, τῶν ἀντικειμένων δηλαδὴ δυνάμεων, καὶ τῶν πονηρῶν πνευμάτων. Τούτοις γὰρ ὡς θεοῖς προσεῖχον, καὶ τὴν ἐλπίδα τῆς βοηθείας ἐκ τούτων αὐτοῖς ἔσεσθαι ἤλπιζον, οὐκ εἰδότες, ὅτι οὗτοι

1. Ψαλμ. 117, 26, 27.

κολασταὶ αὐτῶν ἔσονται. Ἡ γὰρ ὀργὴ καὶ ὁ θυμὸς κατὰ τῶν ἀσεβῶν ἀποστελλόμενος δι' ἀγγέλων γενήσεται πονηρῶν. «Αὐτοὶ μετὰ τυμπάνων καὶ κιθάρας πολεμήσουσιν αὐτὸν ἐκ μεταβολῆς·» ἅτε ἐπιχαιρεσίκακοί τινες ὄντες· ἀντὶ γὰρ τῶν φίλων ἐχθροὶ καταστήσονται. Στίχ. λγ'. «Σὺ γὰρ πρὸ ἡμερῶν ἀπαιτηθήσῃ. Μὴ καὶ σοὶ ἡτοιμάσθη βασιλεύειν;»

Ταῦτα δέ, φησί, σὲ περιμένει, τὸν πάλαι τρυφερὸν καὶ ὑπερήφανον· εἰ μὴ ἄρα σαυτὸν ἀπατῶν προσδοκᾷς ὅτι καὶ σοὶ βασιλεύειν ἡτοίμασται ὁμοίως τοῖς στενὴν καὶ τεθλιμμένην ὁδεύσασι τρίβον, καὶ πτωχοῖς διὰ Θεὸν γενομένοις ἕνεκεν δικαιοσύνης. Πᾶσι γὰρ ἐκείνοις ἡτοίμασται ἡ βασιλεία, ἀλλ' οὐ σοὶ τῷ τὴν πλατεῖαν καὶ εὐρύχωρον ὁδὸν πορευομένῳ. «Φάραγγα βαθεῖαν, ξύλα κείμενα, πῦρ καὶ ξύλα πολλά. Ὁ θυμὸς Κυρίου ὡς φάραγξ ὑπὸ θείου καιομένη.» Θεῖον καὶ πῦρ ὑποκαίουσιν εἰς τὴν τῶν αὐτόθι κατακριθησομένων κόλασιν. Τοσαῦτα δὲ διὰ μέσου εἰπών, ἀναλαμβάνει τὴν πρὸς τοὺς καταφεύγοντας εἰς Αἴγυπτον προφητείαν.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

Στίχ. α'-γ'. «Οὐαὶ οἱ καταβαίνοντες εἰς Αἴγυπτον ἐπὶ βοήθειαν, οἱ ἐφ' ἵπποις πεποιθότες καὶ ἐφ' ἅρμασιν. Ἔστι γὰρ πολλά, καὶ ἐφ' ἵπποις πλῆθος σφόδρα. Καὶ οὐκ ἦσαν πεποιθότες ἐπὶ τὸν Ἅγιον τοῦ Ἰσραήλ, καὶ τὸν Κύριον οὐκ ἐζήτησαν. Καὶ αὐτὸς σοφῶς ἦγεν ἐπ' αὐτοὺς κακά, καὶ ὁ λόγος αὐτοῦ οὐ μὴ ἀθετηθῇ, καὶ ἐπαναστήσεται ἐπ' οἴκους ἀνθρώπων πονηρῶν, καὶ ἐπὶ τὴν ἐλπίδα αὐτῶν τὴν ματαίαν, Αἰγύπτιον ἄνθρωπον καὶ οὐ Θεόν, ἵππων σάρκας καὶ οὐκ ἔστι βοήθεια. Ὁ δὲ Κύριος ἐπάγει τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς, καὶ κοπιάσουσιν οἱ βοηθοῦντες, καὶ ἅμα πάντες ἀπολοῦνται μαχαίρᾳ.»

Μέμφεται αὐτοὺς ὁ λόγος, ὅτι, μὴ πεποιθότες ἐπὶ τὸν Ἅγιον τοῦ Ἰσραήλ, εἰς Αἰγυπτίους κατέφυγον· διὸ καὶ καταλήψεσθαι αὐτοὺς ἃ μὴ προσεδόκησαν κακὰ ἐπ' αὐτῆς τῆς Αἰγύπτου ἀπειλεῖ. Διδάσκει δι' ὅλης τῆς προκειμένης ἱστορίας ὁ λόγος, ἐν τοῖς καιροῖς τῶν διωγμῶν, εἴ ποτε κρινεῖεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, ἢ καὶ τὴν Ἐκκλησίαν αὐτοῦ παραδοῦναι τοῖς τὴν θεοσέβειαν ἐλαύνουσι, μὴ δεῖν ἀναχωρεῖν τῆς ἐνθέου πίστεως, μηδὲ τῆς ἐπὶ τὸν Θεὸν πεποιθήσεως ἀφίστασθαι, μηδὲ ἀπογινώσκειν τὰς τούτου διαλλαγάς, μηδὲ ἐπὶ τὸν Αἰγυπτιακὸν βίον αὐτομολεῖν, λέγω δὴ τὸν τῶν εἰδωλολατρῶν. Πολλοὶ γὰρ ἐν τοῖς τοιούτοις καιροῖς, ἀποστήσαντες τοῦ τῆς θεοσεβείας λόγου, τὰς ἐλπίδας ἀνήρτησαν ἑαυτῶν τῆς τῶν εἰδωλολατρῶν βοηθείας.

Στίχ. δ'-ζ'. «Ὅτι οὕτως εἶπέ μοι Κύριος· Ὃν τρόπον ὅταν βοήσῃ ὁ λέων, ἢ ὁ σκύμνος ἐπὶ τῇ θήρᾳ ᾗ ἔλαβε, καὶ κεκράξῃ ἐπ' αὐτὴν ἕως ἂν ἐμπλησθῇ τὰ ὄρη τῆς φωνῆς αὐτοῦ, καὶ ἡττήθησαν, καὶ τὸ πλῆθος τοῦ θυμοῦ ἐπτοήθησαν· οὕτως καταβήσεται Κύριος Σαβαὼθ

ἐπιστρατεῦσαι ἐπὶ τὸ ὄρος Σιών, ἐπὶ τὰ ὄρη αὐτῆς ὡς ὄρνεα πετόμενα· οὕτως ὑπερασπιεῖ Κύριος, καὶ ἐξελεῖται, καὶ πεποιήσεται, καὶ σώσει. Ἐπιστράφητε οἱ τὴν βαθεῖαν βουλὴν βουλευόμενοι καὶ ἄνομον, υἱοὶ Ἰσραήλ· ὅτι τῇ ἡμέρᾳ ἐκείνῃ ἀπαρνηθήσονται οἱ ἄνθρωποι τὰ χειροποίητα αὐτῶν, τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ, ἃ ἐποίησαν αἱ χεῖρες αὐτῶν.»

Ἔξεστι γὰρ εἰσέτι καὶ νῦν μετανοήσαντας ἐπανελθεῖν εἰς τὴν ἑαυτῶν γῆν, μαθόντας ὁποῖα ἐπήγγελται περὶ αὐτῆς ὁ Θεός. Καὶ τοῦτο δὲ παρίστησιν ἡ ἱστορία· μετὰ γὰρ τὸ ἐπανελθεῖν αὐτοὺς ἀπὸ Βαβυλῶνος, καὶ ἀνεγεῖραι δεύτερον τὸν ἐν Ἱεροσολύμοις ναόν, οὐκέτι φαίνονται εἰδώλοις χρησάμενοι.

Στίχ. η'. «Καὶ πεσεῖται Ἀσσοὺρ οὐ μαχαίρᾳ ἀνδρός, οὐδὲ μάχαιρα ἀνθρώπου καταφάγεται αὐτόν, καὶ φεύξεται οὐκ ἀπὸ προσώπου μαχαίρας· οἱ δὲ νεανίσκοι ἔσονται εἰς ἥττημα.»

Σημαίνει δὲ τὴν καθαίρεσιν τῆς τῶν εἰδωλολατρῶν βασιλείας, καὶ τὴν πτῶσιν αὐτῶν, ὥσπερ ἀφ' ὕψους τοῦ προτέρου βασιλικοῦ ἀξιώματος ἐπὶ τὸ ταπεινὸν φερομένου· καὶ τοῦτο αὐτοῖς, φησί, συμβήσεται οὐκ ἐξ ἀνθρωπίνης ἐφόδου, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ κατ' αὐτῶν ὀργῆς. Εἰ γὰρ καὶ τὰ μάλιστα ἐδόκουν ἄνθρωποι ὑπηρέται γεγονέναι τῆς καθαιρέσεως αὐτῶν, ἀλλ' αὐτὸς ἦν ὁ Θεός, ὁ διὰ τῶν ἀνθρώπων καθαιρῶν αὐτούς.

Στίχ. θ'. «Πέτρᾳ γὰρ περιληφθήσονται ὡς χάρακι, καὶ ἡττηθήσονται.»

Πέτραν λέγει τοῦ Ἀσσυρίου τὸ πάλαι στερρὸν καὶ βέβαιον καὶ ἰσχυρὸν τῆς βασιλείας αὐτοῦ, ὅπερ παρελεύσεσθαί φησιν ὁ λόγος. «Ὁ δὲ φεύγων ἁλώσεται. Τάδε λέγει Κύριος· Μακάριος ὃς ἔχει ἐν Σιὼν σπέρμα, καὶ οἰκείους ἐν Ἱερουσαλήμ.» Καὶ διὰ τούτου προτρέπει τοὺς εἰς τὴν Αἴγυπτον ὁρμήσαντας μὴ ἀναχωρεῖν τοῦ τόπου ἔνθα ἦν ὁ νεὼς τοῦ Θεοῦ· ἀλλὰ καὶ μακαρίζει τοὺς ἕξοντας ἐν Σιὼν σπέρμα, καὶ ἐν Ἱερουσαλὴμ οἰκείους, διὰ τὸ μέλλειν αὐτὴν ἀνανεοῦσθαι, καὶ τὴν οἰκείαν αὖθις ἀπολαμβάνειν δόξαν, ἢ καὶ κρείττονα ἧς εἶχε πρότερον. Διὸ ἐλέγετο ἑτέροις· «Καὶ ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην.[1]» Εἰδέναι δὲ χρή, ὅτι τὸ μέν, «μακάριος», οὐδεὶς τῶν ἑρμηνευτῶν εἴρηκεν· ἀντὶ δὲ τοῦ, «Ὃς ἔχει ἐν Σιὼν σπέρμα καὶ οἰκείους ἐν Ἱερουσαλήμ», ὁ μὲν Σύμμαχος ἔχει, «πῦρ ἐν Σιών, καὶ κλίβανον ἐν Ἱερουσαλήμ·» ὁ Ἀκύλας καὶ Θεοδοτίων, «Φῶς αὐτῷ ἐν Σιὼν καὶ κλίβανος αὐτῷ ἐν Ἱερουσαλήμ», εἰρήκασι· διδάσκοντος τοῦ λόγου, ὅτι ὁ τῶν ὅλων Θεὸς καὶ Κύριος, ὁ κατὰ τῶν Ἀσσυρίων ἀπειλήσας τὰ λεγόμενα, ἔχει πῦρ ἐν Σιών, καὶ κλίβανον ἐν Ἱερουσαλήμ· ἵν' ὅτε βούληται, τῷ πυρὶ τούτῳ καὶ τῷ κλιβάνῳ κατακαύσῃ καὶ κατοπτήσῃ τοὺς καύσεως δεομένους. Διὸ οὐ προσήκει

1. Ἀγγ. 2, 10.

καταφρονεῖν τῆς τοῦ Θεοῦ πόλεως. Ταῦτα δὲ καὶ περὶ τῆς Ἐκκλησίας εἰκότως ἂν ῥηθείη, ἐπειδήπερ ἡ πόλις τοῦ Θεοῦ ἡ δεδοξασμένη αὐτή ἐστι, περὶ ἧς εἴρηται· «Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ.[1]» Ἔστι καὶ ἐν αὐτῇ πῦρ καὶ κλίβανος, εἰς τὸ καταφλέγειν καὶ ἀναλίσκειν τὰ ἐν ἑκάστῃ ψυχῇ ξύλα καὶ χόρτον καὶ καλάμην. Ἐὰν δὲ λέγηται, «Φῶς αὐτῷ ἐν Σιών, καὶ κλίβανος αὐτῷ ἐν Ἱερουσαλήμ», διὰ μὲν τοὺς φωτὸς ἀξίους τῶν συναγομένων τὸ «φῶς» εἰρῆσθαι ἐκδεξόμεθα· διὰ δὲ τοὺς καύσεως καὶ καθάρσεως χρείαν ἔχοντας τό, «κλίβανος ἐν Ἱερουσαλήμ.»

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

Στίχ. α', β'. «Ἰδοὺ γὰρ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσι. Καὶ ἔσται ὁ ἄνθρωπος κρύπτων τοὺς λόγους αὐτοῦ, καὶ κρυβήσεται ὡς ἀφ' ὕδατος φερομένου. Καὶ φανήσεται ἐν Σιὼν ὡς ποταμὸς φερόμενος, ἔνδοξος ἐν γῇ διψώσῃ.»

Θεσπίζει τὰ περὶ τῆς θεοφανείας τοῦ Χριστοῦ· μόνος γὰρ οὗτος δίκαιος ἐν ἀνθρώποις ἀνεφάνη ὁ βασιλεύς. Καὶ οἱ ἀπόστολοι δὲ αὐτοῦ μετὰ κρίσεως τοῦ ἑαυτῶν βασιλέως, τῆς Ἐκκλησίας αὐτοῦ καθηγήσαντο. Ἐβασίλευσε τοίνυν εἰς δικαιοσύνην ὁ Χριστὸς καινήν τινα ταύτην τὴν βασιλείαν· οὐ γὰρ εἰς ἀνθρωπίνην ἀξίαν ἀποβλέπων, οὐδὲ εἰς τιμὴν καὶ δόξαν τὴν παρὰ ἀνθρώποις, τὴν βασιλείαν ἐπανήρατο, ἀλλ' εἰς δικαιοσύνην· ὥσπερ οὖν καὶ οἱ ἄρχοντες αὐτοῦ, οὐκ ἐν ἀξιώμασι κοσμικοῖς προαχθέντες ἦρχον, ἀλλ' εἰς κρίσιν. Διὸ κατὰ τοὺς λοιποὺς ἑρμηνευτὰς εἴρηται, «Καὶ ἄρχοντες εἰς κρῖμα ἄρξουσιν.» Ἀντὶ δὲ τοῦ, «Καὶ ἔσται ὁ ἄνθρωπος κρύπτων τοὺς λόγους αὐτοῦ», ὁ Σύμμαχος, «Καὶ ἔσται», φησίν, «ἀνὴρ ὡς ἀποκρυφὴ ἀπὸ πνεύματος καὶ λαίλαπος.» Ποῖος οὖν ἄνθρωπος ἔσται ἀλλ' ὁ ἀνωτέρω δίκαιος ὠνομασμένος; Αὐτὸς γὰρ οὗτος ἔσται ἀνήρ, οὐκοῦν τῇ φύσει ἀνήρ, ἀλλὰ κρείττων ἢ κατὰ ἀνθρώπου φύσιν. Πλὴν ἔσται ἄνθρωπος ἐπικρύπτων αὐτοῦ τὴν θεότητα. Ὕδωρ γὰρ φερόμενον ἦν καὶ ἀπολλύμενον τὸ πλῆθος τοῦ τῶν Ἰουδαίων λαοῦ· διὸ καὶ ἀπέκρυπτεν αὐτὸν ἐξ αὐτῶν, καὶ τοὺς λόγους αὐτοῦ ἀπ' ἐκείνων μὲν ἐκάλυπτε, τοῖς δὲ αὐτοῦ μαθηταῖς ἐφανέρου. Τίς δὲ φανήσεται ἢ αὐτὸς δίκαιος βασιλεύς; αὐτὸς γὰρ φανήσεται ὡς ποταμὸς φερόμενος ἔνδοξος. Τίς δέ ἐστιν ἡ Σιὼν αὕτη ἢ ἡ τὸν ἀπ' ἐκείνων κρυπτόμενον ἐμφανῶς παραδεξαμένη; ἡ γὰρ πάλαι ἔρημος καὶ διψῶσα ἡ ἐξ ἐθνῶν Ἐκκλησία, αὕτη ἐστὶν ἡ Σιών.

Στίχ. γ', δ'. «Καὶ οὐκέτι ἔσονται πεποιθότες ἐπ' ἀνθρώπους, ἀλλὰ τὰ ὦτα δώσουσιν ἀκούειν, καὶ ἡ καρδία τῶν ἀσθενούντων προσέξει τοῦ ἀκούειν, καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι ταχὺ μαθήσονται λαλεῖν εἰρήνην.»

1. Ψαλμ. 86, 3.

Σιὼν τοίνυν καὶ γῆ διψῶσα πάλαι ἔρημος εἴη ἂν ἡ Ἐκκλησία· καὶ καρδία ἀσθενούντων, καὶ γλῶσσαι τραυλίζουσαι, αἱ τῶν πάλαι τὸν Θεὸν μὴ νοούντων, μηδὲ ὀρθὰ λαλούντων ἐθνῶν, οἷς ἐπαγγέλλεται τὴν ἐπὶ τὰ κρείττω μεταβολήν. Τούτοις ἐπιλέγει·

Στίχ. ε'. «Καὶ οὐκέτι οὐ μὴ εἴπωσι τῷ μωρῷ ἄρχειν·» ὥσπερ οὖν πρότερον ἐποίουν, ὅτε τοῖς ὡς ἀληθῶς μωροῖς διδασκάλοις αὐτῶν ἐπέτρεπον τὰς ἑαυτῶν ψυχάς· ἦσαν δὲ οὗτοι οἱ σοφοὶ τοῦ αἰῶνος τούτου, ὧν ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν. Τοιοῦτος δὲ ἦν πᾶς ὁ τὴν σοφίαν ἐπαγγελλόμενος τοῦ αἰῶνος τούτου. «Καὶ οὐκέτι μὴ εἴπωσιν οἱ ὑπηρέται σου, Σίγα.»

Στίχ. ς', ζ'. «Ὁ γὰρ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει, τοῦ συντελεῖν ἄνομα, καὶ λαλεῖν πρὸς Κύριον πλάνησιν, τοῦ διασπεῖραι ψυχὰς πεινώσας, καὶ τὰς ψυχὰς τὰς διψώσας κενὰς ποιήσει. Ἡ γὰρ βουλὴ τῶν πονηρῶν ἄνομα βουλεύεται, καταφθεῖραι ταπεινοὺς ἐν λόγοις ἀδίκοις, καὶ διασκεδάσαι λόγους ταπεινῶν ἐν κρίσει.»

Μωρὰ δὲ ταῦτα γὰρ πάντα πάλαι ἔπραττον οἱ πάλαι μωροὶ ἄρχοντες τῶν ἀνθρώπων· καὶ ἡ βουλὴ αὐτῶν πονηρὰ οὖσα ἄνομα ἐβουλεύετο, εἰς τὸ καταφθεῖραι τοῖς ἑαυτῶν λόγοις τοὺς τὰς ψυχὰς ταπεινούς.

Στίχ. η'. «Οἱ εὐσεβεῖς συνετὰ ἐβουλεύσαντο· καὶ αὕτη ἡ βουλὴ μενεῖ.»

Δι' ὧν σημαίνονται οἱ ἀπόστολοι τοῦ Σωτῆρος ἡμῶν εἰς τὴν ἀρχὴν τῆς σωτηρίας αὐτοῦ, καὶ τὸ ἡγεῖσθαι αὐτῆς, δίκαιος δεδώρηται βασιλεύς.

Στίχ. θ'. «Γυναῖκες πλούσιαι, ἀνάστητε, καὶ ἀκούσατε τῆς φωνῆς μου· θυγατέρες, ἐπ' ἐλπίδι ἀκούσατε τοὺς λόγους μου.»

Διὰ τῶν προκειμένων προφωνεῖ παρακελευόμενος ἀποκλαίεσθαι καὶ κόπτεσθαι καὶ θρηνεῖν, ὡς ἂν ἐκπέσοιεν τῆς τοῦ Θεοῦ χάριτος διὰ τὴν εἰς τὸν Θεὸν ἀπιστίαν αὐτῶν· διαβάλλων δὲ τὸ ἄνανδρον τῆς ψυχῆς αὐτῶν καὶ τὸ τεθηλυμμένον, γυναῖκας αὐτοὺς ἀποκαλεῖ. Φασὶ δὲ τὰς συναγωγὰς αὐτῶν δηλοῦσθαι διὰ τῆς φασκούσης προφητείας. Παρακελεύεται τοίνυν ὁ λόγος αὐτοῖς μὴ ὑπτίως, μηδὲ παρέργως προσέχειν τοῖς λεγομένοις, διεγηγερμένως δὲ καὶ συντεταγμένως. Εἴποις δ' ἂν τὰς μὲν πρώτας γυναῖκας σημαίνειν τὰς ἐπὶ τῶν παλαιῶν χρόνων παρὰ Ἰουδαίοις συνόδους, καὶ τὰ πλήθη τὰ ἐν αὐτοῖς συναγόμενα· τὰς δὲ θυγατέρας ἐν τοῖς ὑστέροις χρόνοις ὑποστησομένας, τὰς αὐτῶν συναγωγάς.

Στίχ. ι'. «Ἡμέρας ἐνιαυτοῦ μνείαν ποιήσασθε ἐν ὀδύνῃ μετ' ἐλπίδος· ἀνήλωται ὁ τρυγητός, πέπαυται ὁ σπόρος, καὶ οὐκέτι μὴ ἔλθῃ.»

Ἐνιαυτὸν δὲ καλεῖ ὁ προφητικὸς λόγος τὸν χρόνον τοῦ κηρύγματος τοῦ εὐαγγελικοῦ, καθ' ὃν ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν συνὼν ἀνθρώποις ἐκήρυξε διδάσκων. Καὶ τοῦτο δηλοῖ ἀπὸ τοῦ ἑξῆς ἐκ προσώπου τοῦ Θεοῦ λέγεσθαι· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με,

εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, καλέσαι ἐνιαυτὸν Κυρίου δεκτόν.[1]»

Στίχ. ια'. «Ἔκστητε, λυπήθητε αἱ πεποιθυῖαι, ἐκδύσασθε, γυμναὶ γίνεσθε· περιζώσασθε σάκκους τὰς ὀσφύας ὑμῶν.»

Ἁψάσθω, φησίν, ὑμῶν ἡ κατὰ Θεὸν λύπη, καὶ τῆς προτέρας ἀπιστίας ἔκστητε ἐπιδοῦναι ἑαυτὰς εἰς μετάνοιαν. Ἡ γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται.

Στίχ. ιβ', ιγ'. «Καὶ ἐπὶ τῶν μαστῶν κόπτεσθε, περὶ ἀγροῦ ἐπιθυμήματος, καὶ ἀμπέλου γεννήματος. Ἡ γῆ τοῦ λαοῦ μου, ἄκανθα καὶ χόρτος ἀναβήσεται, καὶ ἐκ πάσης οἰκίας εὐφροσύνη ἀρθήσεται.»

Τοῦτο δὲ ἐδήλου διὰ τῶν ἔμπροσθεν εἰπών· «Καὶ ἔμεινα ἵνα ποιήσῃ σταφυλήν, ἐποίησε δὲ ἀκάνθας·» καὶ ταύτας διερμηνεύων ἐπήγαγε λέγων· «Ἔμεινα ἵνα ποιήσῃ κρίσιν, ἐποίησε δὲ ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν.» Ἐπὶ τούτοις τοιγαροῦν κόπτεσθαι παρεκελεύετο, καὶ μάλιστα διὰ τὴν ἐπιφερομένην ἀπειλήν.

Στίχ. ιδ.' «Πόλις πλουσία, οἶκοι ἐγκαταλελειμμένοι, πλοῦτον πόλεως ἀφήσουσιν, οἴκους ἐπιθυμητούς. Καὶ ἔσονται αἱ κῶμαι σπήλαια ἕως τοῦ αἰῶνος, εὐφροσύνη ὄνων ἀγρίων, βοσκήματα ποιμένων.»

Τίς δέ, ὁρῶν μετοίκους ἄνδρας οἰκοῦντας τὴν Ἱερουσαλήμ, εἰδωλολάτρας τε ἐκ διαφόρων ἐθνῶν συνειλεγμένους, οὐκ ἂν εὐλόγως εἴποι ὄνους ἀγρίους, καὶ διαφόρους ἀγέλας καταβόσκεσθαι αὐτήν. Διὸ λέλεκται· «Εὐφροσύνη ὄνων ἀγρίων, βοσκήματα ποιμένων.» Διὰ ταῦτα τοιγαροῦν προσέταξεν ὑμῖν ὁ λόγος ἰσχυρὸν ποιεῖσθαι κοπετόν, καὶ τῷ θρήνῳ παραμένειν ἐπὶ τοσοῦτον.

Στίχ. ιε'. «Ἕως ἂν ἐπέλθοι ἐφ' ὑμᾶς Πνεῦμα ἀφ' ὑψηλοῦ.»

Τοῦτο δὲ ἦν περὶ οὗ ἔφασκεν ὁ Σωτήρ· «Ἰδοὺ ἐγὼ ἀπέρχομαι, καὶ ἀποστελῶ ὑμῖν τὸν Παράκλητον, τὸ Πνεῦμα τῆς ἀληθείας·[2]» καὶ πάλιν· «Ἕως ἂν λάβητε ἐξ ὕψους δύναμιν.[3]» Ἐπεὶ τοίνυν «Μακάριοι οἱ πενθοῦντες, ὅτι παρακληθήσονται», καί, «Μακάριοι οἱ κλαίοντες, ὅτι γελάσουσιν·[4]» εἰκότως ταῖς προλεχθείσαις, αἳ διὰ θρήνου καὶ κλαυθμοῦ καὶ κοπετοῦ τὴν μετάνοιαν ἐνεδείξαντο, ἐπαγγελίαν δίδωσιν ἀγαθὴν τὴν διὰ τοῦ Πνεύματος.

Στίχ. ις'. «Καὶ ἔσται ἔρημος ὁ Χερμέλ, καὶ ὁ Χερμὲλ εἰς δρυμὸν λογισθήσεται· καὶ ἀναπαύσεται ἐν τῇ ἐρήμῳ κρῖμα, καὶ δικαιοσύνη ἐν τῷ Καρμήλῳ κατοικήσει.»

Λίβανος μὲν τὸ ὄρος τὸ ἐπὶ τῆς Φοινίκης ἐδήλου τὰ ἔθνη· Κάρμηλος δὲ τὸ ὄρος τὸ ὑπὸ Ἰουδαίοις ὂν πρότερον τὸν ἐκ περιτομῆς λαόν, ὅθεν καὶ ἑρμηνεύεται ὁ Χερμέλ, δηλαδὴ Κάρμηλος, «Ἐπίγνωσις περιτομῆς.» Τὸν Λίβανον τοίνυν, τὸν ἀλλόφυλον καὶ ἀλλογενῆ λαόν, τὸν ἐξ ἐθνῶν μεταβληθέντα, ἔσεσθαί φησιν, ὁποῖος ἦν ὁ πάλαι παρὰ τῷ Θεῷ τετιμημένος λαὸς ὁ ἐκ περιτομῆς· αὐτὸν δὲ τὸν ἐκ περιτομῆς

---

1. Ἡσ. 61, 1-2. 2. Ἰω. 15, 26. 3. Λουκ. 24, 49. 4. Ματθ. 5, 5.

λαόν, Χερμὲλ ἢ Κάρμηλον ὀνομαζόμενον, εἰς δρυμὸν λογισθήσεσθαι. Τοῦτο τοίνυν καὶ ἐν τοῖς μετὰ χεῖρας σημαίνει φάσκων ὁ λόγος κατὰ τὸν Σύμμαχον· «Καὶ ἔσται ἡ ἔρημος εἰς Κάρμηλον·» ὡς γὰρ ἐκεῖ ὁ Λίβανος εἰς Κάρμηλον ἐλέγετο μεταβάλλεσθαι, οὕτως ἐνταῦθα ἡ ἔρημος, ἵνα ᾖ ταὐτὸν καὶ ἔρημος ὁ Λίβανος, οὕτω δηλουμένης τῆς ἐξ ἐθνῶν Ἐκκλησίας, ἥτις μεταβέβληται εἰς Κάρμηλον. Ὥσπερ γὰρ ἦν πάλαι πρότερον «μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ·[1]» ὅ τε Κάρμηλος ἦν ἐπίγνωσιν ἔχων περὶ ταύτης· οὕτως ὁ Λίβανος καὶ ἡ πάλαι ἔρημος, ἐπὶ τὸ κρεῖττον μεταβαλοῦσα, γέγονε μερὶς τοῦ Θεοῦ· ὡς αὖ πάλιν ὁ Κάρμηλος εἰς δρυμὸν ἐλογίσθη. Δρυμὸς δέ ἐστι χωρίον φυτῶν ἀγρίων καὶ ἀκάρπων πλῆρες· διὸ σύνηθες τῇ θείᾳ Γραφῇ τὰ ἔθνη τὰ τὸν Θεὸν οὐκ εἰδότα, δρυμὸν ὀνομάζειν, ὡς πολλάκις ἀπεδείξαμεν.

Στίχ. ιζ', ιη'. «Καὶ ἔσται τὰ ἔργα τῆς δικαιοσύνης εἰρήνη, καὶ κρατήσει ἡ δικαιοσύνη ἀνάπαυσιν, καὶ πεποιθότες ἕως τοῦ αἰῶνος. Καὶ κατοικήσει ὁ λαὸς αὐτοῦ ἐν πόλει εἰρήνης, καὶ ἐνοικήσει πεποιθώς, καὶ ἀναπαύσονται μετὰ πλούτου.»

Ἀντὶ γὰρ τῆς καθαιρεθείσης πόλεως τῆς μεγάλης ἐκείνης καὶ γαυριώσης, ἑτέραν τῷ Θεῷ συστήσεσθαι πόλιν, τὴν ἀπὸ περάτων ἕως περάτων καθολικὴν Ἐκκλησίαν, καὶ τὸ ἐν αὐτῇ πολίτευμα, θεσπίζει. Βέβαιον γὰρ τῶν εἰς Θεὸν πεπιστευκότων τὸ φρόνημα. Πόλιν εἰρήνης τὴν ἐν τοῖς οὐρανοῖς λέγει· «Ἡ γὰρ ἄνω», φησί, «Ἱερουσαλὴμ ἐλευθέρα ἐστί, μήτηρ πάντων ἡμῶν.[2]» Πόλιν δὲ ἀμεριμνίας καὶ τὰς διαφόρους λέγει μονάς· πολλαὶ γάρ, φησί, μοναὶ παρὰ τῷ Πατρί μου[3], ἔχουσι δὲ καὶ τὸν πλοῦτον τὸν ἄσυλον. «Θησαυρίζετε» γάρ, φησίν, «ὅπου σὴς καὶ βρῶσις οὐκ ἀφανίζει, οὐδὲ κλέπται διορύσσουσι καὶ κλέπτουσιν.[4]»

Στίχ. ιθ', κ'. «Ἡ δὲ χάλαζα, ἐὰν καταβῇ, οὐκ ἐφ' ὑμᾶς ἥξει. Καὶ ἔσονται οἱ ἐνοικοῦντες ἐν τοῖς δρυμοῖς πεποιθότες, ὡς οἱ ἐν τῇ πεδινῇ. Μακάριοι οἱ σπείροντες ἐπὶ πᾶν ὕδωρ, οὗ βοῦς καὶ ὄνος πατεῖ.»

Μακαρίζει δὲ διὰ τούτων τοὺς ἀποστόλους τοῦ Σωτῆρος ἡμῶν, καὶ τοὺς πρώτους κήρυκας τοῦ Εὐαγγελίου, τοὺς καὶ Ἰουδαίοις καὶ Ἕλλησι κηρύξαντας, καὶ τὸν σπόρον αὐτῶν καταβαλομένους ἐπὶ πάντα ἄνθρωπον Ἰουδαῖόν τε πρῶτον καὶ Ἕλληνα· βοῦς γὰρ διὰ τοὺς πατέρας, ὡσανεὶ καθαρὸν ζῷον, ὁ ἐκ περιτομῆς λαὸς ὠνόμασται· ὄνος δέ, ὡσανεὶ ἀκάθαρτος, ὁ ἐκ πατέρων εἰδωλολατρῶν λαός. Ἐπεὶ τοίνυν Ἰουδαίοις πρώτως, ἔπειτα Ἕλλησι τὸν εὐαγγελικὸν κατεβάλλοντο σπόρον οἱ τοῦ Σωτῆρος ἡμῶν ἀπόστολοι, εἰκότως εἴρηται· «Μακάριος ὁ σπείρων ἐπὶ πᾶν ὕδωρ, οὗ βοῦς καὶ ὄνος πατεῖ.» Ὕδωρ δὲ ἐνταῦθα ᾐνίξατο τὴν θεόπνευστον Γραφήν, ὑπὸ Ἰουδαίων καὶ τοῦ ἐξ ἐθνῶν λαοῦ πατουμένην.

---

1. Δευτ. 32, 9. 2. Γαλ. 4, 26. 3. Ἰω. 14, 2. 4. Ματθ. 6, 19.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Στίχ. α'. «Οὐαὶ τοῖς ταλαιπωροῦσιν ὑμᾶς, ὑμᾶς δὲ οὐδεὶς ποιεῖ ταλαιπώρους· καὶ ὁ ἀθετῶν ὑμᾶς οὐκ ἀθετεῖ· ἁλώσονται οἱ ἀθετοῦντες καὶ παραδοθήσονται, καὶ ὡς σὴς ἐφ' ἱματίου, οὕτως ἡττηθήσονται.»

Τούτοις ἀδελφὰ τυγχάνει τὰ δι' ὧν ὁ Σωτὴρ τοῖς ἑαυτοῦ μαθηταῖς ἔλεγεν· «Ὁ ὑμᾶς ἀθετῶν ἐμὲ ἀθετεῖ», καὶ οὐκ ἀδικεῖσθε ὑμεῖς, καί, «Ὁ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά με.[1]» Δύο γὰρ ὄντων ταγμάτων, ὡς ἂν εἴποι τις, κατὰ τοὺς καιροὺς τῶν διωγμῶν, τῶν μὲν δρώντων, τῶν δὲ πασχόντων, μακάριος ἂν εἴη ὁ πάσχων, ἀλλὰ μὴ δρῶν· ἄθλιος δὲ ὁ δρῶν, ἀλλὰ μὴ πάσχων.

Στίχ. β'. «Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Ἐγενήθη τὸ σπέρμα τῶν ἀπειθούντων εἰς ἀπώλειαν· ἡ δὲ σωτηρία ἡμῶν ἐν καιρῷ θλίψεως.»

Ἐκ προσώπου τῶν ἀποστόλων τὴν εὐχὴν ἀναπέμπει· τῶν μὲν γὰρ ἀπειθησάντων τῷ εὐαγγελικῷ κηρύγματι τὸ σπέρμα παρεδόθη ἀπωλείᾳ· ἡμῶν δὲ σωτηρία σὺ αὐτὸς τυγχάνεις, ὦ Κύριε, παριστάμενος ἡμῖν ἐν καιρῷ θλίψεως.

Στίχ. γ'. «Διὰ φωνὴν τοῦ φόβου σου ἐξέστησαν λαοὶ ἀπὸ τοῦ φόβου σου, καὶ διεσπάρησαν τὰ ἔθνη·»

περὶ τῶν ἀπιστησάντων τῷ ἱερῷ κηρύγματι. Σημαίνει δὲ τὴν πολιορκίαν τοῦ Ἰουδαίων ἔθνους, καὶ ὡς πολυπληθείας πολεμίων ἐπελθούσης αὐτοῖς ἐξέστησαν τῆς ἑαυτῶν γῆς, καὶ διεσκορπίσθησαν εἰς τὰ ἔθνη.

Στίχ. δ'. «Νῦν δὲ συναχθήσεται τὰ σκῦλα ὑμῶν, μικροῦ καὶ μεγάλου, ὃν τρόπον ἐάν τις συναγάγῃ ἀκρίδας, οὕτως ἐμπαίξουσιν ὑμῖν.»

Τὸ εὐχείρωτον καὶ εὐάλωτον τοῦ Ἰουδαίων λαοῦ παριστάς, τό τε πλῆθος αὐτῶν ἀκρίσι παραβάλλων, σημαίνει ὡς οἱ πολέμιοι ἀντὶ παιγνίου αὐτοὺς ἕξουσιν, οὐ μόνον τὰ σκῦλα αὐτῶν διαρπάξοντες μικροῦ καὶ μεγάλου, ἀλλὰ καὶ αὐτοῖς ἐμπαίζοντες. Ταῦτα περὶ τούτων εἰπών, μεταβαίνει ἐπὶ τὸ τάγμα τῆς τοῦ Θεοῦ Ἐκκλησίας, ἐφ' ᾧ καὶ δοξάζει τὸν Θεὸν λέγων·

Στίχ. ε'. «Ἅγιος ὁ Θεὸς ὁ κατοικῶν ἐν ὑψηλοῖς· ἐνεπλήσθη Σιὼν κρίσεως καὶ δικαιοσύνης.»

Νοήσεις δὲ τὴν Σιὼν ἀπὸ τοῦ λέγεσθαι κρίσεως καὶ δικαιοσύνης πεπληρῶσθαι αὐτήν. Ἐν δὲ τοῖς ἀνωτέρω ἐλέγετο· «Καὶ ἀναπαύσεται ἐν τῇ ἐρήμῳ κρῖμα καὶ δικαιοσύνη.» Τὴν ἀνωτέρω τοίνυν ἔρημον ὠνομασμένην νῦν Σιὼν ἀποκαλεῖ, οὕτω τὴν Ἐκκλησίαν τοῦ Θεοῦ σημαίνων. Αὕτη γὰρ ἦν ἡ πάλαι ἔρημος, ἐν ᾗ ἀνεπαύσατο κρῖμα καὶ

1. Λουκ. 10, 16.

δικαιοσύνη· διὸ καὶ εὐλογεῖται νῦν ὁ Θεός, ὅτι ἐνεπλήσθη κρίσεως καὶ δικαιοσύνης.

Στίχ. ς'. «Ἐν νόμῳ παραδοθήσονται, ἐν θησαυροῖς ἡ σωτηρία ἡμῶν· ἐκεῖ σοφία καὶ ἐπιστήμη καὶ εὐσέβεια πρὸς τὸν Κύριον. Οὗτοί εἰσι θησαυροὶ δικαιοσύνης.»

Νόμῳ γάρ, δηλαδὴ εὐαγγελικῷ, οἳ ἐν τῇ κοινῇ ταύτῃ Σιὼν παρεδόθησαν· ἐν ἐλπίσι γὰρ τοῖς ἁγίοις ἀπόκειται τὰ ἀγαθά. Ποίοις δὲ θησαυροῖς ἢ τοῖς ἀποκειμένοις ἐν οὐρανοῖς;

Στίχ. ζ'. «Ἰδοὺ δὲ ἐν τῷ φόβῳ ὑμῶν οὗτοι φοβηθήσονται, οὓς ἐφοβεῖσθε· βοήσονται ἀφ' ὑμῶν.»

Ταῦτα πρὸς τοὺς ἀποστόλους εἴρηται· ἐπεπεσεῖται γάρ, φησίν, ἐπὶ τοὺς ἀπίστους ὁ ὑμέτερος φόβος.

Στίχ. η', θ'. «Ἄγγελοι ἀποσταλήσονται πικρῶς κλαίοντες. Ἐρημωθήσονται γὰρ αἱ τούτων ὁδοί· πέπαυται ὁ φόβος τῶν ἐθνῶν, καὶ ἡ πρὸς τούτους διαθήκη αἴρεται, καὶ οὐ μὴ λογίσησθε αὐτοὺς ἀνθρώπους. Ἐπένθησεν ἡ γῆ, ᾐσχύνθη ὁ Λίβανος, ἕλη ἐγένετο ἡ Σάρων, φανερὰ ἔσται ἡ Γαλιλαία καὶ ὁ Χέρμελ.»

Ὁ μὲν οὖν φιλάνθρωπος Θεὸς ἀγγέλους εἰρήνης ἀπέστειλε πρὸς τὸν Ἰουδαίων λαόν, πικρῶς κλαίοντας καὶ παρακαλοῦντας ὑποδέξασθαι τὴν εὐαγγελικὴν αὐτοῖς εἰρήνην. Ἐπεὶ δὲ οὐκ ἐδέξαντο αὐτούς, ἐπιφέρει φάσκων·

Στίχ. ι'. «Νῦν ἀναστήσομαι, λέγει ὁ Κύριος, νῦν δοξασθήσομαι, νῦν ὑψωθήσομαι·»

τοῦ λόγου παριστῶντος σαφῶς ὀφθήσεσθαι τὸν Θεὸν αὐτοῖς. Τίσι δὲ αὐτοῖς, ἢ τοῖς θησαυρίσασιν ἑαυτοῖς τοὺς τῆς δικαιοσύνης καὶ τῆς σοφίας θησαυρούς; Τούτοις γάρ, φησίν, ὀφθήσομαι· ἦσαν δὲ οὗτοι οἱ μαθηταὶ καὶ ἀπόστολοι τοῦ Σωτῆρος ἡμῶν, οἷς ἐγὼ μὲν ὤφθην· οἱ δὲ ἔκραξαν ἐκτενῶς, ἄγγελοι ὄντες εἰρήνης· διὸ καὶ πικρῶς ἔκλαυσαν βοῶντες ἐν εὐχαῖς ἐκτενῶς ὑπὲρ τῆς ἀπωλείας τοῦ προτέρου λαοῦ. Ἦσαν γὰρ οἱ ἀπόστολοι τοῦ Σωτῆρος ἡμῶν ἄγγελοι, οἳ πικρῶς ἔκλαιον πενθοῦντες, διὰ τὸ μὴ πείθεσθαι μηδὲ πιστεύειν αὐτοῖς τοὺς δι' αὐτῶν κεκλημένους ἐπὶ τὴν τοῦ Χριστοῦ εἰρήνην.

Στίχ. ια'. «Νῦν ὄψεσθε, νῦν αἰσθήσεσθε· ματαία ἔσται ἡ ἰσχὺς τοῦ πνεύματος ὑμῶν·»

ἡ διὰ Μωσέως αὐτοῖς παραδοθεῖσα, καὶ ὅτι οὐδεὶς οὐκέτι αὐτοὺς εἰς ἀνθρώπους λογιεῖται. «Πῦρ κατέδεται ὑμᾶς·» τὴν δευτέραν αὐτοῦ καὶ ἔνδοξον παρουσίαν ἐπαγγελλόμενος, καθ' ἣν ὄψονται.

Στίχ. ιβ'-ιδ'. «Καὶ ἔσονται ἔθνη κατακεκαυμένα, ὡς ἄκανθα ἐν ἀγρῷ ἐρριμμένη καὶ κατακεκαυμένη. Ἀκούσονται οἱ πόρρωθεν ἃ ἐποίησα, γνώσονται οἱ ἐγγίζοντες τὴν ἰσχύν μου. Ἀπέστησαν οἱ ἐν Σιὼν ἄνομοι· λήψεται τρόμος τοὺς ἀσεβεῖς.»

Εἰ καὶ ταῦτα μὴ περὶ τῶν δεξαμένων τὴν εὐαγγελισθεῖσαν αὐτοῖς χάριν Ἰουδαίων λαοῦ θεσπίζει, ὑμεῖς, ἀκοὴν τῶν προφητικῶν τούτων

λόγων ἀκούοντες, οὐ συνίετε γινώσκοντες, ὅτι ταῦτα τὰ πρὸς ὑμᾶς Ἑβραϊκῇ φωνῇ λαλούμενά τε καὶ γραφόμενα, ὅσα τε ἄλλα θαύματα εἰς ὑμᾶς ἐξεπραξάμην, οἱ πόρρωθεν καὶ μέχρι τῶν ἐσχάτων τῆς γῆς οἰκοῦντες, καὶ ἅπερ παρ' ὑμῖν ἐλάλησα, καὶ ὑμῶν ὁρώντων ἐποίησα, οἱ ἐν τοῖς πέρασι τῆς οἰκουμένης ἀκούσονται. Πῶς δὲ γνώσονται ἀλλ' ἢ ἐγγίσαντες τῷ Θεῷ, καὶ προσελθόντες αὐτῷ καὶ τὴν ἰσχὺν αὐτοῦ μεμαθηκότες; Οὗτοι δὲ αὐτοὶ εἴσονται ὅπως ἀπέστησάν μου, οἱ ἐν Σιὼν ἄνομοι· οὗ χάριν διὰ τὴν ἀποστασίαν αὐτῶν, λήψεται αὐτοὺς τρόμος.

Στίχ. ιε'. «Τίς ἀναγγελεῖ ὑμῖν ὅτι πῦρ καίεται; Τίς ἀναγγελεῖ ὑμῖν τὸν τόπον τὸν αἰώνιον; Πορευόμενος ἐν δικαιοσύνῃ, λαλῶν εὐθεῖαν ὁδόν, μισῶν ἀνομίαν καὶ ἀδικίαν, καὶ τὰς χεῖρας ἀποσειόμενος ἀπὸ δώρων, βαρύνων τὰ ὦτα, ἵνα μὴ ἀκούσῃ κρίσιν αἵματος, καμμύων τοὺς ὀφθαλμούς, ἵνα μὴ ἴδῃ ἀδικίαν.»

Φησὶ γοῦν, «Τίς ἀναγγελεῖ ὑμῖν ὅτι πῦρ καίεται», τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ; Τίς οὖν ἐστιν ὁ ταῦτα εἰδώς, καὶ τοῖς μὴ εἰδόσι προσμαρτυρούμενος, ἢ πᾶς ὁ πορευόμενος ἐν δικαιοσύνῃ, καὶ πᾶς ὁ μισῶν ἀσέβειαν καὶ ἀδικίαν, δωροδοχίαν τε ἀποστρεφόμενοι, καὶ τὰ ὦτα φράττοντες τοῦ μὴ ἀκοῦσαι κρίσιν αἵματος, μυῶντες τοὺς ὀφθαλμοὺς τοῦ μὴ θεωρεῖν ἄδικον πρᾶξιν; Τοιοῦτος δὲ ἦν ὁ χορὸς τῶν προφητῶν τοῦ Θεοῦ, καὶ πᾶς θεοφιλὴς ἀνήρ, ὅ τε χορὸς τῶν ἀποστόλων καὶ μαθητῶν Σωτῆρος ἡμῶν. Πῶς τοίνυν ὁ τοιοῦτος ἀπαγγέλλει ἡμῖν, φασί, διότι πῦρ καίεται τοῖς ἀσεβέσιν ἡτοιμασμένον· ὁ δὲ αὐτὸς καὶ τὸν τόπον τῆς αἰωνίου κρίσεως δηλώσει ἡμῖν, προσμαρτυρούμενος φυλάττεσθαι μὴ περιπεσεῖν εἰς αὐτήν.

Στίχ. ις'. «Οὗτος οἰκήσει ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς· ἄρτος αὐτῷ δοθήσεται, καὶ τὸ ὕδωρ αὐτοῦ πιστόν.»

Αὐτὸς δὲ οὗτος, μακρὰν τοῦ πυρὸς γεγονὼς καὶ τοῦ προλεχθέντος αἰωνίου τόπου, οἰκήσει ἐν ὑψηλῷ σπηλαίῳ, καὶ ἐπὶ πέτρας ἰσχυρᾶς. Κατὰ δὲ τὸν Σύμμαχον, «Αὐτὸς ἐν ὑψηλοῖς κατασκηνώσει, ὡς περιοχαὶ πετρῶν τὸ ὕψος αὐτοῦ·» ὡς νοεῖν ἡμᾶς διὰ τούτων τὴν τῶν μακαρίων ἄσκησιν, καὶ τὸν ἐν ἀκροτάτῳ φιλοσοφίας βίον αὐτῶν· διὸ ἐπιλέγεται, «ἄρτος αὐτῷ δοθήσεται, καὶ τὸ ὕδωρ αὐτοῦ πιστόν.» Ὁ δὲ τοιοῦτος, ἄρτῳ καὶ ὕδατι τὴν παροῦσαν ζωὴν ἀσκηθείς, πέρας ἕξει καὶ καρπὸν τῆς ἀσκήσεως τὴν ἔνδοξον τοῦ βασιλέως θέαν· διό φησιν·

Στίχ. ιζ'-ιθ'. «Βασιλέα μετὰ δόξης ὄψεσθε, οἱ ὀφθαλμοὶ ὑμῶν ὄψονται γῆν πόρρωθεν, ἡ ψυχὴ ὑμῶν μελετήσει φόβον. Ποῦ εἰσιν οἱ γραμματικοί; Ποῦ εἰσιν οἱ συμβουλεύοντες; Ποῦ ἐστιν ὁ ἀριθμῶν τοὺς τρεφομένους μικρὸν καὶ μέγαν λαόν; ᾧ οὐ συνεβουλεύσατο, οὐδὲ ᾔδει βαθύφωνον, ὥστε μὴ ἀκοῦσαι· λαὸς πεφαυλισμένος, καὶ οὐκ ἔστι τῷ ἀκούοντι σύνεσις.»

Ποῦ εἰσιν οἱ γραμματεῖς, οἱ τὸ γράμμα τοῦ νόμου πρεσβεύσαντες, καὶ μηδ' ἕτερον εἰδότες νοεῖν ἢ τὰς τῆς λέξεως ἀπαγγελίας; Οὓς ἐταλάνιζεν ὁ Σωτὴρ ἐν Εὐαγγελίοις λέγων· «Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί.[1]» Ποῦ γὰρ οὗτοι φανήσονται ἐν ἡμέρᾳ τῆς κρίσεως; οἳ κόλακες ἐξέστρεφον τοὺς κολακευομένους αὐτοῖς.

Στίχ. κ'. «Ἰδοὺ Σιὼν ἡ πόλις, τὸ Σωτήριον ἡμῶν οἱ ὀφθαλμοί σου ὄψονται, Ἱερουσαλὴμ· πόλις πλουσία, σκηναὶ αἳ οὐ μὴ σεισθῶσιν, οὐδὲ μὴ κινηθῶσιν οἱ πάσσαλοι τῆς σκηνῆς αὐτῆς εἰς τὸν αἰῶνα χρόνον, οὐδὲ τὰ σχοινία αὐτῆς οὐ μὴ διαρραγῶσιν.»

Σημαίνει δὲ διὰ τούτων ὁ λόγος, Σωτήριον μὲν τὸν Χριστὸν τοῦ Θεοῦ, πόλιν δὲ ἑορτῶν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ. Τῆς μὲν γὰρ Ἰουδαϊκῆς Ἱερουσαλὴμ πολλάκις ἐσείσθησαν αἱ σκηναί, πολιορκηθείσης διαφόρως καὶ εἰς ἔδαφος κατενεχθείσης ὑπὸ τῶν κατὰ χρόνους πολεμησάντων αὐτήν· τῆς δὲ καινῆς ταύτης πόλεως ἀκινήτους φησὶν ἔσεσθαι τοὺς πασσάλους. Κἂν γὰρ νομίζητέ ποτε ἐν διωγμοῖς ἐλαύνεσθαι καὶ πολιορκεῖσθαι, ἀλλ' ἐπὶ τὴν πέτραν ἑστῶσα μένει δι' αἰῶνος ἄπτωτος· ἀψευδὴς γὰρ ἦν ὁ εἰπών· «Ἐπὶ τὴν πέτραν οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.[2]»

Στίχ. κα', κβ'. «Ὅτι τὸ ὄνομα Κυρίου μέγα ὑμῖν, τόπος ὑμῖν ἔσται, ποταμοὶ καὶ διώρυγες πλατεῖς καὶ εὐρύχωροι. Οὐ πορεύσῃ ταύτην τὴν ὁδόν, οὐδὲ πορεύσεται πλοῖον ἐλαῦνον. Ὁ γὰρ Θεός μου μέγας ἐστίν· οὐ παρελεύσεταί με Κύριος κριτὴς ἡμῶν, Κύριος ἄρχων ἡμῶν, Κύριος βασιλεὺς ἡμῶν, Κύριος οὗτος ἡμᾶς σώσει.»

Αὐτὸ τὸ ὄνομα, φησί, Κυρίου τόπος ἔσται ταύτῃ τῇ καινῇ πόλει τῇ ἀσείστῳ καὶ ἀπτώτῳ· διόπερ, ὡς ἂν ἐπὶ τὸν Κύριον, τόπον ὄντα αὐτῆς, ᾠκοδομημένη, ἄσειστος μένει. Δι' ὧν ὁ λόγος τῆς προλεχθείσης πόλεως τὸν Κύριόν φησιν ἔσεσθαι τόπον, ποταμῶν ῥεῖθρα ἐχόντων καὶ διώρυγας πλατεῖς· ὥστε λέγειν· «Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ[3]», καὶ «Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων[4]», διὰ τὸ αὐτὸν τὸν Κύριον εἶναι τὸν τόπον αὐτῶν. Ὅθεν ἐχθροῖς καὶ πολεμίοις ἀνεπίβατοι τυγχάνουσιν οἱ ποταμοί, τὴν προλεχθεῖσαν τοῦ Θεοῦ πόλιν ἀντὶ περιβόλου κυκλοῦντες καὶ περιτειχίζοντες· ὡς πᾶσιν ἀλλοτρίοις ἀδιάβατον εἶναι· ἐπειδὴ ὁ Κύριος, τόπος ὢν αὐτῆς, μέγας ἐστίν· αὐτὸς γὰρ ἦν ἡ πέτρα, ἐφ' ἣν ᾠκοδόμητο.

Στίχ. κγ', κδ'. «Ἐρράγησαν τὰ σχοινία σου, ὅτι οὐκ ἐνίσχυσαν· ὁ ἱστός σου ἔκλινεν, οὐ χαλάσει τὰ ἱστία· οὐκ ἀρεῖ σημεῖον, ἕως οὗ παραδοθῇ εἰς προνομήν. Τοίνυν πολλοὶ χωλοὶ προνομὴν ποιήσουσι, καὶ οὐ μὴ εἴπωσι, Κοπιῶ, ὁ λαὸς ἐνοικῶν ἐν αὐτοῖς· ἀφέθη γὰρ αὐτοῖς ἡ ἁμαρτία.»

---

1. Ματθ. 23, 13. 2. Ματθ. 16, 18. 3. Ψαλμ. 45, 5. 4. Ψαλμ. 64, 10.

Σημαίνει δὲ διὰ τούτων τὴν πτῶσιν τῆς σωματικῆς Ἱερουσαλήμ, ἧς ἐρράγη τὰ σχοινία· καὶ ὁ ἱστὸς δὲ αὐτῆς, ὥσπερ τινὸς νηὸς ἐν χειμῶσι καὶ κλύδωσι διαπεσούσης, ἐκλίθη πίπτων, διασπασθέντων τῶν διακρατούντων αὐτῶν σχοινίων.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

Στίχ. α'-γ'. «Προσαγάγετε, ἔθνη, καὶ ἀκούσατε, ἄρχοντες· ἀκουσάτω ἡ γῆ, καὶ οἱ ἐν αὐτῇ οἰκοῦντες, ἡ οἰκουμένη, καὶ ὁ λαὸς ὁ ἐν αὐτῇ· διότι ὁ θυμὸς Κυρίου ἐπὶ πάντα τὰ ἔθνη, καὶ ὀργὴ ἐπὶ τὸν ἀριθμὸν αὐτῶν τοῦ ἀπολέσαι αὐτούς, καὶ παραδοῦναι εἰς σφαγήν. Οἱ δὲ τραυματίαι αὐτῶν ῥιφήσονται, καὶ οἱ νεκροί· καὶ ἀναβήσεται αὐτῶν ἡ ὀσμή.»

Τίσι δὲ παραδοῦναι αὐτοὺς εἰς σφαγὴν ἢ ταῖς κολαστικαῖς καὶ τιμωρητικαῖς δυνάμεσι; Τούτων δὲ τῶν κολαζομένων οἱ μὲν τραυματίαι ἔσονται, οἱ δὲ νεκροί· οἱ δηλαδὴ τὰ πρὸς θάνατον ἡμαρτηκότες· ὧν αἱ πράξεις, αἱ κατὰ τὸν θνητὸν βίον συντελεσθεῖσαι κατὰ τὸν τῆς κρίσεως καιρὸν δυσωδίας ἀποπνεύσουσι· διὸ κατὰ τὸν Σύμμαχον εἴρηται, «Καὶ ἀναβήσεται ἡ δυσωδία.»

Στίχ. δ'. «Καὶ βραχήσεται τὰ ὄρη ἀπὸ τοῦ αἵματος αὐτῶν. Καὶ τακήσονται πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν.»

Ταῦτα τοίνυν ἐτύγχανον ὄρη, περὶ ὧν εἴρηται τό, «Καὶ τακήσονται ὄρη ἀπὸ τοῦ αἵματος.» Αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν, ὄρη νοούμεναι, τακήσεσθαι λέγονται, ὡς αἰτίαι γενόμεναι ἀπωλείας τῶν εἰρημένων. Τίνες δ' ἂν εἶεν αὗται, ἢ περὶ ὧν φησιν ὁ Ἀπόστολος, «Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα· ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ κόσμου τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.[1]» Αὗται γὰρ αἱ δυνάμεις, αἳ τὸν ἀέριον χῶρον διακατέχονται, δυνάμεις οὐρανῶν εἴρηνται· ἐπεὶ καὶ τὰ δι' ἀέρος φερόμενα πετεινὰ οὐρανοῦ καλεῖν εἴωθεν ἡ θεία Γραφὴ λέγουσα, «Τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τοὺς ἰχθύας τῆς θαλάσσης.[2]» Μὴ κείμενον δὲ ἐν τῇ τῶν Ἑβδομήκοντα ἑρμηνείᾳ τό, «Καὶ τακήσονται πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν», μετὰ ἀστερίσκων ἐκ τῆς τῶν λοιπῶν ἑρμηνείας προσετέθη. Ἐπεὶ δὲ ἐχρῆν ἡμᾶς γνῶναι πότε ταῦτα ἔσται, καὶ τοῦτο διδάσκει ὁ προφητικὸς λόγος, παριστάς, ὡς μετὰ τὴν συντέλειαν τοῦ κόσμου τούτου γενήσεται τὰ προλεχθέντα. Διὸ ἐπιφέρει· «Καὶ εἱλιγήσεται ὡς βιβλίον ὁ οὐρανός, καὶ πάντα τὰ ἄστρα πεσεῖται, ὡς φύλλα ἐξ ἀμπέλου, καὶ ὡς πίπτει φύλλα ἀπὸ συκῆς.» Καὶ ὁ Σωτὴρ δὲ ἐν τοῖς Εὐαγγελίοις περὶ τῆς συντελείας παραδοὺς ἔλεγεν· «Καὶ οἱ ἀστέρες πεσοῦνται ἐκ τοῦ οὐρανοῦ καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, καὶ τότε φανήσεται τὸ

1. Ἐφ. 6, 12. 2. Ψαλμ. 8, 9.

σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ.[1]» Ὁ μὲν Ἀκύλας, «Καὶ πᾶσα στρατιὰ αὐτῶν ἀπορρεύσει, ὡς ἀπορρεῖ φύλλον ἀπὸ ἀμπέλου, καὶ ὡς ἀπόπτωμα ἀπὸ συκῆς·» κατὰ δὲ τὸν Σύμμαχον, «Καὶ πᾶσα ἡ δύναμις αὐτοῦ πεσεῖται, ὡς πίπτει φύλλον ἀπὸ ἀμπέλου, καὶ ὡς ἀπόπτωμα ἀπὸ συκῆς.» Τετήρηται δὲ ταῦτα ἡμῖν, εἰς τὸ δεῖξαι, ὅτι τὰ παρὰ τοῖς Ἑβδομήκοντα εἰρημένα ἄστρα παρὰ τοῖς λοιποῖς ἑρμηνευταῖς δυνάμεις τοῦ οὐρανοῦ ὠνομάσθησαν. Ποῖαι δὲ δυνάμεις, ἢ περὶ ὧν ἀρτίως ἐλέγετο; Ταῦτα οὖν αὐτὰ ὡς φύλλα ἐξ ἀμπέλου πεσεῖσθαι εἴρηται κατὰ τὸν τῆς κρίσεως καιρόν, καθ' ὃν εἱλιγήσεται οὐρανὸς ὡς βιβλίον. Ἐπιτηρῆσαι δὲ ἄξιον, ἐνταῦθα γενομένους τοῦ λόγου, ὡς οὐ φθοράν, οὐδὲ ἀπώλειαν καὶ ἀφανισμὸν ἔσεσθαι τοῦ οὐρανοῦ σημαίνει ὁ λόγος· ἀλλ' ὡς ἂν εἱλισσομένης βίβλου φανεροῦται τὰ ἐν αὐτῇ γεγραμμένα, οὐ μὴν φθείρεται ἡ βίβλος· τὸν αὐτὸν τρόπον ἀνελιττομένης τῆς περιεχούσης τὰς τοῦ σύμπαντος αἰῶνος κρίσεις καὶ πράξεις βίβλου, αἱ ἀντικείμεναι δυνάμεις ἀπορρέουσι τῆς κατὰ τὸν ἀέρα διατριβῆς. Τότε δὲ αἱ ἀντικείμεναι δυνάμεις, αἱ πάλαι δίκην ἄστρων πολλοὺς ἀδικήσασαι, πεσοῦνται· ἐπεὶ καὶ αὐτὸς ὁ Σατανᾶς, μετασχηματιζόμενος εἰς ἄγγελον φωτός, πέπτωκεν ὡς ἀστραπὴ ἐκ τοῦ οὐρανοῦ.

Στίχ. ε'. «Ἐμεθύσθη ἡ μάχαιρά μου ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τὴν Ἰδουμαίαν καταβήσεται, καὶ ἐπὶ τὸν λαὸν τῆς ἀπωλείας μετὰ κρίσεως.»

Ἰδουμαία δὲ ἑρμηνεύεται «ἡ γεώδης», ἐφ' ἣν ἡ μάχαιρα καταβᾶσα πληροῦται αἵματος, καὶ ὥσπερ ἀπὸ στέατος τῶν κατασφαττομένων παχύνεται.

Στίχ. ς'. «Ἡ μάχαιρα Κυρίου ἐνεπλήσθη αἵματος, ἐπαχύνθη ἀπὸ στέατος, ἀπὸ αἵματος τράγων καὶ ἀμνῶν, καὶ ἀπὸ στέατος τράγων καὶ κριῶν· ὅτι θυσία τῷ Κυρίῳ ἐν Βοσόρ, καὶ σφαγὴ μεγάλη ἐν τῇ Ἰδουμαίᾳ.»

Τίνες δέ εἰσιν οὗτοι ἀμνοὶ καὶ τράγοι καὶ κριοί φησι· τῶν μὲν ἀμνῶν, ἢ κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς, ἀρνῶν, σημαινόντων τοὺς τὸν δημώδη καὶ ἰδιωτικὸν μετελθόντας βίον· τῶν δὲ τράγων καὶ κριῶν τοὺς πολλὰ δεδυνημένους ἐν ἀρχαῖς καὶ ἐξουσίαις, οὓς μετελεύσεται ἡ μάχαιρα τοῦ Θεοῦ, ὥσπερ θυσίαν ἐργαζομένη διὰ τοῦ κατασφάττειν καὶ θύειν τοὺς προλεχθέντας ἀμνοὺς καὶ τράγους καὶ κριούς.

Στίχ. ζ'. Καὶ συμπεσοῦνται οἱ ἁδροὶ μετ' αὐτῶν, καὶ οἱ κριοί, καὶ οἱ ταῦροι, καὶ μεθυσθήσεται ἡ γῆ ἀπὸ τοῦ αἵματος, καὶ ἀπὸ τοῦ στέατος αὐτῶν ἐμπλησθήσεται.»

Ἡ Βοσὸρ μεταλαμβάνεται εἰς τὴν σάρκα, τοῦ λόγου τὴν ἀνάστασιν τῆς σαρκὸς σημαίνοντος ἐν τούτοις. Διὸ τὴν τῶν εἰρημένων σφαγὴν ἐν σαρκὶ ἔσεσθαι διδάσκων φησίν· «Ὅτι θυσία τῷ Θεῷ ἐν Βοσόρ, καὶ σφαγὴ μεγάλη ἐν τῇ Ἰδουμαίᾳ·» πᾶσαν γὰρ τὴν γεώδη ψυχὴν μετελεύσεται. Ἐδὼμ γὰρ ὁ γήϊνος ἑρμηνεύεται· ὡς καὶ ἀλλαχοῦ δὴ ὁ αὐτὸς

1. Ματθ. 24, 29-30.

οὗτος προφήτης ἑξῆς προϊὼν περὶ τοῦ Σωτῆρος καὶ τῆς ὑπ' αὐτοῦ γενησομένης κρίσεώς φησιν· «Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ, ἐρύθημα ἱματίων ἐκ Βοσόρ;[1]» Τὴν γὰρ ἔνσαρκον αὐτοῦ παρουσίαν ἐπὶ τῆς γῆς γενομένην τοῦτον ἐδήλου τὸν τρόπον. Οἶμαι δὲ τὸ θεῖον Πνεῦμα τοιαύταις χρήσασθαι λέξεσιν ἀπειλητικαῖς εἰς τὸ παραστῆσαι τὴν κατὰ τῶν ἀσεβῶν τοῦ Θεοῦ ἐκδίκησιν, καὶ εἰς τὸ σοβῆσαι τοὺς τούτων ἀκροωμένους τῇ συνήθει καὶ παχυτέρᾳ ἀκοῇ, τῷ μὴ δύνασθαι τοὺς πάντας ἄλλως νοεῖν τὰς ἐπαχθησομένας τοῖς ἀσεβέσι τιμωρίας, μηδὲ τὸν τρόπον τῆς κολάσεως ἐπινοῆσαι δύνασθαι. Διὸ παχυτέροις ῥήμασι καὶ συνηθεστέραις λέξεσι φόβου ποιητικαῖς κέχρηται, ἵνα κἂν οὕτω φοβηθέντες ἐπιστρέψωσιν οἱ τούτων ἀκούοντες.

Στίχ. η'. «Ἡμέρα γὰρ κρίσεως Κυρίου, καὶ ἐνιαυτὸς ἀνταποδόσεως κρίσεως Σιών.»

Καὶ ἐν τοῖς ἀνωτέρω δὲ ἐλέγετο τό, «Γυναῖκες πλούσιαι, ἀνάστητε ἡμέρας ἐνιαυτοῦ μνείαν ποιήσασθε ἐν ὀδύνῃ μετ' ἐλπίδος.» Τίς οὖν ἦν οὗτος ὁ ἐνιαυτός, ἐφ' ᾧ κόπτεσθαι μετ' ὀδύνης προστάττει, ἡ παροῦσα προφητεία παρίστησι λέγουσα τὰ προκείμενα· «Καλέσαι ἐνιαυτὸν Κυρίου δεκτόν, καὶ ἡμέραν ἀνταποδόσεως τῷ Θεῷ ἡμῶν, παρακαλέσαι πάντας τοὺς πενθοῦντας, δοθῆναι τοῖς πενθοῦσι Σιὼν δόξαν.» Ὁρᾷς ὅπως ἐν τούτοις «ἐνιαυτὸς Κυρίου» εἴρηται, «καὶ ἡμέρα ἀνταποδόσεως», ὡς ὅμοιον τυγχάνῃ τῷ, «Ἡμέρα γὰρ κρίσεως Σιών.» Οὐκοῦν εἷς καὶ ὁ αὐτὸς ἐνιαυτὸς τυγχάνει, καὶ μία καὶ ἡ αὐτὴ ἡμέρα, καθ' ἣν οἱ πτωχοὶ εὐαγγελίζονται, οἵ τε πενθοῦντες τὴν Σιὼν παρακαλοῦνται ἐπὶ τῇ Χριστοῦ παρουσίᾳ, καὶ αἱ λεγόμεναι πλούσιαι γυναῖκες ἐπὶ τὸν κοπετὸν καλοῦνται, καὶ τὰ λεγόμενα διὰ τῶν προκειμένων τῇ Σιὼν ἀποβαίνειν ἤμελλε. Ταῦτα δὲ πάντα ἐπὶ τῆς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίας ἐπληροῦτο, καθ' ἣν οἱ μὲν εἰς αὐτὸν πεπιστευκότες, καὶ τὴν χάριν τὴν δι' αὐτοῦ παραδεδεγμένοι, τῶν χρηστοτέρων ἐπαγγελιῶν ἀπήλαυον· οἱ δὲ ἀλλοτρίους ἑαυτοὺς καταστήσαντες τῆς αὐτοῦ χάριτος, πάσης ἀγαθῆς ἐλπίδος ἀποπεσόντες, ταῖς τῶν σκυθρωποτέρων ἀπειλαῖς ὑποπεπτώκασιν. Καὶ αὐτὴ δὲ αὐτῶν ἡ σεμνὴ καὶ βασιλικὴ πόλις τοιαῦτα πέπονθεν, ὁποῖα θεσπίζει ἡ παροῦσα προφητεία.

Στίχ. θ'. «Καὶ στραφήσονται αἱ φάραγγες αὐτῆς εἰς πίσσαν, καὶ ἡ γῆ αὐτῆς εἰς θεῖον. Καὶ ἔσται ἡ γῆ αὐτῆς ὡς πίσσα καιομένη νυκτὸς καὶ ἡμέρας.»

Δι' ὧν σαφῶς ὁ λόγος παρίστησιν ἐσχάτην ἐρημίαν καταλήψεσθαι τόν τε τόπον καὶ τὸ ἔθνος.

Στίχ. ι'. «Καὶ οὐ σβεσθήσεται εἰς τὸν αἰῶνα χρόνον, καὶ ἀναβήσεται ὁ καπνὸς αὐτῆς ἄνω· εἰς γενεὰν αὐτῆς ἐρημωθήσεται, καὶ εἰς χρόνον πολύν.»

---

1. Ἡσ. 63, 1.

Τὸ σημεῖον τῆς ἐν βάθει τιμωρίας αὐτῶν τοῖς ἄνω παρέχων ὁρᾶν διὰ τὴν ὑποκειμένην αὐτοῖς κακίαν, πίσσῃ διὰ τὸ σκοτῶδες καὶ μέλαν παραβαλλομένην.

Στίχ. ια'. «Ὄρνεα, καὶ ἐχῖνοι, καὶ ἴβεις, καὶ κόρακες κατοικήσουσιν ἐν αὐτῇ· καὶ ἐπιβληθήσεται ἐπ' αὐτὴν σπαρτίον γεωμετρίας ἐρήμου, καὶ ὀνοκένταυροι οἰκήσουσιν ἐν αὐτῇ.»

Δι' ὧν αἰνίττεται ψυχὰς ἀκαθάρτους, ὁποῖαι ἦσαν αἱ τῶν μετὰ ταῦτα ἐξ ἀλλοφύλων καὶ ἀλλογενῶν ἐθνῶν τὸν τόπον οἰκησάντων εἰδωλολατρῶν.

Στίχ. ιβ'. «Οἱ ἄρχοντες αὐτῆς οὐκ ἔσονται. Οἱ γὰρ βασιλεῖς καὶ οἱ μεγιστᾶνες αὐτῆς ἔσονται εἰς ἀπώλειαν·»

δαίμονάς τινας αἰνιττόμενος τοὺς ἐν τοῖς ἀγάλμασι τῆς εἰδωλολατρείας αὐτῶν ἐμφωλεύοντας.

Στίχ. ιγ', ιδ'. «Καὶ ἀναφυήσει εἰς τὰς πόλεις αὐτῶν ἀκάνθινα ξύλα, καὶ εἰς τὰ ὀχυρώματα αὐτῆς. Καὶ ἔσται ἐπαύλεις σειρήνων, καὶ αὐλὴ στρουθῶν. Καὶ συναντήσουσι δαιμόνια ὀνοκενταύροις, καὶ βοήσονται ἕτερος πρὸς τὸν ἕτερον. Ἐκεῖ ἀναπαύονται ὀνοκένταυροι, εὑρόντες αὐτοῖς ἀνάπαυσιν·»

δηλῶν τὰς ἀκάρπους αὐτῶν διδασκαλίας. Διὸ καὶ τὸν ἀμπελῶνα αὐτῶν διὰ τῶν ἔμπροσθεν ἐδήλου ἄκανθαν ἀγηοχέναι, λέγων· «Ἔμεινα ἵνα ποιήσῃ μοι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας.[1]» Ἐρημίας δὲ τῆς ἐσχάτης ἐν ταῖς ψυχαῖς αὐτῶν γενομένης, καὶ ἀκάνθαις πληρωθείσης αὐτῶν τῆς χώρας, εἰκότως ἀναπαύεσθαι ἐν αὐτοῖς τὰ πνεύματα τὰ ἀκάθαρτα προλέγει.

Στίχ. ιε'. «Ἐκεῖ ἐνόσσευσεν ἐχῖνος, καὶ ἔσωσεν ἡ γῆ τὰ παιδία αὐτῆς μετὰ ἀσφαλείας. Ἐκεῖ συνήντησαν ἔλαφοι, καὶ εἶδον τὰ πρόσωπα ἀλλήλων.»

Ἔλαφον καθαρὸν ζῷον οἶδεν ἡ θεία Γραφή, καὶ πολλὰ χρηστὰ περὶ ἐλάφων διδάσκει, ὡς ὅταν λέγῃ· «Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος·[2]» καὶ πάλιν· «Φωνὴ Κυρίου καταρτιζομένη ἐλάφους·[3]» καὶ αὖθις· «Ἔλαφος φιλίας καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι·[4]» καὶ ἐν τῷ Ἰώβ· «Ἐφύλαξας δὲ μῆνας ἐλάφων, ὠδῖνας δὲ αὐτῶν ἐξαποστελεῖς.[5]» Καὶ αὐτὸς δὲ ὁ τῆς νύμφης, ὁ ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων, ὁ ἀδελφιδοῦς, ἐλάφῳ παραβέβληται· «Ὅμοιός ἐστι δορκάδι ἢ νεβρῷ ἐλάφων, ἐπὶ τὰ ὄρη ἀρωμάτων.[6]» Ὅτε τοίνυν καὶ αὐτὸς ὁ νυμφίος ἐλάφῳ παραβάλλεται, τίνας δ' ἂν εἴποις ἐνταῦθα ἐλάφους ἢ τοὺς μαθητὰς καὶ ἀποστόλους; Ἔστι δὲ καὶ ὀφιοκτόνον τὸ ζῷον. Διδάσκει τοίνυν ὁ παρὼν λόγος, ὡς ἀπὸ τῆς ἐρημίας τοῦ Ἰουδαίων ἔθνους ἔλαφοί τινες παρῆλθον, οἱ μαθηταὶ τοῦ Σωτῆρος ἡμῶν· «Ἐκεῖ γάρ», φησί, «συνήντησαν ἔλαφοι, καὶ εἶδον τὰ πρόσωπα ἀλλήλων.» Ἐγνώ-

---

1. Ἡσ. 5, 1. 2. Ψαλμ. 41, 1. 3. Ψαλμ. 28, 9. 4. Παρμ. 5, 19. 5. Ἰὼβ 39, 1. 6. Ἆσμ. 2, 9.

ρισαν γὰρ ἑαυτούς, καὶ τῆς ψυχῆς αὐτῶν τοὺς κατ' εἰκόνα Θεοῦ γενομένους χαρακτῆρας ἐπέγνωσαν. Ἐπειδὴ δὲ οὐ παρέμειναν ἐν μιᾷ πόλει· διέδραμον δὲ ἄλλος ἀλλαχοῦ πληροῦντες τὸ Εὐαγγέλιον· τούτου χάριν εἴρηται·

Στίχ. ις'. «Ἑτέρα τὴν ἑτέραν οὐκ ἐζήτησαν, ὅτι ὁ Κύριος αὐτοῖς ἐνετείλατο, καὶ τὸ Πνεῦμα αὐτοῦ συνήγαγεν αὐτάς.»

Ὁ γὰρ εἰπὼν αὐτοῖς, «Μαθητεύσατε πάντα τὰ ἔθνη ἐν τῷ ὀνόματί μου», αὐτὸς ἐνετείλατο μὴ κατὰ τὸ αὐτὸ ποιεῖσθαι τὰ τῆς συστάσεως τῶν Ἐκκλησιῶν αὐτῶν.

Στίχ. ιζ'. «Καὶ αὐτὸς ἐπιβαλεῖ αὐτοῖς κλήρους, καὶ ἡ χεὶρ αὐτοῦ διεμέρισε βόσκεσθαι. Εἰς τὸν αἰῶνα χρόνον κληρονομήσετε, εἰς γενεὰς γενεῶν ἀναπαύσονται ἐπ' αὐτῆς.»

Οὐκοῦν καὶ νομὴν αὐτοῖς καὶ βοσκὴν παρεῖχεν, ὥσπερ καὶ κλήρους εἰς γενεὰς γενεῶν, εἰς τὸ ἀναπαύεσθαι αὐτοὺς εἰς τοὺς αὐτῶν κλήρους, δηλαδὴ τοῖς ἔθνεσι τοῖς ἀποκληρωθεῖσιν αὐτοῖς, ἐν οἷς εἰς γενεὰς γενεῶν ἡ μνήμη αὐτῶν ἐν ταῖς ὑπ' αὐτῶν ἱδρυθείσας Ἐκκλησίαις ἀναζωπυρεῖται.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

Στίχ. α'. «Εὐφράνθητι, ἔρημος διψῶσα· ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον.»

Εἴη τοίνυν αὕτη ἡ ἔρημος παρὰ τὴν προλεχθεῖσαν Σιών, ἐν ᾗ ἐχίνους, καὶ ἴβεις, καὶ κόρακας, δαιμόνιά τε καὶ ὀνοκενταύρους οἰκήσειν ἐλέγετο, πίσσης τε αὐτῆς καὶ θείου πληρωθήσεσθαι τὰς φάραγγας. Τούτων δὲ περὶ τῆς Σιὼν καὶ περὶ τῆς Ἱερουσαλὴμ εἰρημένων, ὥρα τὰ προκείμενα περὶ ἑτέρας ἐρήμου λέγεσθαι νοεῖν. Διψῶσα γὰρ ἦν αὕτη πρότερον ἡ ἔρημος, ἐστερημένη νάματος οὐρανίου· ἀλλὰ χαίρειν αὐτῇ καὶ εὐφραίνεσθαι ὁ λόγος προστάττει διὰ τὰ λεγόμενα, ἔτι δὲ καὶ ἀνθεῖν ὡς κρίνον· ὥστε λέγειν· «Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ ἐν παντὶ τόπῳ.[1]» Ἀλλὰ καὶ ἐξανθήσει, φησί, νεαρὰ βλαστήματα καὶ ἄνθη ὡραῖα, περὶ ὧν εἴρηται ἐν Ἄσματι τῶν ᾀσμάτων· «Τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ· οἱ μανδραγόραι ἔδωκαν ὀσμὴν αὐτῶν.[2]»

Στίχ. β'. «Καὶ ἐξανθήσει καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου. Ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ Καρμήλου· καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν Κυρίου καὶ τὸ ὕψος τοῦ Θεοῦ.»

Ἐνταῦθα ἄντικρυς διὰ τοῦ Ἰορδάνου τὴν εὐαγγελικὴν Γραφὴν παρίστησιν· ἐν γὰρ τῷ Ἰορδάνῃ ποταμῷ πρῶτος Ἰωάννης ἐκήρυσσε τὴν βασιλείαν τῶν οὐρανῶν· καὶ ὡς μηκέτι ἐνεργούσης ἐν τῇ Ἱερουσαλὴμ τῆς κατὰ τὸν Μωϋσέως νόμον ἐπιτελουμένης λατρείας, βάπτισμα μετανοίας καὶ τὸ τῆς παλιγγενεσίας λουτρὸν ἐν αὐτῷ τῷ ποταμῷ

1. Β' Κορ. 2, 15. 2. Ἆσμ. 7, 14.

ὁ αὐτὸς παρεδίδου προφήτης· ὅ τε Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐπεσφραγίσατο τοῦ Ἰωάννου τὸ κήρυγμα ἐν τῷ Ἰορδάνῃ ποταμῷ βαπτισθεὶς ὑπ᾽ αὐτοῦ, καὶ βεβαιώσας δι᾽ ἑαυτοῦ τὸ τῆς παλιγγενεσίας μυστήριον.

«Ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῷ καὶ ἡ τιμὴ τοῦ Καρμήλου.»

Ὁ μὲν Λίβανος διὰ τῶν ἔμπροσθεν ἐδήλου καὶ τὸ θυσιαστήριον καὶ τὸν νεών, ἐν ᾧ αἵ τε θυσίαι σὺν αὐτῷ τῷ Λιβάνῳ καὶ ἡ κατὰ νόμον λατρεία ἐν ταῖς ἀναφοραῖς προσεφέρετο· ὁ δὲ Κάρμηλος τὸν ἐκ περιτομῆς λαὸν αἰνιττόμενος ἀποδέδεικται πολλάκις. Τοῦ λαοῦ τοίνυν τοῦ παλαιοῦ ἡ τιμή, καὶ τοῦ ναοῦ τοῦ ἐν Ἱερουσαλὴμ ἡ δόξα τῇ πάλαι ἐρήμῳ, λέγω δὴ τῇ ἐξ ἐθνῶν Ἐκκλησίᾳ δοθήσεσθαι προφητεύεται. Εἶτ᾽ ἐπιλέγει· «Καὶ ὁ λαός μου», οὐκέτι ὁ Ἰσραήλ, ἀλλ᾽ «ὁ ἐμός», φησί, «λαὸς ὄψεται τὴν δόξαν Κυρίου·» ταύτην τὴν ἐπαγγελίαν τοῦ λόγου παρέχοντος τῷ νέῳ λαῷ, ἅτε παραδεξαμένῳ τὴν πρώτην τοῦ Σωτῆρος παρουσίαν· διὸ καὶ τὴν δευτέραν καὶ ἔνδοξον αὐτοῦ θέαν, τό τε ὕψος αὐτοῦ θεωρήσει.

Στίχ. γʹ. «Ἰσχύσατε, χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα, παρακαλέσατε·»

τοῦ λόγου παρακελευομένου τοῖς τοῦ Σωτῆρος ἡμῶν μαθηταῖς τε καὶ ἀποστόλοις ἐνισχύειν τὰς παρειμένας ἐν τοῖς ἔθνεσι ψυχάς, καὶ τὰ τῶν ἠσθενηκότων γόνατα κρατύνειν.

Στίχ. δʹ. «Οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ, ἰσχύσατε, μὴ φοβεῖσθε. Ἰδοὺ ὁ Θεὸς ὑμῶν κρίσιν ἀνταποδίδωσι καὶ ἀνταποδώσει· αὐτὸς ἥξει, καὶ σώσει ἡμᾶς.»

Κἂν γὰρ διώκωσί τινες ἀπειλοῦντες, καὶ φόβους ἐμποιοῦντες, αἰκίας τε καὶ βασάνους ἐπάγοντες· ἀλλ᾽ ὑμεῖς, φησίν, οἵ ποτε ὀλιγόψυχοι, ἰσχύος τε καὶ δυνάμεως μεταλαμβάνοντες, μὴ φοβεῖσθε, ἔχοντες τὸν ὑμέτερον διὰ παντὸς ὑμῖν συνόντα Θεόν. Ταῦτα τοίνυν παιδευθέντες, ὑμεῖς οἵ ποτε ὀλιγόψυχοι, ἰσχύσατε καὶ μὴ φοβεῖσθε.

Στίχ. εʹ, ςʹ. «Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται· τότε ἀλεῖται ὡς ἔλαφος, ὁ χωλός, καὶ τρανὴ ἔσται ἡ γλῶσσα μογιλάλων.»

Καὶ οἱ κωφοί, τυφλοί τε καὶ ἀνήκοοι θείων λόγων πρότερον, νῦν διὰ τῆς αὐτοῦ χάριτος ἐπιστήμονες γεγόνασι ταῖς τῶν θεοπνεύστων λογίων ἀκοαῖς· ἀλλὰ καὶ οἱ παρείμενοι τὰς βάσεις τῆς ψυχῆς ἀνεπήδησαν ἐλάφων δίκην, τοῖς αὐτῶν ἐξομοιωθέντες διδασκάλοις· οὓς μικροῦ πρόσθεν ἐλάφους ὠνόμασεν ἡ προφητεία. Καὶ ἡ τῶν μογιλάλων γλῶσσα, ἣν συνέδησεν ὁ Σατανᾶς πρὸς τὸ μὴ θεολογεῖν τὸν ἀληθῆ Θεόν, τρανὰ φθέγγεσθαι καὶ διηρθρωμένα μεμάθηκεν. Μογιλάλους δὲ οὐκ ἂν ἁμάρτοις εἰπὼν τοὺς παρὰ τοῖς σοφοῖς τοῦ αἰῶνος τούτου, μόγις ποτὲ τολμήσαντας ὀρθόν τι φρονῆσαι καὶ εἰπεῖν περὶ Θεοῦ.

Στίχ. ζʹ. «Ὅτι ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν γῇ

διψώσῃ. Καὶ ἔσται ἡ ἄνυδρος εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν πηγὴ ὕδατος ἔσται. Ἐκεῖ εὐφροσύνη ὀρνέων, ἐπαύλεις καλάμου καὶ ἕλη.»

Τὸ μὲν οὖν ὕδωρ, αὐτὸ ἦν ἐκεῖνο τὸ τοῦ Ἰορδάνου· διὸ ἐλέγετο μικρῷ πρόσθεν· «Καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου.» Δι' οὗ καὶ ἠνίττετο τὸ λουτρὸν τῆς παλιγγενεσίας, καὶ τὸ τῆς καινῆς Διαθήκης μυστήριον· τὰ δὲ ῥεῖθρα τοὺς εὐαγγελικοὺς ἐδήλου λόγους. «Εὐφροσύνην ὀρνέων·» ψυχῶν ἐπτερωμένων δηλαδή, καὶ μετεωροποιῶν, καὶ ἄλλων ἡμέρων καὶ πράων ὑπὸ τῷ καλῷ ποιμένι διοικουμένων ὡς δύνασθαι λέγειν· «Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει.[1]»

Στίχ. η'. «Ἔσται ἐκεῖ ὁδὸς καθαρά, καὶ ὁδὸς ἁγία κληθήσεται· καὶ οὐ μὴ παρέλθῃ ἐκεῖ ἀκάθαρτος.»

Αὕτη δὲ εἴη ἂν ἡ ἀπάγουσα ἐπὶ τὸ τρισμακάριον τέλος τῆς ἐπουρανίου τοῦ Θεοῦ πόλεως, ἣν παριστὰς ὁ Σωτὴρ ἔλεγεν· «Ἐγώ εἰμι ἡ ὁδός.[2]» «Οὐδὲ ἔσται ἐκεῖ ὁδὸς ἀκάθαρτος· οἱ δὲ διεσπαρμένοι πορεύσονται ἐπ' αὐτῆς, καὶ οὐ μὴ πλανηθῶσι.» Τίνες δὲ οὗτοι, ἀλλ' ἢ οἱ πάλαι διεσκεδασμένοι τοῦ Θεοῦ καὶ μακρὰν τῆς ἀληθείας ἀποπλανηθέντες; Οὗτοι γάρ, παλινδρομήσαντες, καὶ τὴν εὐθεῖαν καὶ ἀπλανῆ ὁδὸν εὑρόντες, πορεύσονται ἐν αὐτῇ.

Στίχ. θ'. «Καὶ οὐκ ἔσται ἐκεῖ λέων, οὐδὲ τῶν πονηρῶν θηρίων οὐ μὴ ἀναβῇ εἰς αὐτήν, οὐδὲ μὴ εὑρεθῇ ἐκεῖ.»

Πῶς γὰρ καὶ οἷόν τε ἦν ἐν τῷ εἰρηκότι, «Ἐγώ εἰμι ἡ ὁδός[3]», εὑρεθῆναί τι τῶν πονηρῶν; Οὐδὲ ὁδοὺς ὄφεως ἐπὶ πέτραν δυνατὸν ἦν εὑρεῖν κατὰ τὸν Σολομῶντα.

Στίχ. ι'. «Ἀλλὰ πορεύσονται ἐν αὐτῇ λελυτρωμένοι, καὶ συνηγμένοι διὰ Κυρίου·»

οὓς αὐτὸς δηλονότι ἐλυτρώσατο τῷ ἰδίῳ αἵματι, καὶ οἱ συνηγμένοι διὰ Κυρίου, ἀλλ' οὐδὲ διὰ προφήτου, οὐδὲ διά τινος σπουδῆς ἀνθρωπίνης· δι' αὐτοῦ δὲ τοῦ Κυρίου οἱ λελυτρωμένοι καὶ συνηγμένοι, οὗτοι πορεύσονται τὴν δηλωθεῖσαν ὁδόν. «Καὶ ἀποστραφήσονται, καὶ ἥξουσιν εἰς Σιὼν μετ' εὐφροσύνης.» Οὐ γὰρ δὴ δυνατὸν ἐνταῦθα Σιὼν ἐκείνην παραδέχεσθαι, περὶ ἧς εἴρητο· «Καὶ ἐνιαυτὸς ἀνταποδόσεως κρίσεως Σιών· καὶ στραφήσονται αἱ φάραγγες αὐτῆς πίσσαν», καὶ τὰ τούτοις ἑξῆς. Διόπερ ἀνάγκη διαφόρως νοεῖν τὰς ὁμωνύμους προσαγορευομένας Σιών. «Καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν.» Οἱ γὰρ νικηταὶ τοῦ μεγάλου τούτου ἀγῶνος στεφάνῳ εὐφροσύνης ἀναδήσονται. «Ἐπὶ γὰρ τῆς κεφαλῆς αὐτῶν αἴνεσις καὶ ἀγαλλίαμα, καὶ εὐφροσύνη καταλήψεται αὐτούς· ἀπέδρα ὀδύνη, καὶ λύπη καὶ στεναγμός·» δηλονότι τοὺς τὴν σωτήριον ὁδὸν ἀκλινῶς βαδίσαντας, καὶ διὰ τοῦτο ἐπὶ τὸ τρισμακάριον τέλος καταντήσαντας· ἐν ᾧ, στεφάνῳ Θεοῦ τιμηθέντες, τῆς αἰωνίου ζωῆς ἀπολαύσουσιν ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ, ἔνθα «ἀπέδρα ὀδύνη καὶ στεναγμός.»

---

1. Ψαλμ. 22, 1. 2. Ἰω. 14, 6. 3. Ἰω. 14, 6.

ΚΕΦΑΛΑΙΟΝ ΛϚ'.

Στίχ. α'-γ'. «Καὶ ἐγένετο τοῦ ιδ' ἔτους βασιλεύοντος Ἐζεκίου, ἀνέβη Σενναχηρεὶμ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὰς πόλεις τῆς Ἰουδαίας τὰς ὀχυράς, καὶ ἔλαβεν αὐτάς. Καὶ ἀπέστειλε βασιλεὺς Ἀσσυρίων τὸν Ῥαβσάκην ἐκ Λάχης εἰς Ἱερουσαλὴμ πρὸς τὸν βασιλέα Ἐζεκίαν μετὰ δυνάμεως πολλῆς. Καὶ ἔστη ἐν τῷ ὑδραγωγῷ τῆς κολυμβήθρας τῆς ἄνω ἐν τῇ ὁδῷ τοῦ ἀγροῦ τοῦ κναφέως. Καὶ ἐξῆλθε πρὸς αὐτὸν Ἐλιακεὶμ ὁ τοῦ Χελκίου, ὁ οἰκονόμος, καὶ Σομνᾶς ὁ γραμματεύς, καὶ Ἰωὰχ ὁ τοῦ Ἀσάφ, ὑπομνηματογράφος.»

Ἱστορία μέν ἐστιν ἡ προκειμένη καὶ διήγησις θαυμαστὴ πραγμάτων κατὰ τοὺς χρόνους Ἐζεκίου γενομένων· ἀνείληπται δὲ μετὰ τῶν λοιπῶν ἱστοριῶν ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν, καὶ ἐν τῇ δευτέρᾳ τῶν Παραλειπομένων. Ὅμως δ' οὖν καὶ ἐν τῇ μετὰ χεῖρας προφητικῇ βίβλῳ καταβέβληται, διὰ τὸ ἐμφέρεσθαι πρὸς τὸ τέλος τῆς ἱστορίας προφητείαν, καί τινα μεγάλην καὶ παράδοξον πρᾶξιν ἐπιτελεσθεῖσαν κατὰ τοὺς χρόνους Ἐζεκίου.

Στίχ. δ'. «Καὶ εἶπεν αὐτοῖς Ῥαβσάκης· Εἴπατε Ἐζεκίᾳ· Τάδε λέγει ὁ βασιλεὺς ὁ μέγας, βασιλεὺς Ἀσσυρίων· Τί πεποιθὼς εἶ;»

Ὥσπερ γάρ τις ἀντικειμένη δύναμις τῷ προφητικῷ τῷ φάσκοντι, Τάδε λέγει Κύριος, καὶ οὗτος ἐβόα· «Τάδε λέγει ὁ βασιλεὺς ὁ μέγας, ὁ βασιλεὺς Ἀσσυρίων.»

Στίχ. ε'-ς'. «Ἰδοὺ πεποιθὼς εἶ ἐπὶ τὴν ῥάβδον τὴν καλαμίνην τὴν τεθλασμένην ταύτην, ἐπ' Αἴγυπτον, ὡς ἂν ἐπιστηριχθῇ ἀνὴρ ἐπ' αὐτήν, εἰσελεύσεται εἰς τὴν χεῖρα αὐτοῦ· οὕτως ἐστὶ Φαραὼ βασιλεὺς Αἰγύπτου, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.»

Συκοφάντης δὲ ὢν ὁ ἐχθρὸς καταψεύδεται τοῦ Ἐζεκίου, λέγων, Ἰδοὺ πεποιθὼς εἶ ἐπ' Αἴγυπτον, καὶ ἐπὶ Φαραὼ βασιλέα Αἰγύπτου, ὃς τοῖς ἐπερειδομένοις ἐπ' αὐτῷ, καὶ ἐπιθαρροῦσι παντὸς γίνεται πολεμίου χείρων, οὐκ εἰδὼς φυλάττειν τὰς συνθήκας τοῖς πρόσφυξιν· ὅθεν ἐοικέναι αὐτὸν ῥάβδῳ καλαμίνῃ, ὁμοῦ καὶ τὸ σαθρὸν ἐχούσῃ ἐκ φύσεως, καὶ τὸ βλαβερὸν τοῖς ἐπερειδομένοις αὐτῇ.

Στίχ. ζ'. «Εἰ δὲ λέγετε, Ἐπὶ Κύριον τὸν Θεὸν πεποίθαμεν· οὐκ αὐτός ἐστι, οὗ ἀφεῖλεν Ἐζεκίας τὰ ὑψηλὰ αὐτοῦ, καὶ τὰ θυσιαστήρια αὐτοῦ· καὶ εἶπε τῷ Ἰούδᾳ καὶ τῇ Ἱερουσαλήμ· Κατὰ πρόσωπον τοῦ θυσιαστηρίου τούτου προσκυνήσατε;»

Οὐ γὰρ ἠγνόουν οἱ πολέμιοι, ὅτι δι' εὐχῶν κρατεῖν καὶ διὰ λόγων θεοσεβῶν δεῖ τὸν Ἐζεκίαν καὶ τοὺς σὺν αὐτῷ. Ταῦτα αὐτὰ διαβάλλει ὁ τοῦ Ἀσσυρίου στρατηγός, λέγων ὡς πρὸς παρόντα τὸν Ἐζεκίαν· πρὸς ὃν ἂν εἶπεν Ἐζεκίας καὶ οἱ σὺν αὐτῷ· «Οὗτοι ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις· ἡμεῖς δὲ ἐν ὀνόματι τοῦ Θεοῦ ἡμῶν ἐπικαλεσόμεθα.[1]»

---

1. Ψαλμ. 19, 8.

Στίχ. η΄-ι΄. «Νῦν μίχθητε τῷ Κυρίῳ μου τῷ βασιλεῖ Ἀσσυρίων, καὶ δώσω ὑμῖν δισχιλίαν ἵππων, εἰ δυνήσεσθε δοῦναι ἀναβάτας ἐπ' αὐτούς. Καὶ πῶς δύνασθε ἀποστρέψαι εἰς πρόσωπον τῶν τοπαρχῶν; Οἰκέται εἰσὶν οἱ πεποιθότες ἐπ' Αἰγυπτίους. Καὶ νῦν μὴ ἄνευ Κυρίου ἀνέβημεν ἐπὶ τὴν χώραν ταύτην; Κύριος εἶπε πρός με· Ἀνάβηθι ἐπὶ τὴν γῆν ταύτην, καὶ διάφθειρον αὐτήν.»

Δεῖγμα δέ, φησίν, ἐναργὲς τοῦ κατὰ πρόσταγμα Θεοῦ ταῦτα γεγενῆσθαι, τὸ τὴν Σαμάρειαν ἑλεῖν καὶ πάντα τὸν Ἰσραὴλ ἀπαγαγεῖν αἰχμάλωτον. Ὡς γὰρ ἐκείνους ἀδελφοὺς ὄντας ὑμετέρους εἷλον, οὐκ ἄλλως ἢ τοῦ Θεοῦ βουλομένου, τὸν αὐτὸν τρόπον αὐτοῦ νεύματι καὶ ὑμᾶς λήψομαι. Εἴτε δὲ ἐκ τοῦ εἰκότος ταῦτα ἔφασκε στοχαζόμενος τὸ κεκρατηκέναι τοῦ χρηματίζοντος λαοῦ τοῦ Θεοῦ, λέγω δὴ τοῦ Ἰσραήλ· εἴτε καὶ ἀληθῶς ᾔσθετο, Θεοῦ ὑποβάλλοντος αὐτοῦ τοῖς λογισμοῖς τῇ τῶν Ἰουδαίων ἐπελθεῖν χώρᾳ, διὰ τὰς πεπραγμένας αὐτοῖς κακίας καὶ παρανομίας.

Στίχ. ια΄. «Καὶ εἶπε πρὸς αὐτὸν Ἐλιακείμ, καὶ Σομνᾶς, καὶ Ἰωάχ· Λάλησον πρὸς τοὺς παῖδάς σου Συριστί· ἀκούομεν γὰρ ἡμεῖς· καὶ μὴ λάλει πρὸς ἡμᾶς Ἰουδαϊστί. Καὶ ἵνα τί λαλεῖς εἰς τὰ ὦτα τῶν ἀνθρώπων ἐπὶ τῷ τείχει;»

Τηρητέον δέ, ὡς καὶ τῶν ἐν τούτοις ὀνομαζομένων ἀνδρῶν, λέγω δὴ τοῦ Ἐλιακεὶμ καὶ τοῦ Σομνᾶ, καὶ διὰ τῶν ἔμπροσθεν μνήμην ἐποιεῖτο ὁ προφήτης ἐν τῷ ῥήματι τῆς φάραγγος Σιών. Ἀναγκαία δέ ἐστιν ἡ ἐπιτήρησις εἰς τὸ ἐφαρμόσαι τῇ προκειμένῃ ἱστορίᾳ τοὺς ἐν ἐκείνῃ τῇ προφητείᾳ φερομένους λόγους. Φασὶ δὲ παῖδες Ἑβραίων τὸν Σομνᾶν τοῦτον αὐτομολῆσαι πρὸς τὸν Ἀσσύριον ὕστερον, δεξιὰν αὐτῷ σὺν ἑτέροις δεδωκότα διὰ τὸν ἐξ αὐτοῦ φόβον· καὶ τούτου χάριν διὰ τῶν ἔμπροσθεν προφητευθέντων περὶ αὐτοῦ λέλεκται.

Στίχ. ιβ΄-κ΄. «Καὶ εἶπε πρὸς αὐτοὺς Ῥαβσάκης· Μὴ πρὸς τὸν κύριον ὑμῶν, ἢ πρὸς ὑμᾶς ἀπέσταλκέ με ὁ κύριός μου, λαλῆσαι τοὺς λόγους τούτους; Οὐχὶ πρὸς τοὺς ἀνθρώπους τοὺς καθημένους ἐπὶ τῷ τείχει, ἵνα φάγωσι κόπρον, καὶ πίωσιν οὖρον μεθ' ὑμῶν ἅμα; Καὶ ἔστη Ῥαβσάκης, καὶ ἀνεβόησε φωνῇ μεγάλῃ Ἰουδαϊστὶ καὶ εἶπεν· Ἀκούσατε τοὺς λόγους τοῦ βασιλέως τοῦ μεγάλου, βασιλέως Ἀσσυρίων. Τάδε λέγει ὁ βασιλεύς· Μὴ ἀπατάτω ὑμᾶς Ἐζεκίας λόγοις· οὐ δύνηται ῥύσασθαι ὑμᾶς. Καὶ μὴ λεγέτω ὑμῖν Ἐζεκίας, ὅτι ῥύσεται ὑμᾶς ὁ Θεός, καὶ οὐ μὴ παραδοθῇ ἡ πόλις αὕτη ἐν χειρὶ βασιλέως Ἀσσυρίων. Μὴ ἀκούετε Ἐζεκίου. Τάδε λέγει ὁ βασιλεὺς Ἀσσυρίων· Εἰ βούλεσθε εὐλογηθῆναι, ἐκπορεύεσθε πρὸς μέ, καὶ φάγεσθε ἕκαστος τὴν ἄμπελον αὐτοῦ καὶ τὰς συκᾶς, καὶ πίεσθε ὕδωρ ἐκ τοῦ λάκκου ὑμῶν· ἕως ἂν ἔλθω, καὶ λάβω ὑμᾶς εἰς γῆν, ὡς ἡ γῆ ὑμῶν, γῆ σίτου, καὶ οἴνου καὶ ἄρτων, καὶ ἀμπελώνων. Μὴ ἀπατάτω ὑμᾶς Ἐζεκίας, λέγων· Ὁ Θεὸς ῥύσεται ἡμᾶς. Μὴ ἐρρύσαντο οἱ θεοὶ τῶν ἐθνῶν, ἕκαστος τὴν ἑαυτοῦ χώραν ἐκ χειρὸς βασιλέως Ἀσσυρίων; Ποῦ ἐστιν ὁ

Θεὸς Ἐμάθ, καὶ Ἀρφάθ; καὶ ποῦ ὁ Θεὸς τῆς πόλεως Ἐκφαρουαΐμ; Μὴ ἐδύναντο ῥύσασθαι Σαμάρειαν ἐκ χειρός μου;»

Οὐδὲν διαφέρειν νομίζων τὸν ἐν τῇ Ἱερουσαλὴμ τιμώμενον τῶν παρὰ τοῖς ἄλλοις ἔθνεσι πεπλανημένως θεῶν νομιζομένων. Κατ' ὀλίγον δὲ ὁ βάρβαρος τὴν θεομάχον ἐξώπλισε γλῶσσαν· τὸ μὲν πρῶτον τοῦ ἁγίου καταψευδόμενος, καὶ λέγων αὐτὸν πεποιθέναι ἐπ' Αἴγυπτον· εἶτα ἐπιχειρῶν τὰς παραινέσεις αὐτοῦ διαλύειν τὰς ἐπὶ Θεῷ πεποιθέναι τὸ πλῆθος παρασκευαζούσας, τὴν δύναμιν αὐτοῦ διαβάλλων διὰ τοῦ μὴ κτήσασθαι κατασκευὴν ἱππικήν· εἶτα μετὰ τοῦ Θεοῦ ἀναβῆναι λέγων, ὡς ἂν δειλιάσῃ τὸ πλῆθος ὡς προδοθὲν ἀπὸ Θεοῦ· εἶτα ἐπαγγελίαις χρηστῶν ἀμπελώνων, καὶ τῶν ἄλλων δοκούντων καλῶν· εἶτα εἰδὼς πάντα αὐτοῦ τὰ τοιαῦτα ἄπρακτα, τὴν μιαρὰν αὐτοῦ ἀνοίγει γλῶτταν, ἀσεβείας ἀφιεὶς φωνάς. Ἀλλ' ἐκτέτικε δίκας τῆς ἀσεβείας, ἀγγέλου πανστρατιᾷ δαπανώμενος χειρί.

Στίχ. κα΄, κβ΄. «Καὶ ἐσιώπησαν, καὶ οὐδεὶς ἀπεκρίθη αὐτῷ λόγον, διὰ τὸ προστάξαι τὸν βασιλέα μηδένα ἀποκριθῆναι. Καὶ εἰσῆλθεν Ἐλιακεὶμ ὁ τοῦ Χελκίου οἰκονόμος, καὶ Σομνᾶς ὁ γραμματεὺς τῆς δυνάμεως, καὶ Ἰωὰχ ὁ τοῦ Ἀσὰφ ὁ ὑπομνηματογράφος πρὸς Ἐζεκίαν, ἐσχισμένοι τοὺς χιτῶνας, καὶ ἀπήγγειλαν αὐτῷ τοὺς λόγους Ῥαβσάκου.»

Μηδὲ γὰρ προσήκει τὸν εὐσεβῆ βλασφήμῳ προσδιαλέγεσθαι, ὡς ἂν μὴ ἐρεθίζοιτο εἰς ἑτέρας ἐκπίπτειν βλασφημίας· μόνον δὲ πεφράχθαι δεῖ ὥσπερ τισὶν ὅπλοις, καὶ πανταχόθεν ἠσφαλίσθαι τῇ σιωπῇ, κρύπτοντας ἐν αὐτοῖς τοὺς ἀληθεῖς λόγους, περιμένοντας δὲ τὴν ἐκ Θεοῦ κατὰ τῶν βλασφήμων κρίσιν. Ταῦτα παραγγείλαντος τοῦ βασιλέως ἐπιστημόνως, τὸ προσταχθὲν ἐποίουν οἱ τοῦ πλήθους προεστῶτες· ὃ δὴ καὶ ἡμῖν ποιητέον ἐστὶν ἐν καιροῖς διωγμῶν, ἢ ἐν κοιναῖς καὶ ἀθέοις βλασφήμων διαλέξεσι.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ΄.

Στίχ. α΄. «Καὶ ἐγένετο ἐν τῷ ἀκοῦσαι τὸν βασιλέα Ἐζεκίαν, ἔσχισε τὰ ἱμάτια, καὶ περιεβάλετο σάκκον· καὶ ἀνέβη εἰς τὸν οἶκον Κυρίου.»

Πρὸς τοῖς ἄλλοις τοίνυν κατορθώμασι τοῦ Ἐζεκίου, γυμνασίαν ἀρετῆς καὶ πλείονος θεοσεβείας ἔνδειξιν παρεῖχεν ὁ Θεὸς αὐτῷ διὰ τῆς πρὸς τὸν πολέμιον παρατάξεως, ἐν ᾗ διέλαμψε, πάντα μὲν στρατηγικῶς τὰ πρὸς τὸν πόλεμον παραταξάμενος, τὸ δὲ πᾶν ἀναθεὶς τῷ Θεῷ, τοῖς δὲ ὑπ' αὐτὸν πλήθεσι θεοσεβῆ διδασκαλίαν παραγγείλας. «Καὶ περιέβαλε σάκκον», σημεῖα πένθους καὶ κακώσεως ἐπαγόμενος· τούτῳ δὲ τῷ σχήματι διὰ μέσης ἀνῄει τῆς πόλεως ἀπὸ τῶν βασιλέων οἴκων ἐπὶ τὸν νεὼν τοῦ Θεοῦ, καὶ ταπεινὸν ἑαυτὸν τῷ Θεῷ δεικνύς, οἴκτου καὶ ἐλέους τυχεῖν ἠξίου τῷ σχήματι.

Στίχ. β'. «Καὶ ἀπέστειλεν Ἐλιακεὶμ τὸν οἰκονόμον, καὶ Σομνᾶν τὸν γραμματέα, καὶ τοὺς πρεσβυτέρους τῶν ἱερέων περιβεβλημένους σάκκους, πρὸς Ἡσαΐαν υἱὸν Ἀμὼς τὸν προφήτην.»

Τοὺς γὰρ ἑτέρους τῶν ἱερέων τοῦ Θεοῦ, σάκκους ἀντὶ τῶν ἱερατικῶν ἠμφιεσμένους στολῶν, πρὸς τὸν προφήτην Ἡσαΐαν πέμπει, φάσκειν αὐτοῖς παραγγείλας· «Τάδε λέγει Ἐζεκίας», οὐχ ὁ βασιλεὺς προσθείς· οὐ γὰρ ὁ καιρὸς αὐτῷ τοῦτ' ἐπέτρεπε λέγειν, ταπεινουμένῳ ἕνεκα τῆς παρούσης συμφορᾶς.

Στίχ. γ', δ'. «Καὶ εἶπαν αὐτῷ· Τάδε λέγει Ἐζεκίας· Ἡμέρα θλίψεως καὶ ὀνειδισμοῦ, καὶ ἐλεγμοῦ καὶ ὀργῆς ἡ σήμερον ἡμέρα, ὅτι ἥκει ἡ ὠδὶν τῇ τικτούσῃ, ἰσχὺν δὲ οὐκ ἔχει τοῦ τεκεῖν. Εἰσακοῦσαι Κύριος ὁ Θεός σου τοὺς λόγους Ῥαβσάκου, οὓς ἀπέστειλε βασιλεὺς Ἀσσυρίων, ὀνειδίζειν Θεὸν ζῶντα, καὶ ὀνειδίζειν λόγους, οὓς ἤκουσε Κύριος ὁ Θεός σου, καὶ δεηθήσῃ πρὸς Κύριόν σου περὶ τῶν καταλελειμμένων τούτων.»

Τούτου χάριν ἐπὶ σὲ τὸν τοῦ Θεοῦ ἄνθρωπον ἀνεπέμψαμεν, διὰ σοῦ τὸν σὸν Θεὸν ἐν καιρῷ παραστῆσαι βοηθὸν ἡμῖν ἀντιβολοῦντες· ὃν οὐδὲ ἑαυτῶν Θεὸν ὀνομάζειν τολμῶμεν· σὸν δὲ Κύριον καὶ Θεὸν ἀκριβῶς ὄντα ἐπιστάμεθα. Τοῦτον οὖν αὐτὸν ἱκετεύομεν μὴ τοῖς ἡμετέροις ἐπιβλέψαι πλημμελήμασι, καὶ μὴ τῶν ἡμετέρων μνήμην ποιήσασθαι ἁμαρτημάτων· ταῖς δὲ ἀθέοις τοῦ πολεμίου φωναῖς, καὶ τῇ τοσαύτῃ ὑπερηφάνῳ προσέχειν ἀλαζονείᾳ.

Στίχ. ε'-ζ'. «Καὶ ἦλθον οἱ παῖδες τοῦ βασιλέως Ἐζεκίου πρὸς Ἡσαΐαν, καὶ εἶπεν αὐτοῖς Ἡσαΐας· Οὕτως ἐρεῖτε πρὸς τὸν κύριον ὑμῶν· Τάδε λέγει Κύριος· Μὴ φοβηθῇς ἀπὸ τῶν λόγων ὧν ἤκουσας, οὓς ὠνείδισάν με οἱ πρέσβεις βασιλέως Ἀσσυρίων. Ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς αὐτὸν πνεῦμα, καὶ ἀκούσας ἀγγελίαν, ἀποστραφήσεται εἰς τὴν χώραν αὐτοῦ, καὶ πεσεῖται μαχαίρᾳ ἐν τῇ γῇ αὐτοῦ.»

Ὡς δὲ μόνον ἐπέστησαν αὐτοί, φθάσας τοὺς παρ' αὐτῶν λόγους ὁ Ἡσαΐας, ἀπαγγέλλειν προσέταττε τὴν ἐπιφερομένην προφητείαν· δι' ἧς πνεῦμα, φησίν, ἐμβάλλει εἰς αὐτόν· ὑφ' οὗ πνεύματος ἀπατηθείς, ἐπανήξει ἐπὶ τὴν ἑαυτοῦ γῆν, ἔνθα ξίφει τὴν ζωὴν καταστρέψει.

Στίχ. η'-ις'. «Καὶ ἀπέστρεψε Ῥαβσάκης, καὶ κατέλαβε τὸν βασιλέα Ἀσσυρίων πολιορκοῦντα Λοβνάν. Καὶ ἤκουσεν ὅτι ἀπῆρεν ἀπὸ Λαχίς, καὶ ἐξῆλθε Θαρακά, βασιλεὺς Αἰθιόπων, πολιορκῆσαι αὐτόν· καὶ ἀκούσας ἀπέστρεψε. Καὶ ἀπέστειλεν ἀγγέλους πρὸς Ἐζεκίαν λέγων· Οὕτως ἐρεῖτε Ἐζεκίᾳ βασιλεῖ τῆς Ἰουδαίας· Μή σε ἀπατάτω ὁ Θεός σου, ἐφ' ᾧ πέποιθας ἐπ' αὐτῷ, λέγων· Οὐ μὴ παραδοθῇ Ἱερουσαλὴμ ἐν χειρὶ βασιλέως Ἀσσυρίων. Σὺ οὐκ ἤκουσας ἃ ἐποίησαν βασιλεῖς Ἀσσυρίων; Πᾶσαν τὴν γῆν ὡς ἀπώλεσαν, καὶ σὺ ῥυσθήσῃ; Μὴ ἐρρύσαντο αὐτοὺς οἱ θεοὶ τῶν ἐθνῶν, οὓς ἀπώλεσαν οἱ πατέρες μου, τήν τε Γωζάν, καὶ Χαρράν, καὶ Ῥαφέθ, αἵ εἰσιν ἐν χώρᾳ Θεμάθ; Ποῦ εἰσι βασιλεῖς Ἐμάθ; καὶ ποῦ Ἀρφάθ; καὶ ποῦ

πόλεως Ἐπφαρουαΐμ, Ἀναγουγάνα; Καὶ ἔλαβεν Ἐζεκίας τὸ βιβλίον παρὰ τῶν ἀγγέλων, καὶ ἀνέγνω αὐτό, καὶ ἀνέβη εἰς οἶκον Κυρίου, καὶ ἤνοιξεν αὐτὸ ἐναντίον Κυρίου. Καὶ προσηύξατο Ἐζεκίας πρὸς Κύριον λέγων· Κύριος Σαβαώθ, ὁ Θεὸς Ἰσραήλ, ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ.»

Ὁ δέ γε Ἐζεκίας ὥσπερ καὶ πρότερον ἔσπευδε καὶ νῦν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ, καὶ αὐτῷ μόνῳ τὴν ἐπιστολὴν ἐδείκνυ τῷ Θεῷ. Εἶτ' ἐπῆγεν ἱκετηρίαν, διὰ προσευχῆς μόνον αὐτὸν εἶναι λέγων Θεόν, καὶ οὐκ ἄλλον.

Στίχ. ιγ'-κα'. «Σὺ εἶ ὁ Θεὸς μόνος πάσης βασιλείας τῆς οἰκουμένης· σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν. Κλῖνον, Κύριε τὸ οὖς σου· εἰσάκουσον, Κύριε· ἄνοιξον, Κύριε, τοὺς ὀφθαλμούς σου· εἴσβλεψον, Κύριε, καὶ ἰδὲ τοὺς λόγους Σενναχηρείμ, οὓς ἀπέστειλεν ὀνειδίζειν Θεὸν ζῶντα. Ἐπ' ἀληθείας γάρ, Κύριε, ἠρήμωσαν βασιλεῖς Ἀσσυρίων τὴν οἰκουμένην ὅλην, καὶ τὴν χώραν αὐτῶν, καὶ ἀνέβαλον τὰ εἴδωλα αὐτῶν εἰς τὸ πῦρ. Οὐ γὰρ θεοὶ ἦσαν, ἀλλ' ἔργα χειρῶν ἀνθρώπων, ξύλα καὶ λίθοι· καὶ ἀπώσαντο αὐτούς. Νῦν δέ, Κύριε, ὁ Θεὸς ἡμῶν, σῶσον ἡμᾶς ἐκ χειρῶν αὐτοῦ· ἵνα γνῷ πᾶσα ἡ βασιλεία τῆς γῆς, ὅτι σὺ εἶ ὁ Θεὸς μόνος. Καὶ ἀπεστάλη Ἡσαΐας υἱὸς Ἀμὼς πρὸς Ἐζεκίαν.»

Ὁ μὲν βασιλεὺς Ἐζεκίας, οἷα θεοφιλής, εἰς τὸν οἶκον ἀνῄει τοῦ Θεοῦ, καὶ τὴν ἀνάγραπτον ἱκετηρίαν ἀνέπεμπε· Θεὸς δὲ αὐτῷ ἀποκρίνεται, τὸν ἑαυτοῦ προφήτην Ἡσαΐαν ὡς αὐτὸν πέψας· δεύτερον δὲ αὐτῷ τοῦτον ἐκδίδωσι τὸν χρησμόν, ὡς ἄρα εἴη ἀκηκοὼς τὸν τῆς προσευχῆς αὐτοῦ λόγον διδάσκων.

Στίχ. κα'-κβ'. «Καὶ εἶπεν αὐτῷ· Τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· Ἤκουσα ἃ προσηύξω πρός με περὶ Σενναχηρεὶμ βασιλέως Ἀσσυρίων. Οὗτος ὁ λόγος ὃν ἐλάλησε περὶ αὐτοῦ ὁ Θεός· Ἐφαύλισέ σε καὶ ἐμυκτήρισέ σε, παρθένος θυγάτηρ Σιών.»

Ἐγὼ δέ σοί φημι μὴ σαυτὸν ἀπατᾶν, οὐ γὰρ τῇ σαυτοῦ δυνάμει τούτων ἁπάντων περιγέγονας. Ἐγὼ δὲ ἤμην αὐτὰ κατ' αὐτῶν ὁρίσας εἰ καὶ σὺ μὴ ἐπέγνως, ἢ καὶ μηδὲ ἤκουσας τὴν ἐμὴν ἐξ ἀρχῆς βουλήν. Ταῦτα γὰρ αὐτὸς κέκρικα κατὰ τῶν ἀθέων καὶ ἀσεβῶν ἐθνῶν πάλαι καὶ ἐξ ἡμερῶν ἀρχαίων διὰ σοῦ πραχθῆναι. Νῦν δὲ δι' ἔργων τὴν ἐμὴν ἐπέδειξα βουλήν, ἐγείρας σε ἐπ' ὀλέθρῳ τῶν τιμωρίας ἀξίων, καί σοι χρησάμενος σημείῳ τοῦ ἐξερημῶσαι ἔθνη, ἀναστάτους ποιῆσαι τοὺς οἰκοῦντας ἐν πόλεσιν ὀχυραῖς· ἃς πρότερον μὲν ἐφύλαττον διασῴζων ἐγώ· ἐπεὶ δὲ ἠσέβουν μὴ γνωρίζοντες τὸν ἑαυτῶν σωτῆρα, ἀνῆκα τὰς ἑαυτοῦ χεῖράς σοι παραδιδοὺς ἐπὶ τιμωρίᾳ· οἱ δὲ παραχρῆμα ἔρημοι ἐγένοντο τῆς ἐμῆς στερηθέντες ἐπισκοπῆς. Διὸ ἐπιλέγει·

Στίχ. κγ'-κε'. «Ἐπὶ σοὶ κεφαλὴν ἐκίνησε, θυγάτηρ Ἱερουσαλήμ. Τίνα ὠνείδισας καὶ παρώξυνας; ἢ πρὸς τίνα ὕψωσας τὴν φωνήν σου; καὶ οὐκ ἦρας εἰς ὕψος τοὺς ὀφθαλμούς σου πρὸς τὸν ἅγιον τοῦ Ἰσραήλ,

ὅτι δι' ἀγγέλων ὠνείδισας Κύριον. Σὺ γὰρ εἶπας· Τῷ πλήθει τῶν ἁρμάτων ἐγὼ ἀνέβην εἰς ὕψος ὀρέων, καὶ εἰς τὰ ἔσχατα τοῦ Λιβάνου, καὶ ἔκοψα τὸ ὕψος τῆς κέδρου αὐτοῦ, καὶ τὸ κάλλος τῆς κυπαρίσσου, καὶ εἰσῆλθον εἰς ὕψος μέρους τοῦ δρυμοῦ.»

Ἠνίττετο διὰ τούτων τὰς ἐν τοῖς λοιποῖς ἔθνεσιν ἐπηρτημένας καὶ εὐθυνουμένας βασιλείας. Τὸ γὰρ πολὺ πλῆθος τοῦ Λιβάνου ἐν ὑψηλοτάταις κέδροις καὶ κυπαρίσσοις, ἢ καὶ «ἀρκεύθοις», κατὰ τὸν Σύμμαχον, ἢ «ἐλάταις», κατὰ τὸν Ἀκύλαν, εἰς εἰκόνα περιείληφε τῶν τότε εὐθηνουμένων ἐθνῶν.

Στίχ. κς'-κθ'. «Καὶ ἔθηκα γέφυραν, καὶ ἠρήμωσα ὕδατα, καὶ πᾶσαν συναγωγὴν ὕδατος. Οὐ ταῦτα ἤκουσας πάλαι ἃ ἐγὼ ἐποίησα; Ἐξ ἡμερῶν ἀρχαίων συνέταξα· νῦν δὲ ἐπέδειξα ἐξερημῶσαι ἔθνη ἐν ὀχυροῖς, καὶ οἰκοῦντας ἐν πόλεσιν ὀχυραῖς. Ἀνῆκα τὰς χεῖρας, καὶ ἐξηράνθησαν, καὶ ἐγένοντο ὡς χόρτος ξηρὸς ἐπὶ δωμάτων, καὶ ὡς ἄγρωστις. Νῦν δὲ τὴν ἀνάπαυσίν σου καὶ τὴν ἔξοδόν σου καὶ τὴν εἴσοδόν σου ἐγὼ ἐπίσταμαι. Ὁ δὲ θυμός σου, ὃν ἐθυμώθης, καὶ ἡ πικρία σου ἀνέβη πρός με. Καὶ ἐμβαλῶ φιμὸν εἰς τὴν ῥῖνά σου, καὶ χαλινὸν εἰς τὰ χείλη σου, καὶ ἀποστρέψω σε τῇ ὁδῷ ᾗ ἦλθες, ἐν αὐτῇ·»

ἵνα μὴ ὅποι βούλει ἀπίῃς, ἕλκοιο δὲ καὶ μὴ βουλόμενος εἰς τοὐπίσω· ἀποστραφῆναι γάρ σε δεήσει τῇ ὁδῷ ᾗ τὴν ἐνταῦθα πεποίησαι πορείαν, πρὸς τὸ μὴ τοιαῦτα φθέγγεσθαι τολμᾶν. Πλὴν εἰ καὶ μὴ συναπώλεσε τῷ πλήθει διὰ τὴν εἰρημένην αἰτίαν, δι' ἣν καὶ Φαραώ, τῶν λοιπῶν Αἰγυπτίων κολαζομένων, θεωρὸς ἐφυλάττετο· ὅμως γοῦν τοὺς παῖδας εὗρεν ἑαυτοῦ φονέας ἐπὶ τῆς οἰκείας γενόμενος γῆς.

Στίχ. λ-λα'. «Τοῦτο δέ σοι τὸ σημεῖον· φάγε τοῦτον τὸν ἐνιαυτὸν ἃ ἔσπαρκας· τῷ δὲ ἐνιαυτῷ τῷ δευτέρῳ τὸ κατάλειμμα· τῷ δὲ τρίτῳ σπείραντες ἀμήσατε, καὶ φυτεύσατε ἀμπελῶνας, καὶ φάγεσθε τὸν καρπὸν αὐτῶν.»

Εἰ δέ σοι δεῖ σημείου πρὸς πίστωσιν τῶν ἐμῶν λόγων, ἴσθι ὅτι τὸν παρόντα ἐνιαυτὸν τοῖς ἀπὸ τῆς γῆς αὐτομάτως ἀναδοθησομένοις πρὸς τροφὴν χρήσῃ, τὸ μηδὲ δύνασθαι συνήθως τὴν χώραν γεωργίας τυχεῖν διὰ τὴν τῶν πολεμίων ἔφοδον.

Στίχ. λβ'-λγ'. «Καὶ ἔσονται οἱ καταλελειμμένοι ἐν τῇ Ἰουδαίᾳ, φυήσουσι ῥίζαν κάτω, καὶ ποιήσουσι σπέρμα ἄνω, ὅτι ἐξ Ἱερουσαλὴμ ἔσονται οἱ καταλελειμμένοι, καὶ οἱ σῳζόμενοι ἐξ ὄρους Σιών. Ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα. Διὰ τοῦτο οὕτως λέγει Κύριος ἐπὶ βασιλέα Ἀσσυρίων· Οὐ μὴ εἰσέλθῃ εἰς τὴν πόλιν ταύτην, οὐδὲ μὴ βάλῃ ἐπ' αὐτὴν βέλος, οὐδὲ μὴ ἐπιβάλῃ ἐπ' αὐτὴν θυρεόν, οὐδὲ μὴ κυκλώσῃ ἐπ' αὐτὴν χάρακα», εὖ εἰδότες, ὡς οἱ περιλειφθέντες ἐν τῇ Ἰουδαίᾳ μετὰ τὴν αἰχμαλωσίαν τοῦ ἐν Σαμαρείᾳ πλήθους ἐν εἰρήνῃ διατελέσετε, εἰ κατὰ τὴν ἐμὴν βουλήν, ῥίζαν ἐμβαλόντες ἑδραίαν θεοσεβείας ἐν τῇ ἑαυτῶν ψυχῇ, καρπὸν τῆς ἐμῆς γεωργίας ἄξιον ἀναβλέποντα πρὸς μὲ ἀναδώσετε.

Στίχ. λδ'-λε'. «Ἀλλὰ τῇ ὁδῷ ᾗ ἦλθεν, ἐν αὐτῇ ἀποστραφήσεται, καὶ εἰς τὴν πόλιν ταύτην οὐ μὴ εἰσέλθῃ. Τάδε λέγει Κύριος· Ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν δι' ἐμέ, καὶ διὰ Δαυῒδ τὸν παῖδά μου.»

Τοῦτο γὰρ ἐμοὶ Θεῷ ὄντι πρέπει. Διὸ ταῦτα πράξω δι' ἐμέ, ἀλλ' οὐ διὰ τοῦ ἀξίους εἶναι τοὺς βοηθουμένους.

Στίχ. λς'-λη'. «Καὶ ἐξῆλθεν ἄγγελος Κυρίου, καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ρπε' χιλιάδας· καὶ ἀναστάντες τὸ πρωΐ, εὗρον πάντα τὰ σώματα νεκρά. Καὶ ἀπῆλθεν ἀποστραφεὶς Σενναχηρεὶμ βασιλεὺς Ἀσσυρίων, καὶ ᾤκησεν ἐν Νινευῇ· καὶ ἐν τῷ αὐτὸν προσκυνεῖν ἐν τῷ οἴκῳ Νασαρὰχ τὸν πάτραρχον αὐτοῦ, Ἀδραμέλεχ καὶ Σαρασὰρ οἱ υἱοὶ αὐτοῦ ἐπάταξαν αὐτὸν μαχαίραις. Αὐτοὶ δὲ διεσώθησαν εἰς Ἀρμενίαν, καὶ ἐβασίλευσεν Ἀσορδὰν ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.»

Οὐκ εἰς μακρὰν δὲ τοῖς λόγοις φοβερά τις θεϊκὴ πρᾶξις εἵπετο αὐτίκα μετὰ ταύτας τὰς φωνάς, οὐδ' ἀνθρωπίνης μεθόδου, μυριάδες ἀθρόως, ἀνδρῶν εὕρηνται νεκραὶ βεβλημέναι ὑπὸ χειρὸς ἑνὸς ἀγγέλου· τοσοῦτος γὰρ ἦν οὗτος, ὡς Θεοῦ κρίσει διακονήσασθαι καὶ τοσαῦτα πλήθη τῶν πολεμίων ἀνελεῖν· ὅπως ἔργῳ πεῖραν λάβοι ὁ τούτων βασιλεύς, ὃς κατεβλασφήμει Θεοῦ. Τούτου γοῦν ἕνεκεν τοσούτων ἀπολλυμένων, οὐ συναπώλλυτο, ὡς ἂν θεωρὸς γενόμενος τοῦ πραχθέντος, τὴν ἄθεον αὐτοῦ γλῶτταν ἐπιστομίσειεν.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ'.

Στίχ. α'-γ'. «Ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ, ἐμαλακίσθη Ἐζεκίας ἕως θανάτου· καὶ πρὸς αὐτὸν Ἡσαΐας υἱὸς Ἀμὼς ὁ προφήτης, καὶ εἶπε πρὸς αὐτόν· Τάδε λέγει Κύριος· Τάξαι περὶ τοῦ οἴκου σου· ἀποθνῄσκεις γὰρ σύ, καὶ οὐ ζήσῃ. Καὶ ἀπέστρεψεν Ἐζεκίας τὸ πρόσωπον αὐτοῦ πρὸς τὸν τοῖχον, καὶ προσηύξατο πρὸς Κύριον, λέγων· Μνήσθητι, Κύριε, ὡς ἐπορεύθην ἐνώπιόν σου μετὰ ἀληθείας ἐν καρδίᾳ ἀληθινῇ, καὶ τὰ ἀρεστὰ ἐνώπιόν σου ἐποίησα. Καὶ ἔκλαυσεν Ἐζεκίας κλαυθμῷ μεγάλῳ.»

Ὁ εἰπὼν Θεός· «Ἐγὼ ἀποκτενῶ καὶ ζωοποιήσω· πατάξω, κἀγὼ ἰάσομαι[1]», τοὺς πολεμίους πατάξας κρίσει δικαίᾳ δι' ἑνὸς ἀγγέλου, τὸν θεοφιλῆ βασιλέα ἰᾶται καὶ ζωοποιεῖ, ῥυόμενος αὐτὸν ἐκ θανάτου δι' ἑαυτοῦ. Καλῶς οὖν ἀπεσημήνατο φήσας· «Ἐν τῷ καιρῷ ἐκείνῳ ἐμαλακίσθη Ἐζεκίας ἕως θανάτου·» ἢ κατὰ τὸν Ἀκύλαν, «τοῦ ἀποθανεῖν», ἢ κατὰ τοὺς λοιπούς, «εἰς θάνατον.» Ἐν γὰρ ἐκείνῳ τῷ καιρῷ, καθ' ὃν τὰ προλεχθέντα πεπόνθασιν οἱ Ἀσσύριοι, ὁ τοῦ θανάτου καιρὸς ἐπέστη τῷ Ἐζεκίᾳ. Βουλόμενος δὲ σῶσαι αὐτὸν ὁ

1. Δευτ. 32, 39.

Θεός, οὐκ ἐν ἀδήλῳ κατέλιπε τὸ μέλλον τὴν μαλακίαν αὐτοῦ διαδέξασθαι τέλος. Διὸ προφάσεις αὐτῷ σωτηρίας παρέχων, τὸ τῆς ἀρρωστίας τέλος φανερὸν αὐτῷ καθίστη, διὰ τοῦ προφήτου, ὡς ἂν μαθὼν προσεύξοιτο, καὶ προσευξάμενος τύχοι προσθήκης ζωῆς, καὶ μετὰ τὸν ὡρισμένον κατ' αὐτοῦ θάνατον· διδάσκοντος ἡμᾶς τοῦ λόγου, ὡς οὐκ ἀνάγκη τις ἢ εἱμαρμένη τῆς ἀνθρωπίνης ζωῆς, οὐδὲ ἀπαράτρεπτος ἀνθρώποις καιρὸς ὥρισται θανάτου. Θεὸς δὲ αὐτός, κρατῶν ἁπάντων, καὶ ζωῆς αἴτιος καὶ θανάτου τυγχάνει, δι' οὓς οἶδεν αὐτὸς τρόπους ἑκάστων τῶν εἰς τὸν βίον παριόντων κατὰ τούσδε ἢ τούσδε τοὺς χρόνους παράγων, καὶ ἐπὶ τοσοῖσδε ἢ τοσοῖσδε ἔτεσι, καὶ διὰ τοιᾶσδε ἢ τοιᾶσδε συνάγων τελευτῆς. Μόνῳ τε αὐτῷ καὶ τοὺς ἐν αὐταῖς, ὡς εἰπεῖν, ταῖς τοῦ θανάτου πύλαις γενομένους δυνατόν ἐστιν ἀνακαλεῖσθαι· ὡς νῦν μὲν τὸν Ἐζεκίαν ἐξ ἀρρωστίας θανατικῆς διασώσασθαι, καὶ προσθήκην αὐτῷ ζωῆς χαρίσασθαι ὅλων ἐτῶν πέντε καὶ δέκα· ἑτέρους δὲ καὶ μετὰ τὸ τεθνάναι ἐκ νεκρῶν ἀναβιῶναι ποιήσας, ὅσους ἡ θεία παρίστησι Γραφή. Ὡς ἐξ ἅπαντος λελύσθαι τοὺς περὶ εἱμαρμένης λόγους, διὰ τὸ καὶ πάσης ἀνάγκης καὶ πάσης οὐσίας τε καὶ φύσεως τὸν ἐπὶ πάντων Θεὸν κρατεῖν. Ταῦτα ἰδὼν ὁ Ἐζεκίας, ὅτε μὲν ὑγιὴς τὸ σῶμα ἦν, ἐπὶ τὸν νεὼν ἔσπευδε τοῦ Θεοῦ, κἀκεῖ τὸν Θεὸν αὐτοῦ τε καὶ τοῦ λαοῦ καὶ τῆς πόλεως σωτῆρα γενέσθαι ἐξεκαλεῖτο· ἐπεὶ δὲ τοῦτο πράττειν ἐπὶ τοῦ παρόντος ἀπεῖργεν ἡ νόσος, ἐξ αὐτῆς στρωμνῆς τὴν εὐχὴν ἀνέπεμπε τῷ Θεῷ, πανταχοῦ παρεῖναι καὶ παντὸς εἶναι θεοσεβοῦς ἐπήκοον πεπεισμένος.

Στίχ. δ', ε'. «Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἡσαΐαν λέγων· Πορεύθητι, καὶ εἰπὸν Ἐζεκίᾳ· Τάδε λέγει Κύριος ὁ Θεὸς Δαυῒδ τοῦ πατρός σου.»

Πατέρα δὲ αὐτοῦ τὸν Δαυῒδ ὁ Θεὸς ἐκάλει, τὴν ἀνωτάτω μαρτυρίαν αὐτῷ παρέχων, ὡς ἀξίῳ τὸν θεοφιλῆ πατέρα ἐπιγράφεσθαι τῆς τῶν τρόπων ὁμοιότητος χάριν. «Ἤκουσα τῆς προσευχῆς σου, καὶ εἶδον τὰ δάκρυά σου. Ἰδοὺ προστίθημι πρὸς τὸν χρόνον σου ιε' ἔτη.»

Στίχ. ϛ'. «Καὶ ἐκ χειρὸς βασιλέως Ἀσσυρίων ῥύσομαί σε καὶ τὴν πόλιν ταύτην.»

Ἐπεὶ καὶ οἱ λόγοι τῆς εὐχῆς οὐκ ἐν πολυλογίᾳ περιεχόμενοι, ἄξιοι τῶν ἀκοῶν ἦσαν τοῦ Θεοῦ, καὶ τὸ τῶν δακρύων ἔργον κατὰ καιρὸν εὐλόγως καὶ ἀναγκαίως γενόμενον τοὺς τῆς ἐπισκοπῆς τοῦ Θεοῦ εἷλκε πρὸς αὐτὸν ὀφθαλμούς· διὸ καὶ ἐπινεύει αὐτῷ ζωῆς προσθήκην, ἔργῳ παριστάς, ὡς οὔτε φύσει ἀτάκτῳ θάνατος ἀνθρώποις ὥρισται, οὔτε ἀνάγκῃ ἀπαραιτήτῳ. Οὐ μόνον δὲ χρόνους αὐτῷ ζωῆς, ἀλλ' ἐκ περιουσίας, οἷα Θεός, καὶ εὐζωΐαν αὐτῷ τὴν ἐν συστάσει καὶ εἰρηναίῳ βίῳ ἐπαγγέλλεται, αὐτόν τε ὁμοῦ καὶ τὸν σὺν αὐτῷ λαὸν καὶ τὴν πόλιν ἐκ τῆς τῶν πολεμίων χειρὸς διασῴζειν ὑπισχνούμενος, σημεῖόν τε αὐτῷ παρεῖχε τῆς τῶν εἰρημένων πίστεως δι' ἑτέρου παραδόξου.

Στίχ. ζ', η'. «Τοῦτο δέ σοι τὸ σημεῖον παρὰ Κυρίου, ὅτι ποιή-

σει Κύριος τὸ ῥῆμα τοῦτο. Ἰδοὺ ἐγὼ στρέψω τὴν σκιὰν τῶν ἀναβαθμῶν, οὓς κατέβη τοὺς ι' ἀναβαθμοὺς τοῦ οἴκου τοῦ πατρός σου ὁ ἥλιος. Ἀποστρέψω τὸν ἥλιον τοὺς ι' ἀναβαθμούς· καὶ ἀνέβη ὁ ἥλιος τοὺς ι' ἀναβαθμούς, οὓς κατέβη ἡ σκιά.»

Σημεῖον μὲν ὑπήρχετο θαυμαστόν, καὶ τὸν Ἐζεκίου ἀπὸ δυσμῶν τοῦ βίου δευτέραν παλινδρομῆσαι ζωήν.

Στίχ. θ'. «Προσευχὴ Ἐζεκίου βασιλέως τῆς Ἰουδαίας, ἡνίκα ἐμαλακίσθη, καὶ ἀνέστη ἐκ τῆς μαλακίας αὐτοῦ.

Στίχ. ι'. «Ἐγὼ εἶπα ἐν τῷ ὕψει τῶν ἡμερῶν μου· Πορεύσομαι ἐν πύλαις ᾄδου, καταλείψω τὰ ἔτη τὰ ἐπίλοιπα.».

Συνειδὼς γὰρ ἐμαυτὸν ἤδη λοιπὸν ταῖς τοῦ θανάτου πύλαις πλησιάζοντα, ἀπεῖπον καὶ ἀπήλπικα ἐμαυτοῦ τὴν ἐν ἀνθρώποις ζωήν.

Στίχ. ια'. «Εἶπα· Οὐκέτι οὐ μὴ ἴδω τὸ σωτήριον τοῦ Θεοῦ ἐπὶ γῆς, οὐκέτι μὴ ἴδω ἄνθρωπον.»

Εἰκότως ἐν ἀγῶνι καταστὰς τῶν μετὰ τὴν ἀπαλλαγὴν τοῦ βίου, ὑπομιμνήσκει μὲν τῆς ἑαυτοῦ θεοσεβείας τὸν Θεόν· διὰ δὲ τοῦ κλαυθμοῦ μὴ ἐκπεσεῖν τῆς χώρας τῶν ζώντων κατηντιβόλει. Ἔτι δὲ καὶ τοῦτο πρὸς τοῖς εἰρημένοις ἐλύπει τὸν Ἐζεκίαν, μηδένα διάδοχον ἐκ σπέρματος ὑπάρχειν αὐτοῦ, μήπω παιδὸς αὐτῷ γενομένου, καθ' ὃν χρόνον αὐτὰ ἔλεγεν. Ἐπειδὴ τοίνυν ἄπαις ἔμελλε τελευτᾶν, μηδένα καταλιπὼν διάδοχον, ἐξ οὗ τὸ σωτήριον τοῦ Θεοῦ γενέσθαι ἐν ἀνθρώποις προσδοκᾶν, εἰκότως ἂν τῆς τοῦ Χριστοῦ γεννήσεως τῆς ἐκ σπέρματος τοῦ Δαυῒδ ἐπαιρόμενος, καὶ ἀπεκλαίετο.

Στίχ. ιβ'. «Ἐξέλιπεν ἐκ τῆς συγγενείας μου· κατέλιπον τὸ ἐπίλοιπον τῆς ζωῆς μου. Ἐξῆλθε καὶ ἀπῆλθεν ἀπ' ἐμοῦ, ὥσπερ ὁ σκηνὴν καταλύων πήξας. Ὡς ἱστὸς τὸ πνεῦμά μου παρ' ἐμοὶ ἐγένετο, ἐρίθου ἐγγιζούσης ἐκτεμεῖν.»

Σκηνὴν καλεῖ τὸ σῶμα, ἔνοικον δὲ τὴν ψυχήν· ἧς ἀναχωρούσης, ἔοικε τὸ σῶμα καταλυομένῃ σκηνῇ· σκηνὴν μὲν λέγων τὸ σῶμα, ἐπεὶ ὁ θεσπέσιος Ἀπόστολος σκηνὴν αὐτὸ ὠνόμασεν. Ἀλλὰ καὶ ὥσπερ ἱστὸν ἐρίθου τὸ ὕφασμα λοιπὸν ἀποτεμνούσης, οὕτω καὶ τὰ τῆς ἐμῆς ζωῆς, καὶ τοῦ βίου παντὸς τὸ ὕφασμα περὶ τέλος ἤλαυνεν ἀποτεμνόμενον. Ἕκαστος οὖν τῶν ἀνθρώπων στολὴν ὑφαίνων, καὶ κόσμον τῇ ἑαυτοῦ περιτιθεὶς ψυχῇ διὰ τῶν αὐτοῦ πράξεων.

Στίχ. ιγ'. «Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ παρεδόθην ἕως πρωῒ ὡς λέοντι, οὕτως συνέτριψε πάντα τὰ ὀστᾶ μου. Ἀπὸ γὰρ τῆς ἡμέρας ἕως νυκτὸς παρεδόθην.»

Ὥσπερ τινὶ ἀνθρωποβόρῳ λέοντι, ὅς τε ὡς μὲν διὰ τῆς ἐπιτεθείσης μοι ἀρρωστίας διὰ πάσης νυκτὸς καὶ ἡμέρας συνέτριψε πάντα τὰ ὀστᾶ μου· μικροῦ δὲ δεῖν καὶ ὅλον αὐτὸν καταπιεῖν με ἔμελλεν.

Στίχ. ιδ'. «Ὡς χελιδών, οὕτω φωνήσω, καὶ ὡς περιστερά, οὕτω μελετῶ. Ἐξέλιπον γάρ μου οἱ ὀφθαλμοὶ τοῦ βλέπειν εἰς τὸ ὕψος τοῦ οὐρανοῦ πρὸς τὸν Κύριον.»

Ὅμως δ' οὖν ἐν τούτοις γενόμενος, οὐκ ἐξησθένησα, οὐδὲ τοῦ Θεοῦ μου ἀνεχώρησα, ἀναλαβὼν δὲ ἐμαυτὸν πίστει καὶ ἀγαθῇ ἐλπίδι, κλαυθμῷ καὶ προσευχῇ παρέδωκα ἐμαυτόν. Εὐχομένου δέ μου, φησίν, ἐπιμόνως, καὶ ἐγκειμένου τῆς πρὸς τὸν Θεὸν ἱκετηρίας, ὃς «ἐξείλατό με, καὶ ἀφείλατό μου τὴν ὀδύνην τῆς ψυχῆς.» Ὁ δὴ μὴ μελλήσας ἐξείλετό με, καὶ ἀφείλετό μου τὴν ὀδύνην τῆς ψυχῆς· μονονουχὶ τὸν αὐτοῦ λόγον πιστωσάμενος, ὃν ἐπήγγελται τοῖς ἁγίοις αὐτοῦ εἰπών· «Ἔτι λαλοῦντός σου, ἐρῶ· Ἰδοὺ πάρειμι.»

Στίχ. ιϛ'. «Κύριε, περὶ ταύτης γὰρ ἀνηγγέλη σοι, καὶ ἐξήγειράς μου τὴν πνοήν, καὶ παρακληθεὶς ἔζησα.»

Οὐχ ὅτι τούτων ἄξιος ἤμην ἐγώ· πολλῶν γὰρ μεστὸς ἁμαρτιῶν αὐτὸς ὑπῆρχον· ἀλλὰ τῷ σῷ ἐλέῳ καὶ τῇ σῇ φιλανθρωπίᾳ ταῦτα παρέστη.

Στίχ. ιζ'-ιθ'. «Εἵλου γάρ μου τὴν ψυχήν, ἵνα μὴ ἀπόληται, καὶ ἀπέρριψας ὀπίσω μου πάσας τὰς ἁμαρτίας. Οὐ γὰρ οἱ ἐν ᾅδου αἰνέσουσί σε, οὐδὲ οἱ ἀποθανόντες εὐλογήσουσί σε, οὐδὲ ἐλπιοῦσι οἱ ἐν ᾅδου τὴν ἐλεημοσύνην σου· οἱ ζῶντες εὐλογήσουσί σε ὃν τρόπον κἀγώ. Ἀπὸ γὰρ τῆς σήμερον παιδία ποιήσω, ἃ ἀναγγελοῦσι τὴν δικαιοσύνην σου.»

Χωρίον γάρ ἐστιν ἀσεβῶν τοῦτο· διὸ τὴν ψυχὴν ἐλευθερωθεὶς ἐξ αὐτοῦ, χαίρων ἀποδίδωμι τῷ Θεῷ τὴν εὐχαριστίαν. Ἡ δὲ χώρα τῶν παρὰ Θεῷ ζώντων καὶ τοὺς αἰνοῦντας ὑποδέξεται· ἔνθα καὶ αὐτὸς λοιπὸν γενήσεσθαι πιστεύω, τοῦτό μοι τῆς σῆς δωρησαμένης χάριτος.

Στίχ. κ'. «Θεὲ τῆς σωτηρίας μου, καὶ οὐ παύσομαι εὐλογῶν σε μετὰ ψαλτηρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου κατέναντι τοῦ οἴκου τοῦ Θεοῦ.»

Σοὶ προσεδρεύων διαπαντός, καὶ ἀχώριστος γενόμενος τοῦ σοῦ ἁγιάσματος, διαπαντὸς εὐλογήσω σε.

Στίχ. κα'. «Καὶ εἶπεν Ἡσαΐας πρὸς Ἐζεκίαν. Λάβε παλάθην ἐκ σύκων, καὶ τρῖψον, καὶ κατάπλασαι, καὶ ὑγιὴς ἔσῃ·»

διδάσκων, ὡς οὐ πάμπαν ἀπόβλητα γένοιτ' ἂν ποτε καὶ τὰ παρ' ἀνθρώποις πρὸς θεραπείαν τοῦ σώματος ἐπινοούμενα· ἔτι δὲ ὅτι χρηστέον καὶ τούτοις, ὡς καὶ τοῦ προφήτου τοῦτο πρᾶξαι παραινέσαντος. Καὶ οἱ λοιποὶ πάντες «ἕλκος» ὠνόμασαν τὸ διὰ τῆς παλάθης θεραπευθέν· οὐχ ἕλκος ἦν τὸ πρῶτον, ἀρρωστία δὲ καὶ μαλακία πρὸς θάνατον. Διὸ ἐπ' ἐκείνης μὲν κλαυθμοὶ καὶ προσευχαί, καὶ Θεοῦ ἐπισκοπὴ παρελαμβάνοντο· ἐπὶ δὲ τοῦ μερικοῦ ἕλκους σωματική τις θεραπεία, ἣν ὁ προφήτης ὑποβέβληκεν.

Στίχ. κβ'. «Καὶ εἶπεν Ἐζεκίας· Τοῦτο σημεῖον πρὸς Ἐζεκίαν, ὅτι ἀναβήσομαι εἰς τὸν οἶκον τοῦ Θεοῦ.»

ΚΕΦΑΛΑΙΟΝ ΛΘ'.

Στίχ. α', β'. «Ἐν τῷ καιρῷ ἐκείνῳ ἀπέστειλε Μαρωδὰχ Βαλαδάν, ὁ υἱὸς τοῦ Βαλαδάν, ὁ βασιλεὺς τῆς Βαβυλωνίας, ἐπιστολὰς καὶ πρέσβεις καὶ δῶρα Ἐζεκίᾳ· ἤκουσε γάρ, ὅτι ἐμαλακίσθη ἕως θανάτου, καὶ ἀνέστη. Καὶ ἐχάρη ἐπ' αὐτοῖς Ἐζεκίας, καὶ ἔδειξεν αὐτοῖς τὸν οἶκον τοῦ Νεχωθᾶ, καὶ τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου, καὶ τῆς στακτῆς, καὶ τῶν θυμιαμάτων, καὶ τοῦ μύρου, καὶ πάντας τοὺς οἴκους τῶν σκευῶν τῆς γάζης, καὶ πάντα ὅσα ἦν ἐν τοῖς θησαυροῖς αὐτοῦ. Καὶ οὐκ ἦν οὐθέν, ὃ οὐκ ἔδειξεν Ἐζεκίας ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἐν πάσῃ τῇ ἐξουσίᾳ αὐτοῦ.»

Συνεξετάζουσιν ἡμῖν καὶ διερευνωμένοις τὰ κατὰ τοὺς παρόντας τόπους, ὁ τῶν Ἰουδαίων διδάσκαλος ἔλεγεν νενοσηκέναι μὲν τὸν Ἐζεκίαν, ἐπεὶ μὴ εἰρήκει ᾠδὴν εἰς τὸν Θεὸν εὐχαριστήριον ἐπὶ τῇ πτώσει τῶν Ἀσσυρίων, ὡς Μωϋσῆς ᾖδεν ἐπὶ τῇ ἀπωλείᾳ τῶν Αἰγυπτίων, καὶ ὡς Δεβόρρα ἐπὶ τῇ ἀπωλείᾳ τοῦ Σισάρα, καὶ ὡς Ἄννα ἐπὶ τῇ γεννήσει τοῦ Σαμουήλ· ὅπερ μὴ ποιήσαντα τὸν Ἐζεκίαν, τῇ νόσῳ περιπεσεῖν· τὸν δὲ Βαβυλώνιον ἐγνωκέναι τὴν ἀπὸ τῆς νόσου ῥῶσιν αὐτοῦ, καὶ ἀπεσταλκέναι πρὸς αὐτὸν ἄνδρας, οὐκ ἀργῶς· ἀλλ' ἐπειδὴ συνέβη τὴν ἡμέραν ἐκείνην καθ' ἣν τὸ σημεῖον τῆς τοῦ ἡλίου ἀναδρομῆς ὡρῶν γεγενῆσθαι διπλασίων· μὴ γὰρ λαθεῖν τοῦτο τοὺς Βαβυλωνίους, δεινοὺς ὄντας περὶ τὴν τῶν ἄστρων θεωρίαν. Καὶ ἐπειδὴ τὸν ἥλιον θεοποιοῦντες, συνεῖδον ὡς ὑπὸ κρείττονος περιηνέχθη εἰς τοὐπίσω δυνάμεως· τούτου χάριν ἧκον ζητῆσαι τὸν τούτου θέλοντες αἴτιον. Εἶτ' ἐπειδὴ πολυπραγμονήσαντες ἔγνων τὸν τῶν Ἑβραίων Θεὸν μέγαν εἶναι, τὸν καὶ τοῦ παντὸς κόσμου δημιουργόν· τοῦ τε βασιλέως Ἐζεκίου τὴν ἀρρωστίαν, δι' ἣν καὶ τὸ θαῦμα γέγονεν, εἰκότως καταπλαγέντες τὸ πεπραγμένον, φιλίαν ἐθέλησαν σπείσασθαι πρὸς τὸν Ἐζεκίαν, ὡς πρὸς ἄνδρα θεοφιλῆ. Ταῦτα μὲν ὁ Ἑβραῖος. Ἐγὼ δὲ συνεῖδον, ὡς ὑφ' ἕνα καὶ τὸν αὐτὸν ἐνιαυτὸν ταῦτα πάντα συνέβη· λέγω δὲ ἡ ἔφοδος τοῦ Ἀσσυρίου ἡ κατὰ τῆς Ἰουδαίας, καὶ ἡ δι' ἀγγέλου Θεοῦ κατὰ τοῦ Ἀσσυρίου πληγή, ἥ τε τοῦ Σενναχερεὶμ φυγή, καὶ ἡ τῶν αὐτοῦ παιδίων ἐπανάστασις, ἥ τε τοῦ διαδεδεγμένου αὐτὸν υἱοῦ σεσιωπημένη ἀπώλεια. Ὅτι δὲ καθ' ἕνα καὶ τὸν αὐτὸν ἐνιαυτὸν ταῦτα συνέβη πραχθῆναι, μάθοις ἂν ἐπιστήσας, ὡς ἡ μὲν ἔφοδος τοῦ Ἀσσυρίου ἔτους τεσσαρεσκαιδεκάτου τῆς Ἐζεκίου βασιλείας γέγονε· τελευτᾷ δὲ βασιλεύσας τὰ πάντα ἐννέα καὶ εἴκοσι ἔτη, ὧν τὰ πέντε καὶ δέκα ἔτη μετὰ τὴν νόσον αὐτῷ προσετέθη. Οὐκοῦν ἐν τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει νενοσήκει, καὶ τὰ λοιπὰ πάντα τὰ πρὸ τῆς νόσου κατὰ τὸν αὐτὸν συνετελέσθη χρόνον. Ὁμοῦ δὴ οὖν τούτων ἁπάντων ἡ ἀκοὴ τὸν τῶν Βαβυλωνίων βασιλέα ἐνῆγε πρὸς τὴν τοῦ Ἐζεκίου φιλίαν, ὡς ἀποστεῖλαι αὐτῷ δῶρα καὶ πρέσβεις καὶ ἐπιστολάς.

Στίχ. γ΄-η΄. «Καὶ ἦλθεν Ἡσαΐας ὁ προφήτης πρὸς τὸν βασιλέα Ἐζεκίαν, καὶ εἶπε πρὸς αὐτόν· Τί λέγουσιν οἱ ἄνθρωποι οὗτοι; Καὶ πόθεν ἥκασι πρὸς σέ; Καὶ εἶπεν Ἐζεκίας· Ἐκ γῆς πόρρωθεν ἥκασι πρός με, ἐκ Βαβυλῶνος. Καὶ εἶπεν Ἡσαΐας· Τί εἴδοσαν ἐν τῷ οἴκῳ σου; Καὶ εἶπεν Ἐζεκίας· Πάντα τὰ ἐν τῷ οἴκῳ μου εἴδοσαν, καὶ οὐκ ἔστιν ἐν τῷ οἴκῳ μου ὃ οὐκ εἴδοσαν ἀλλὰ καὶ τὰ ἐν τοῖς θησαυροῖς μου. Καὶ εἶπεν Ἡσαΐας· Ἄκουσον τὸν λόγον Κυρίου Σαβαώθ· Ἰδοὺ ἡμέραι ἔρχονται, καὶ λήψονται πάντα τὰ ἐν τῷ οἴκῳ σου, καὶ ὅσα συνήγαγον οἱ πατέρες σου ἕως τῆς ἡμέρας ταύτης εἰς Βαβυλῶνα ἥξει, καὶ οὐδὲν οὐ μὴ καταλείπωσιν. Εἶπε δὲ ὁ Θεός, ὅτι καὶ ἀπὸ τῶν τέκνων σου, ὧν γεννήσεις, λήψονται, καὶ ποιήσουσι σπάδοντας ἐν τῷ οἴκῳ τοῦ βασιλέως τῶν Βαβυλωνίων. Καὶ εἶπεν Ἐζεκίας Ἡσαΐᾳ· Ἀγαθὸς ὁ λόγος Κυρίου, ὃν ἐλάλησε· γενέσθω δὴ εἰρήνη, καὶ δικαιοσύνη ἐν ταῖς ἡμέραις μου.»

Ἅπερ ἀκούσας ὁ Ἐζεκίας, εὐλαβῶς ἅμα καὶ εὐσεβῶς, πάντα λόγον ἀγαθὸν εἶναι ὃν λαλήσειεν ὁ Θεός, κἂν λυπηρὸς εἶναι νομίζοιτο ἀνθρώποις, ἀπεκρίνατο. Ἐφ' οἷς πάλιν ὁ Ἑβραῖος μὴ ἀποδέξασθαι τοῦ Ἐζεκίου τὴν προαίρεσιν τὸν Θεὸν ἔλεγε. Τὸ γὰρ ὑπὲρ μὲν ἑαυτοῦ ἠξιωκέναι, ὑπὲρ δὲ τοῦ λαοῦ μηδένα λόγον πεποιῆσθαι, μεμπτὸν τῷ Θεῷ φανῆναι· διὸ ἐπιλέγειν ἑξῆς τὸν προφήτην· «Παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ Θεός.» Εἰ γὰρ καὶ οὗτος φησί, φίλαυτος ὤν, ὑπὲρ μὲν ἑαυτοῦ φροντίσας ἐδεήθη, τοῦ δὲ λαοῦ μνήμην οὔ τινα ἐποιήσατο· ἀλλ' ὁ Θεός, τοῦ ἰδίου κηδόμενος λαοῦ, παρακαλεῖν αὐτὸν τοῖς τοῦτο πράττειν οἵοις τε παρακελεύεται.

ΚΕΦΑΛΑΙΟΝ Μ΄.

Στίχ. α΄, β΄. «Παρακαλεῖτε, παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ Θεός. Ἱερεῖς, λαλήσαντες εἰς τὴν καρδίαν Ἱερουσαλήμ· παρακαλέσατε αὐτήν.»

Τίνες δέ εἰσιν οἷς ὁ λόγος παρακαλεῖν τὸν λαὸν προστάττει, ἄξιον ἐπιστῆσαι· τίς δὲ ἡ καρδία Ἱερουσαλήμ, καὶ ποταπὴν χρὴ νοεῖν τὴν Ἱερουσαλήμ, ὥσπερ τι ζῷον καρδίαν ἔχουσαν. Ἔμψυχον γὰρ καὶ λογικὴν σαφῶς παρίστησιν αὐτὴν ὁ φήσας λόγος· «Λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ.» Καὶ ἣν μὲν εἰπεῖν Ἱερουσαλὴμ τὸν λαὸν εἶναι τὸν ἐν αὐτῇ κατοικοῦντα, ὡς πολλάκις τὴν πόλιν ἀντὶ τῶν οἰκητόρων ὀνομαζομένην· νυνὶ δὲ ὁ λόγος αὐτοῦ τοῦ λαοῦ μέμνηται λέγων· «Παρακαλεῖτε τὸν λαόν μου·» καὶ πάλιν ἰδίως ἐπιφέρει τό, «Λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ.» Τίνες οὖν εἰσιν οἱ παρακαλεῖν προσταττόμενοι, καὶ τίς ὁ παρακαλούμενος λαός, τί τε ἡ καρδία Ἱερουσαλήμ, ὥρα διευκρινῆσαι. Οἱ μὲν οὖν παρακαλοῦντες εἶεν ἂν οἱ τὸ Πνεῦμα τὸ παράκλητον ὑποδεδεγμένοι, ἀπόστολοι δηλαδὴ καὶ μαθηταὶ τοῦ Σωτῆρος ἡμῶν, καὶ εὐαγγελισταί, καὶ οἱ τούτοις ὅμοιοι, πρὸς οὓς

ἔλεγεν ὁ Σωτήρ· «Ἐγὼ ἐρωτήσω τὸν Πατέρα μου, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα εἴη μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ Πνεῦμα τῆς ἀληθείας·[1]» καὶ αὖθις· «Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ Πατήρ μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα[2]», καὶ τὰ ἑξῆς. Πάντες τοιγαροῦν οἱ τὸ παράκλητον Πνεῦμα ὑποδεξάμενοι προστάττονται παρακαλεῖν τὸν λαὸν τοῦ Θεοῦ· ἀλλ' οὐ τὸν Ἰσραήλ, οὐδὲ τὸν Ἰακώβ, οὐδὲ τὸν Ἰούδαν. Ὥσπερ δὲ ἀποδέδεικται, ὁ λαὸς τοῦ Θεοῦ, οὕτως ἡ καρδία Ἱερουσαλὴμ νοηθήσεται τὸ κρεῖττον τάγμα τοῦ λαοῦ. Ὡς γὰρ ἐν σώματι ἡ καρδία τὸ κυριώτατόν ἐστι τοῦ παντός, οὕτω καὶ ἐν τῷ τῆς Ἐκκλησίας σώματι τὸ κυριώτατον τάγμα εἰκότως ἂν λεχθείη τὸ τῶν λογικωτέρων, φρονήσει τε καὶ διανοίᾳ καὶ λογισμῷ διαφερόντων. Ἐὰν τοίνυν λέγηται, «Λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ», οὕτω δεκτέον τὸν λόγον, ὡσεὶ σαφέστερον ἔλεγε· «Λαλήσατε τοῖς ἐν τῷ λαῷ τοῦ Θεοῦ νοήμοσι καὶ λογικωτέροις.» Τούτοις μὲν οὖν λαλεῖν προστάττονται οἱ ἱερεῖς· τὸν δὲ λοιπὸν λαὸν παρακαλεῖν, ὡς δεόμενον παρακλήσεως καὶ παραμυθίας.

«Ὅτι ἐπλήσθη ἡ ταπείνωσις αὐτῆς· λέλυται αὐτῆς ἡ ἁμαρτία, ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς.» Προσήκει δὲ λοιπὸν παρακλήσεως καὶ παραμυθίας αὐτὴν τυγχάνειν διὰ τὴν ἐπιλάμψασαν τῷ βίῳ τοῦ καινοῦ πάντων ἀνθρώπων Σωτῆρος ἐπιφάνειαν. Διπλῆν δὲ κόλασιν εἴποις ἂν ἐπεληλυθέναι τῇ καρδίᾳ Ἱερουσαλήμ· ἐπεὶ καὶ κατὰ τὴν ἱστορίαν συναπήλαυον τοῖς κακοῖς τοῦ πλήθους οἱ δηλούμενοι, ὑπ' ἀλλοφύλοις ἔθνεσι ταπεινούμενοι, καὶ κατὰ διάνοιαν ἐκόλαζον ἑαυτούς, διὰ τὴν τοῦ πλήθους ἀναβολὴν πενθοῦντες καὶ ἀποκλαιόμενοι τὴν πτῶσιν καὶ τὴν ἀπώλειαν τῶν πολλῶν· ἀλλὰ δεύτερον πολιορκηθεῖσα ἡ Ἱερουσαλήμ, ὡς εἰς ἔδαφος κατενεχθῆναι τὸν ἐν αὐτῇ νεών, διπλῆν τιμωρίαν τῶν ἐν αὐτῇ τετολμημένων ἀσεβημάτων ὑπέμεινε.

Στίχ. γ'. «Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν.»

Σαφῶς παρίστησι μὴ ἐν τῇ Ἱερουσαλὴμ γεγενῆσθαι τὰ θεσπιζόμενα, ἀλλ' ἐπὶ τῆς ἐρήμου· λέγω δὴ τὸ ὀφθήσεσθαι τὴν δόξαν Κυρίου, καὶ τὸ πάσῃ σαρκὶ γνωσθήσεσθαι τὸ σωτήριον τοῦ Θεοῦ. Καὶ ταῦτα μὲν ἐπληροῦτο πρὸς ἱστορίαν καὶ λέξιν ἐπὶ τοῦ Βαπτιστοῦ Ἰωάννου κηρύσσοντος τὴν σωτηρίαν ἐπιφάνειαν Θεοῦ ἐν τῇ ἐρήμῳ τοῦ Ἰορδάνου, ἐν ᾗ καὶ τὸ σωτήριον ὤφθη τοῦ Θεοῦ. Αὐτὸς γὰρ ὁ Χριστός, ἥ τε δόξα αὐτοῦ τοῖς πᾶσιν ἐγνώσθη, ὅτε βαπτισθέντος αὐτοῦ, ἠνοίχθησαν οἱ οὐρανοί, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐν εἴδει περιστερᾶς καταβὰν ἔμεινεν ἐπ' αὐτοῦ, φωνή τε ἠνέχθη πατρικὴ τῷ Υἱῷ μαρτυροῦσα· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, αὐτοῦ ἀκούετε.[3]» Ὡς γὰρ μέλλοντος ἐπιδημεῖν τῇ ἐρήμῳ καὶ τῇ ἐξ αἰῶνος ἀβάτῳ τοῦ Θεοῦ,

1. Ἰω. 14, 16-17. 2. Ἰω. 14, 25-26. 3. Ματθ. 3, 17.

ταῦτα ἐλέγετο. Ἦν δὲ τὰ ἔθνη πάντα ἔρημα Θεοῦ γνώσεως, καὶ ἄβατα πᾶσι τοῖς τοῦ Θεοῦ δικαίοις τε καὶ προφήταις ἀνδράσι. Διόπερ ἡ φωνὴ παρακελεύεται ὁδὸν εὐτρεπίζειν τῷ τοῦ Θεοῦ Λόγῳ, καὶ τὴν ἄβατον καὶ τραχεῖαν ὁμαλὴν ποιεῖν, ἵν' ἐπιβῇ ἐπιδημήσας ὁ Θεὸς ἡμῶν. «Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου·» τουτέστι τὸ εὐαγγελικὸν κήρυγμα, ἡ καινὴ παράκλησις αὕτη, ἡ πᾶσιν ἀνθρώποις γνωσθήσεσθαι τὸ σωτήριον τοῦ Θεοῦ ἐπιζητοῦσα.

Εἶτα διεγείρει τὰς ἐν βάθει κακίας τεταπεινωμένας ψυχάς, ἐπιλέγων·

Στίχ. δ'. «Πᾶσα φάραγξ πληρωθήσεται.»

Καὶ τὰς ὑπερηφάνους τε καὶ ὑπεραιρομένας κατὰ τῆς γνώσεως τοῦ Θεοῦ τὸ ἐναντίον πείσεσθαι διδάσκει λέγων· «Καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται» ἀλλὰ καὶ ἔσται, «Πάντα τὰ σκολιά», φησίν, «εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς πεδία.» Καὶ τὴν τραχεῖαν δὲ ψυχὴν ὁμαλὴν γίνεσθαι προστάττει, ὡς ἂν δεκτικὴ γένοιτο τῆς ἐπιβάσεως τοῦ Θεοῦ.

Στίχ. ε'. «Καὶ ὀφθήσεται ἡ δόξα Κυρίου, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ, ὅτι Κύριος ἐλάλησε.»

Σὰρξ δὲ ἦσαν οἱ αὐτοὶ μόνον σάρκινοι, καὶ οὐδαμῶς Πνεύματος ἁγίου μέτοχοι πάντες ἄνθρωποι. «Ὅτι Κύριος ἐλάλησεν·» ἀψευδὴς γὰρ ὁ ἐπαγγειλάμενος.

Στίχ. ς'-η'. «Φωνὴ λέγοντος, Βόησον. Καὶ εἶπα, Τί βοήσω; Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε· τὸ δὲ ῥῆμα τοῦ Θεοῦ ἡμῶν μένει εἰς τὸν αἰῶνα.»

Αὕτη γοῦν ἐστι πάσης σαρκὸς φύσις καὶ τοῦ τὴν εἰκόνα τοῦ χοϊκοῦ φέροντος ἀνθρώπου, λέγω δὴ τοῦ φιλοσωμάτου καὶ τοῦ κατὰ σάρκα ζῶντος· ὁμοίως γοῦν τῷ χόρτῳ τῆς γῆς, καὶ τοῖς ὡραίοις ἄνθεσι πρὸς βραχὺ θάλλει καὶ ὡραΐζεται, εἶτ' οὐκ εἰς μακρὰν ὑπὸ τῆς ἀστάτου καὶ ῥευστῆς φύσεως ἀπομαραίνεται· ὅπερ διδάσκει ἡ Γραφὴ λέγουσα· «Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσεν.»

Στίχ. θ'. «Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι ὁ εὐαγγελιζόμενος Σιών. Ὕψωσον τῇ ἰσχύϊ τὴν φωνήν σου, ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ.»

Σφόδρα καὶ ταῦτα τῇ τῶν προλεχθέντων ἕπεται διανοίᾳ, εὐκαίρως καὶ τῶν εὐαγγελιστῶν μνήμην ποιούμενα, καὶ παρουσίαν Θεοῦ ἀνθρώποις εὐαγγελιζόμενα, μετὰ τὰ περὶ τῆς ἐν τῇ ἐρήμῳ βοώσης φωνῆς. Εἵπετο γὰρ τῇ περὶ Ἰωάννου τοῦ Βαπτιστοῦ προφητείᾳ ὁ περὶ τῶν εὐαγγελιστῶν τοῦ Σωτῆρος λόγος. Τίς οὖν ἐστιν αὕτη ἡ Σιών, ἢ πάντως που ἡ διὰ τῶν ἔμπροσθεν Ἱερουσαλὴμ ὠνομασμένη; Καὶ αὕτη γὰρ ὄρος ἦν, ὃ δηλοῖ ἡ φάσκουσα Γραφή· «Ὄρος Σιὼν τοῦτο ὃ κατεσκήνωσας ἐν αὐτῷ·[1]» καὶ ὁ Ἀπόστολος· «Προσεληλύθατε Σιὼν ὄρει.[2]»

1. Ψαλμ. 73, 2. 2. Ἑβρ. 12, 22.

Καὶ μήποτε νῦν ὁ χορὸς ὁ ἀποστολικός, ὁ ἐκ τοῦ προτέρου λαοῦ, ὁ ἐκ περιτομῆς ἐξειλεγμένος, τοῦτον σημαίνεται τὸν τρόπον; Αὕτη γάρ ἐστι Σιὼν καὶ Ἱερουσαλήμ, ἡ τὸ σωτήριον τοῦ Θεοῦ παραδεδεγμένη, ἐπηρτημένη τις οὖσα καὶ αὕτη τῷ ὄρει τοῦ Θεοῦ τῷ μονογενεῖ αὐτοῦ Λόγῳ· ᾗ προστάττει εὐαγγελίζεσθαι ἀνελθούσῃ ἐπ' ὄρος ὑψηλόν, αὐτὸν τὸν σωτήριον λόγον. Τίς δὲ ὁ εὐαγγελιζόμενος, ἢ ὁ εὐαγγελικὸς χορός; Τί δὲ εὐαγγελίζεσθαι; κηρύττειν πᾶσιν ἀνθρώποις τοῦ Χριστοῦ τὴν ἐπὶ γῆς παρουσίαν, καὶ πρὸ πάντων ταῖς πόλεσιν Ἰούδα.

Στίχ. θ΄. «Ὑψώσατε, μὴ φοβεῖσθε. Εἶπον ταῖς πόλεσιν Ἰούδα· Ἰδοὺ ὁ Θεὸς ἡμῶν·»

λέγω δὴ ταῖς Ἰουδαϊκαῖς συναγωγαῖς, ὡς ἄρα εἴη ἐληλυθὼς ὁ πάλαι ἥξειν καὶ ἐπιδημήσειν ἀνθρώποις διὰ τῶν προφητῶν κηρυττόμενος Θεός, καὶ αὐτὸς Κύριος, ὁ ἐκ μακροῦ προσδοκώμενος αὐτοῖς.

Στίχ. ι΄. «Ἰδοὺ Κύριος, Κύριος μετὰ ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων μετὰ κυρίας·»

ὡς εἰ σαφέστερον ἔλεγεν, μετὰ δεσποτικῆς κυρίας καὶ αὐθεντίας. «Ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ τὸ ἔργον ἐναντίον αὐτοῦ.» Ταῦτα μὲν περὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας, καθ' ἣν ἥξειν ἐν δόξῃ ἀποδώσων ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Τοῦτο μὲν οὖν ὡς δεσπότης καὶ Κύριος ποιήσει μετὰ ἰσχύος καὶ μετὰ τοῦ καλουμένου βραχίονος αὐτοῦ.

Στίχ. ια΄. «Ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ.»

Κατὰ τὴν πρώτην αὐτοῦ πάροδον ἐπληροῦτο, ἐν ᾗ, «κενώσας ἑαυτόν, καὶ μορφὴν δούλου λαβών[1]», ἐποίμανε τὸ ποίμνιον αὐτοῦ· ἢ κατὰ τὸν Σύμμαχον, «τὴν ἀγέλην αὐτοῦ ἔβοσκεν.» Οὐ γὰρ ὡς Κύριος μετὰ ἰσχύος οὐδ' ὡς βραχίων μετὰ τῆς οἰκείας κυρίας καὶ δεσποτείας· ἀλλ' ὡς ποιμήν, φησί, ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ. Ὃ δὴ καὶ ἐμαρτύρει λέγων αὐτὸς ἐν Εὐαγγελίοις· «Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμά, καὶ γινώσκουσί με τὰ ἐμά· καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων.[2]»

«Καὶ τῷ βραχίονι αὐτοῦ συνάξει ἄρνας, καὶ ἐν γαστρὶ ἐχούσας παρακαλέσει.» Ἄρνας δὲ τοὺς ἀρτιγενεῖς καὶ ἐν Χριστῷ ἀναγεννωμένους δηλοῖ. Καὶ ἄλλως δὲ τῶν ἀποστόλων αὐτοῦ αἱ ψυχαὶ κύουσαι καὶ ὠδίνουσαι τοὺς δι' αὐτῶν ἐν Χριστῷ ἀναγεννωμένους, παράκλητον αὐτὸν εἶχον· ὅπερ νοήσεις ἐξ ἑνὸς τοῦ λέγοντος· «Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.[3]» Ὁρᾷς πῶς ὁ Παῦλος ὑπὲρ τῶν μαθητευομένων αὐτῷ εἶχεν ὠδῖνας· οὕτως οὖν καὶ οἱ λοιποὶ ἀπόστολοι. Ὥσπερ γὰρ ἐν γαστρὶ κύουσι μητέρες, τοὺς δι' αὐτῶν ἐν Χριστῷ γεννωμένους ὤδινον, ὑπεραγωνιῶντες μήπου τις ἔκτρωμα γένηται ἀπολισθήσας καὶ ἐξαμβλωθεὶς τῆς ἐν Χριστῷ μορφώσεώς τε καὶ τελειώσεως. Διόπερ αὐτὸς ὁ προλεχθεὶς ποιμὴν παρακαλέσειν αὐτοὺς εἴρηται.

---

1. Φιλιπ. 2, 6. 2. Ἰω. 10, 14. 3. Γαλ. 4, 19.

Στίχ. ιβ΄. «Τίς ἐμέτρησε τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί; Τίς ἔστησε τὰ ὄρη σταθμῷ, καὶ τὰς νάπας ζυγῷ;»

Τῶν γὰρ σοφῶν τοῦ αἰῶνος τούτου τὸ πᾶν ἀναθέντων αὐτοματισμῷ καί τινι συντυχίᾳ φυσικῇ εἱμαρμένης, ἀνάγκῃ ὁ παρὼν λόγος μηδὲν ὡς ἔτυχε τῶν ὄντων εἶναι, πάντα δὲ μέτρῳ καὶ ἀριθμῷ ὑπὸ τοῦ θεολογουμένου Κυρίου συνεστάναι παρίστησι. Τροπικῶς δὲ τοῖς παρ' ἡμῶν συνήθεσι μέτροις κέχρηται, ὡς ἂν ἐκ τῶν ἡμῖν γνωρίμων καὶ συνήθων ὀνομάτων εἰς ἔννοιαν ἀφικοίμεθα τῆς τῶν δηλουμένων διδασκαλίας. Εἶτ' ἐπειδήπερ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται, εἰκότως τὰ ἡμῖν ὑπερμεγέθη τῇ τοῦ κρείττονος παραθέσει σμικρύνει, ἡμᾶς εἰς ἔννοιαν προσκαλούμενος τοῦ τὰ σύμπαντα συστησαμένου.

Στίχ. ιγ΄, ιδ΄. «Τίς ἔγνω νοῦν Κυρίου; καὶ τίς αὐτοῦ σύμβουλος ἐγένετο, ὃς συμβιβᾷ αὐτόν; ἢ πρὸς τίνα συνεβουλεύσατο, καὶ συνεβίβασεν αὐτόν; ἢ τίς ἔδειξεν αὐτῷ κρίσιν; ἢ ὁδὸν συνέσεως τίς ἔδειξεν αὐτῷ;»

Ἐπειδὴ γὰρ ἠρώτησε, τίς ὁ ταῦτα ὑποστησάμενος, καὶ τίς ὁ μέτρῳ καὶ σταθμῷ ταῦτα διαταξάμενος, ἀκολούθως ἀποδίδωσιν, ὡς οὐδεὶς ἢ εἷς μόνος ὁ τοῖς πᾶσιν ἀκατάληπτος νοῦς, διὸ ἐπιλέγει· «Τίς ἔγνω νοῦν Κυρίου;» τὸν τῶν εἰρημένων ἁπάντων ποιητικόν, ὃς οὔτε συμβούλου δεηθείς, οὔτε παρά τινος γνώμην λαβών, τῇ αὐτοῦ σοφίᾳ τὰ μηδαμῇ μηδαμῶς ὑφεστῶτα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγεν.

Στίχ. ιε΄, ιϛ΄. «Εἰ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθησαν, ὡς σίελος λογισθήσονται. Ὁ δὲ Λίβανος οὐχ ἱκανὸς εἰς καῦσιν, καὶ πάντα τὰ τετράποδα οὐχ ἱκανὰ εἰς ὁλοκάρπωσιν.»

Ποῖα δὲ ταῦτα ἢ τὰ τὸν Θεὸν μὴ εἰδότα, προστετηκότα δὲ τῇ πλάνῃ τῆς εἰδωλολατρείας; Ἃ δὴ καὶ ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς ῥοπὴ ζυγοῦ, καὶ ὡς σίελος λογισθήσεσθαι ἐλέγετο.

Στίχ. ιζ΄, ιη΄. «Καὶ πάντα τὰ ἔθνη ὡς οὐδέν εἰσι, καὶ εἰς οὐδὲν ἐλογίσθησαν. Τίνι ὡμοιώσατε Κύριον; καὶ τίνι ὁμοιώματι ὡμοιώσατε αὐτόν;»

Ἃ καὶ ἀκολούθως ἐπήγαγε μετὰ τὸ παραθέσθαι τὴν περὶ Θεοῦ θεολογίαν, κηρύξαι τε τοῖς ἔθνεσιν ὅσος ἦν ὁ μετρήσας τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ τὴν γῆν πᾶσαν δρακί, τά τε ὄρη σταθμῷ καὶ τὰς νάπας ζυγῷ συστησάμενος. Τούτοις γοῦν ἀναγκαίως παραβάλλει τὴν κατέχουσαν πλάνην τῶν ἐθνῶν, ἀποστρέφων αὐτῆς, ἀνακαλούμενος δὲ εἰς ἐπίγνωσιν τοῦ θεολογουμένου.

Στίχ. ιθ΄-κγ΄. «Μὴ εἰκόνα ἐποίησε τέκτων; ἢ χρυσοχόος χωνεύσας χρυσίον περιεχρύσωσεν αὐτόν; ὁμοίωμα κατεσκεύασεν αὐτόν; Ξύλον γὰρ ἄσηπτον ἐκλέγεται τέκτων, καὶ σοφῶς ζητήσει πῶς στήσει εἰκό-

να αὐτοῦ, καὶ ἵνα μὴ σαλεύηται. Οὐ γνώσεσθε; οὐκ ἀκούσεσθε; Οὐκ ἀνηγγέλη ἐξ ἀρχῆς ὑμῖν; οὐκ ἔγνωτε τὰ θεμέλια τῆς γῆς. Ὁ κατέχων τὸν γῦρον τῆς γῆς, καὶ οἱ ἐνοικοῦντες ἐν αὐτῇ ὡς ἀκρίδες· ὁ στήσας ὡς καμάραν τὸν οὐρανόν, καὶ διατείνας ὡς σκηνὴν κατοικεῖν· ὁ διδοὺς ἄρχοντας ὡς οὐδὲν ἄρχειν, τὴν δὲ γῆν ὡς οὐδὲν ἐποίησε.»

Εἰ καὶ μὴ ἐκ πατέρων ἐδιδάχθητε, ἀλλὰ νῦν γοῦν σωφρονισθέντες, ὠφελήθητε, καὶ μάθετε τίς ποτέ ἐστιν ὁ κατέχων τὰ θεμέλια τῆς γῆς. Εἰ γὰρ μὴ ἠδύνασθε, φησίν, εἰς τὸν οὐρανὸν τὴν διάνοιαν ἐπαίρειν, ἀλλ' ἐπιστήσατε, φησίν, ἐν τῇ γῇ ἐμποιεῖσθαι τὰς διατριβάς. Ἐπὶ τίνος τε ἥδρασται ζητήσατε, καὶ τίς ἐστιν οὗτος, ὁ τὸ τοσοῦτον στοιχεῖον ἀκλινές τε καὶ ἀσάλευτον διακρατῶν. Τίς δέ, φησίν, ἐστὶν ὁ καὶ τὰ τοσαῦτα σπείρας ἐπὶ τῆς γῆς ἔθνη, ὡς παραβάλλεσθαι αὐτὰ σμικρότητος ἕνεκα τῶν σωμάτων ἀκρίσιν; Εἶτα, πάλιν ἀναβὰς ἀπὸ τῆς γῆς τῷ λόγῳ, τὴν ἁψῖδα τὴν οὐράνιον, τό τε ὑπὲρ γῆν ἡμισφαίριον, καμάρας δίκην ἐπηωρημένον, τοῖς πᾶσιν ἀποθαυμάζειν, καὶ τὸν συστησάμενον τὸν οὐρανὸν ἐννοῆσαι ὁπόσης ἐστὶ δυνάμεως, παρορμᾷ, λογίσασθαί τε, ὡς οὐκ ἀργῶς αὐτὸν ὑπεστήσατο σκηνῆς δίκην, ἄνωθεν μὲν ἐφηπλωμένον κατὰ τῶν εἴσω οὐρανοῦ πάντων, τοῖς δὲ ἐπέκεινα οὐρανοῦ ὑπεστρῶσθαι ἐκδιαίτημα, ὥσπερ δὲ τῆς σκηνῆς προυνόησεν, οὕτω καὶ τῶν εἴσω τῆς σκηνῆς οἰκούντων. Διόπερ κατὰ χρόνους καὶ καιροὺς τοῖς ἐν τῇ γῇ βιοῦσιν ἀνθρώποις ἄρχοντας ἐφίστησι, προνοησάμενος ἀρχόντων τοῖς ἀρχομένοις καταλλήλων. Διὸ ἐπιλέγει· «Διδοὺς ἄρχοντας εἰς οὐδὲν ἄρχειν.» Οὐδὲν δὲ ὀνομάζει τὸν θνητὸν βίον, ἢ καὶ τὴν γῆν αὐτήν· ὥσπερ οὖν διδάσκει φάσκων ἑξῆς· «Τὴν δὲ γῆν εἰς οὐδὲν ἐποίησε.» Ταῦτα πάντα περὶ τῶν κατὰ καιροὺς ἀρξάντων καὶ τυραννησάντων ἐπὶ τῆς γῆς εἴρηται, ὡς εἰς τοιοῦτο περιστησαμένων τέλος.

Στίχ. κδ'-κς'. «Οὐ γὰρ μὴ φυτεύσωσιν, οὐδὲ μὴ σπείρωσιν, οὐδὲ μὴ ῥιζωθῇ εἰς τὴν γῆν ἡ ῥίζα αὐτῶν. Ἔπνευσεν ἐπ' αὐτούς, καὶ ἐξηράνθησαν, καὶ καταιγὶς ὡς φρύγανα λήψεται αὐτούς. Νῦν οὖν τίνι με ὡμοιώσατε, καὶ ὑψωθήσομαι; εἶπεν ὁ ἅγιος. Ἀναβλέψατε εἰς ὕψος τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἴδετε, τίς κατέδειξε ταῦτα πάντα; Ὁ ἐκφέρων κατ' ἀριθμὸν τὸν κόσμον αὐτοῦ πάντας ἐπ' ὀνόματι καλέσει ἀπὸ πολλῆς δόξης, καὶ ἐν κράτει ἰσχύος αὐτοῦ· οὐδέν σε ἔλαθε.»

Διὸ πρὸς αὐτοὺς ἀποτείνεται λέγων· Διὰ τί παρὰ σεαυτῷ ταῦτα λογίζῃ, καὶ λέγειν τολμᾷς, ὡς τὸν Θεὸν ἡ σὴ ὁδὸς ἔλαθε, καὶ οὐχ ὑπόκεισαι κρίσει, διὰ τὸ ἀγνοεῖν αὐτὸν τὰ ὑπὸ σοῦ δρώμενα;

Στίχ. κζ'-λ'. «Μὴ γὰρ εἴπῃς, Ἰακώβ, καὶ τί ἐλάλησας, Ἰσραήλ; Ἀπεκρύβη ἡ ὁδός μου ἀπὸ τοῦ Θεοῦ, καὶ ὁ Θεός μου τὴν κρίσιν ἀφεῖλε, καὶ ἀπέστη. Καὶ νῦν οὐκ ἔγνως; εἰ μὴ ἤκουσας; Θεὸς αἰώνιος, ὁ Θεὸς ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς, οὐ πεινάσει, οὐδὲ κοπιάσει, οὐδέ ἐστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ· διδοὺς τοῖς πεινῶσιν ἰσχύν, καὶ τοῖς μὴ ὀδυνωμένοις λύπην. Πεινάσουσι γὰρ νεώτεροι, καὶ κοπιάσουσι νεανίσκοι, καὶ ἐκλεκτοὶ ἀνίσχυες ἔσονται.»

Ἀκατάληπτος δὲ καὶ ἀνέφικτος ἡ παρ' αὐτῷ τυγχάνει σοφία, δι' ἧς τὰ σύμπαντα διοικεῖ· οὕτω δ' οὖν αὐτῷ μέλει καὶ τῶν καθ' ἕκαστον καὶ κατὰ μέρος, ὡς, διὰ τὸ ἐφορᾶν αὐτὸν καὶ λόγῳ θείῳ διακρίνειν τὰ κατ' ἀνθρώπους πράγματα, ἰδιάζειν ἑκάστῳ μεμερισμένον τὸν βίον· ὡς τοῖς μὲν δι' ἔνδειαν τροφῆς πεινῶσιν ἰσχὺν παρεῖναι πολλάκις καὶ ῥώμην σώματος φυσικήν, τοῖς δὲ μὴ πεινῶσι, πλούτῳ δὲ περιρρεομένοις, φροντίδας ὑπάρχειν καὶ λύπας, τὰς τὴν τρυφὴν αὐτῶν κολαζούσας. Κατὰ τὸν αὐτὸν δὲ λόγον, νέους μὲν καὶ νεανίσκους, οὓς εἰς τὸ ἀνδρίζεσθαι προσήκει, ἀσθενεῖς ἀπεργάζεται, πάθεσι καὶ νοσήμασι περιβάλλων. Μυρίους δὲ νεότητι σφριγῶντας θᾶττον ἀποβῆναι παρεσκεύασε τοῦ βίου. Ἀνάπαλιν δὲ τούτοις οἱ ἐν διωγμῶν καιροῖς τὸν Θεὸν ὑπομένοντες, ἀσθενεῖς ὄντες καὶ οἰκτροὶ κατὰ τὴν παροῦσαν ζωήν, μεταβολῆς θείας ἠξιώθησαν, ὡς μὴ μόνον ἀνέσεως καὶ ἐλευθερίας τυχεῖν, ἀλλὰ καὶ δίκην ἀετῶν πτεροφυῆσαι· ὥστε ἀναβῆναι καὶ ὑψωθῆναι καὶ μετεωροπορῆσαι, καὶ τέλος τὴν εἰς οὐρανοὺς πορείαν στείλασθαι. Τοιαύτη γὰρ ἡ ἀετῶν φύσις.

Στίχ. λα'. «Οἱ δὲ ὑπομένοντες τὸν Θεὸν ἀλλάξουσιν ἰσχύν, πτεροφυήσουσιν ὡς ἀετοί· δραμοῦνται, καὶ οὐ κοπιάσουσι· βαδιοῦνται, καὶ οὐ πεινάσουσιν.»

Μετὰ οὖν τὰς ὑπερβαλλούσας θλίψεις, ἐπισκοπῆς Θεοῦ καταξιωθέντες, ἐν εἰρήνῃ διετέλεσαν τὸν βίον, ἀετῶν δίκην πτεροφυήσαντες, καὶ εἰς ὕψος ἀρθέντες. Εἰ δὲ καὶ μαρτυρίῳ τελειωθῆναι συμβέβηκε τοὺς ὑπὲρ εὐσεβείας ἠγωνισμένους καὶ νενικηκότας, πολὺ μᾶλλον τούτοις ἁρμόσειεν ἡ εἰρημένη ἐπαγγελία.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ'.

Στίχ. α'. «Ἐγκαινίζεσθε πρός μέ, νῆσοι· οἱ γὰρ ἄρχοντες ἀλλάξουσιν ἰσχύν· ἐγγισάτωσαν καὶ λαλησάτωσαν ἅμα· τότε κρίσιν ἀναγγειλάτωσαν.»

Παρακελεύεται δῆτα ταῖς νήσοις, κατὰ Θεοδοτίωνα, «κωφεύειν καὶ σιγᾶν», ὡς ἂν ἐπήκοοι γένοιντο θεϊκῆς ὁμιλίας, σωτηρίου τε κηρύγματος. Νήσους δὲ ὀνομάζει συνεχῶς τὰς ἐξ ἁπάντων τῶν ἐθνῶν Ἐκκλησίας, διὰ τὸ ὥσπερ ὑπὸ θαλάσσης περιρρέεσθαι ὑπὸ τῆς ἁλμυρᾶς τοῦ βίου κακίας. «Οἱ γὰρ ἄρχοντες ἀλλάξουσιν ἰσχύν·» ὡς ἂν μεταβάλοιεν τὸν ἑαυτῶν τρόπον, καὶ ἀλλαγὴν τὴν ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττω ποιήσοιντο. «Ἐγγισάτωσαν καὶ λαλησάτωσαν ἅμα·» δηλονότι τὰ ἔθνη πρός με, φησί, τὸν Θεὸν ἐγγισάτωσαν, καὶ τὰ ἐμὰ ῥήματα λαλησάτωσαν, ὁμοῦ κατὰ τὸ αὐτὸ γενόμενα, ἐν τῇ ἐμῇ δηλαδὴ Ἐκκλησίᾳ.

Στίχ. β'. «Τότε κρίσιν ἀναγγειλάτωσαν. Τίς ἐξήγειρεν ἀπὸ ἀνατολῶν δικαιοσύνην; ἐκάλεσεν αὐτὴν κατὰ πόδας αὐτοῦ, καὶ πορεύσεται;»

Τὸν γὰρ περὶ τῆς κρίσεως λόγον βούλεται μαθόντα τὰ ἔθνη καὶ ἑτέροις ἀπαγγέλλειν. Δικαιοσύνης γὰρ ἔργον ἦν τὸ μὴ ἰδίους μόνον, ἀλλὰ καὶ τὰ λοιπὰ ἔθνη καλεῖσθαι ἐπὶ τὴν τοῦ Θεοῦ γνῶσιν.

«Δώσει ἐναντίον ἐθνῶν, καὶ βασιλεῖς ἐκστήσει· καὶ δώσει εἰς γῆν τὰς μαχαίρας αὐτῶν, καὶ ὡς φρύγανα ἐξωσμένα τὰ τόξα αὐτῶν.» Ὑπέταξεν αὐτῷ πολλούς, ἵνα καθέλῃ Βαβυλῶνα δικαίως. Αὐτὸς γὰρ ἦν ὁ καὶ τοῖς πρώτοις πρόπαλαι καὶ ἐξ ἀρχῆς θεοφιλέσι γενομένοις γνωσθείς, καὶ ὁ μετὰ τὸν πρότερον λαὸν τῶν ἐθνῶν Ἐκκλησίαν πεπιστευμένος.

Στίχ. γ', δ'. «Καὶ διώξεται αὐτούς· διελεύσεται ἐν εἰρήνῃ ἡ ὁδὸς τῶν ποδῶν αὐτοῦ. Τίς ἐνήργησε καὶ ἐποίησε ταῦτα; Ἐκάλεσεν αὐτὴν ὁ καλῶν αὐτὴν ἀπὸ γενεῶν ἀρχῆς.»

Μαρτυρεῖ δὲ ὁ λόγος ὠφέλειαν οὐ τὴν τυχοῦσαν τοῖς ἔθνεσιν, εἴ γε μεταβάλλοντα τῆς προτέρας ἀβλεψίας καὶ πολυθεΐας, ἴδοσαν τὸν εἰρηκότα· «Ἐγὼ Θεὸς πρῶτος, καὶ εἰς τὰ ἐπερχόμενα ἐγώ εἰμι.» Καὶ ἰδόντα ἐφοβήθησαν, ἐν ἀρχῇ γενόμενα σοφίας· «Ἀρχὴ γὰρ σοφίας φόβος Κυρίου.[1]»

Στίχ. ε'-ζ'. «Τὰ ἄκρα τῆς γῆς ἤγγισαν, καὶ ἦλθον ἅμα, κρίνων ἕκαστος τῷ πλησίον, καὶ τῷ ἀδελφῷ βοηθῆσαι. Καὶ ἐρεῖ· Ἴσχυσεν ἀνὴρ τέκτων, καὶ χαλκεὺς ὁ τύπτων σφύρᾳ, ἅμα ἐλαύνων, ποτὲ μὲν ἐρεῖ, Σύμβλημα καλόν ἐστιν. Ἰσχύρωσαν αὐτὰ ἐν ἥλοις, θήσουσιν αὐτά, καὶ οὐ κινηθήσονται.»

Τὸ γὰρ παραδοξότατον τοῦτό ἐστιν, ὅτι καὶ τὰ βάρβαρα φῦλα καὶ τὰ πορρωτάτω ἀπῳκισμένα Ἰουδαϊκῆς χώρας, καθ' ἣν μόνην γνωρίζεσθαι ἐνομίζετο τὸ παλαιὸν ὁ Θεός, γνῶσιν ἀνείληφε τῆς εὐσεβείας καὶ τῆς θεοσεβείας· ὡς ἐκπλαγῆναι τῆς τοῦ Θεοῦ δικαιοσύνης τὴν χάριν, σπεῦσαί τε καὶ ἐλθεῖν ἀκολούθως τῷ φήσαντι κηρύγματι «Ἐγγισάτωσαν, καὶ λαλησάτωσαν ἅμα.» Οὐ γὰρ μόνον ἑαυτοὺς σῴζειν οἱ κεκλημένοι, ἀλλὰ καὶ τοὺς πλησίον κατὰ τοὺς τῆς φιλανθρωπίας νόμους. Ἦν ποτε χρόνος ὅτε καὶ ἡμῶν αὐτῶν κατίσχυσεν ἀνὴρ τέκτων ὁ τὴν εἰδωλολατρείαν κατεργασάμενος, καὶ χαλκεὺς τύπτων σφύρᾳ τοὺς ἑαυτοῦ θεούς· ἀλλὰ νῦν ἔγνωμεν τὸ μηθὲν ὄντας ἐκείνους, καὶ τῆς πατρικῆς κατέγνωμεν πλάνης, ὃ δὴ καὶ ὑμᾶς προσήκει μανθάνοντας ὠφελεῖσθαι. Δεῖγμα δὲ τῆς ἀδρανείας τῶν πάλαι νομισθέντων ἡμῖν θεῶν τὸ μὴ ἑστάναι δύνασθαι, εἰ μὴ γόμφοις τισὶ καὶ ἥλοις ἐμπαρεῖεν.

Στίχ. η'. «Σὺ δέ, Ἰσραὴλ παῖς μου, Ἰακώβ, καὶ ὃν ἐξελεξάμην, σπέρμα Ἀβραάμ, ὃν ἠγάπησα.»

Παῖδα πρῶτον ὀνομάζει, ἔπειτα ἐκλεκτόν, εἶτα ἀγαπητόν. Τὸν μὲν ὡς ἐν ἀρχαῖς ὄντα καὶ φόβῳ δουλείας παιδαγωγούμενον, οἷος ἦν ὁ ἀποστολικὸς χορός, τὸν πρῶτον βίον ὑπὸ τὸν παιδαγωγὸν νόμον

1. Ψαλμ. 110, 10.

γεγονώς· τὸν δὲ αὐτὸν ἐκλεκτὸν ὀνομάζει, ὡς ἂν προκόψαντα καὶ τῆς σωτηρίου κλήσεως καὶ ἐκλογῆς κατηξιωμένον. Σπέρμα δὲ Ἀβραὰμ ἕτερον τάγμα τυγχάνον παρὰ τὸ τῶν ἐκλεκτῶν, ὁποῖον ἂν εἴη τὸ πλῆθος τῶν Ἰουδαίων, πρὸς οὓς διαλεγόμενος ὁ Σωτὴρ ἔλεγεν· «Οἶδα, ὅτι σπέρμα Ἀβραάμ ἐστε.[1]» Ἕτεροι δὲ ἦσαν οὗτοι παρὰ τὰ τέκνα τοῦ Ἀβραάμ, περὶ ὧν ἐδίδασκε λέγων· «Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε.[2]» Ἀβραὰμ μὲν οὖν ἀγαπητὸς ἦν τοῦ Θεοῦ καὶ φίλος· διὸ λέλεκται· «Σπέρμα Ἀβραάμ, ὃν ἠγάπησα·» ἢ κατὰ τὸν Σύμμαχον, «Σπέρμα Ἀβραὰμ τοῦ φίλου μου·» κατὰ δὲ τὸν Ἀκύλαν, «Σπέρμα ἀγαπητόν μου.» Τό γε μὴν σπέρμα αὐτοῦ οὐκέτι ἠγαπῆσθαι ὁμοίως τῷ Ἀβραὰμ λέγεται· πλὴν ἀλλὰ καὶ τὸ σπέρμα αὐτοῦ καλεῖ διὰ τῶν ἐκλεκτῶν αὐτοῦ, εἰπὼν αὐτοῖς· «Πορεύεσθε πρὸς τὰ πρόβατα ἀπολωλότα οἴκου Ἰσραήλ.[3]»

Στίχ. θ΄. «Οὗ ἀντελαβόμην ἀπ' ἄκρων τῆς γῆς, καὶ ἐκ τῶν σκοπιῶν αὐτῆς ἐκάλεσά σε, καὶ εἶπά σοι· Παῖς μου εἶ· ἐξελεξάμην σε, οὐκ ἐγκατέλιπόν σε.»

Σημαίνει δὲ διὰ τούτων τοὺς ἐν τῇ διασπορᾷ τοῦ Ἰουδαίων λαοῦ, οὓς πρώτους κατηξίου τῆς αὐτοῦ κλήσεως. Πολλοὶ γὰρ κατὰ τοὺς ἀποστολικοὺς χρόνους οἱ ἀπὸ Ἰουδαίων τὸν Χριστοῦ λόγον παραδεδεγμένοι, οὐ μόνον ἀπὸ τῆς Ἰουδαίας γῆς, ἀλλὰ καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν.

Στίχ. ι΄. «Μὴ φοβοῦ· μετὰ σοῦ γάρ εἰμι· μὴ πλανῶ.»

Ἐπιθαρσύνει τὴν ἐκλογὴν ταύτην, εἰς τὸ ἀδεῶς εἰς πάντα τὰ ἔθνη κηρύξαι τὸ Εὐαγγέλιον· ὃ δὴ καὶ αὐτὸς ἐδήλου ἐν Εὐαγγελίοις ὁ Σωτὴρ φάσκων· «Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος.[4] Ἐγὼ γάρ εἰμι ὁ Θεός σου, ὁ ἐνισχύσας σε, καὶ ἐβοήθησά σοι.

Στίχ. ια΄. «Ἔσονται γὰρ ὡς οὐκ ὄντες, καὶ ἀπολοῦνται πάντες οἱ ἀντίδικοί σου.»

Ὅρα γάρ, φησί, μήποτε νοηθῇς, ὡς τῇ αὐτοῦ ἰσχύϊ δεδύνησαι τοσούτῳ κηρύγματι διακονήσασθαι. Οὐδεὶς γὰρ ἂν ἦσθα, οὐδ' ἂν ἠδυνήθης τι, εἰ μὴ ἐγὼ μετὰ σοῦ ὤν, καὶ σὺν σοὶ πορευόμενος, εἰς πάντα τὰ ἔθνη ἐνίσχυσά σε, ὑπομονὴν καὶ καρτερίαν καὶ δύναμίν σοι δωρησάμενος· ὡς μηδὲν ἐμποδὼν σοι γενέσθαι κώλυμα κηρύττοντι τὸ Εὐαγγέλιον εἰς πάντας.

Στίχ. ιβ΄. «Ζητήσεις αὐτούς, καὶ οὐ μὴ εὕρῃς τοὺς ἀνθρώπους οἳ παροινήσουσιν εἰς σέ. Ἔσονται γὰρ ὡς οὐκ ὄντες, καὶ οὐκ ἔσονται οἱ ἀντιπολεμοῦντές σε.»

Εἰ γὰρ καὶ πρὸς ὀλίγον ἔδοξαν εἶναί τινες, καθ' ὃν καιρὸν ἐπολέμουν καὶ ἐδίωκόν σε· ἀλλὰ σὺ μὲν ἔσῃ καὶ διαμενεῖς, καὶ ὄψει αὐτῶν τὴν ἀπώλειαν· οἱ δὲ οὐκ ἔσονται, ἢ τάχος ἀφανιζόμενοι τοῦ βίου. Διὸ

---

1. Ἰω. 8, 37. 2. Ἰω. 8, 39. 3. Ματθ. 10, 6. 4. Ματθ. 28, 20.

καρτερεῖν σε προσήκει, καὶ ὑπομένειν τὰς ἐξ αὐτῶν ἐπαγομένας θλίψεις.

Στίχ. ιγ', ιδ'. «Ὅτι ἐγὼ ὁ Θεός σου, ὁ κρατῶν τῆς δεξιᾶς σου, ὁ λέγων σοι· Μὴ φοβοῦ, Ἰακώβ, ὀλιγοστὸς Ἰσραήλ.»

Ὀλίγοι γὰρ τὸν ἀριθμὸν ἐτύγχανον οἱ τοῦ Σωτῆρος ἡμῶν μαθηταί, δώδεκα μὲν ὄντες ἀπόστολοι· ἑβδομήκοντα δὲ οἱ μετ' αὐτούς.

Στίχ. ιε'. «Ἰδοὺ ἐποίησά σε ὡς τροχοὺς ἁμάξης ἀλοῶντας, καινούς, πριστηροειδεῖς.»

Οὕτω γὰρ ἡ δύναμις τοῦ ἐνισχύοντος αὐτοὺς ἐδεικνύετο, ὅτε αὐτοὶ σκώληκος οὐδὲν διέφερον, ἀλλὰ καὶ ὀλιγοστοὶ ἦσαν, καὶ νεκροὶ καὶ τεθνεῶντες τοῦ Ἰσραὴλ ἐτύγχανον. Ὅμως τοιοῦτοι ὄντες, ὥσπερ τινὰ καλάμην διέτεμνον τροχῶν καὶ ἁμάξης τρόπον, ἀλοῶντες καὶ καταπρίζοντες τῶν ἀλλοφύλων καὶ ἀθέων ἐθνῶν, τὴν δαιμονικὴν θεοποιίαν. «Καὶ ἀλοήσεις ὄρη, καὶ λεπτυνεῖς βουνούς, καὶ ὡς χνοῦν θήσεις.»

Στίχ. ις'. «Καὶ λικμήσεις, καὶ ἄνεμος λήψεται αὐτούς, καὶ καταιγὶς διασπερεῖ αὐτούς. Σὺ δὲ εὐφρανθήσῃ ἐν τοῖς ἁγίοις Ἰσραήλ.»

Ὄρη καὶ βουνοὺς τὰς ἀντικειμένας δυνάμεις, πάλαι κατὰ τῆς γνώσεως τοῦ Θεοῦ ἐπαιρομένας, αἰνιττόμενος· ὡς μηκέτι ὑφεστάναι παρὰ τοῖς ἔθνεσι τὴν δαιμονικὴν πλάνην. Τῶν δὲ ἀποδοθέντων ὀρῶν καὶ τῶν δηλωθέντων βουνῶν ἀφανῶν γενομένων, σὺ αὐτὸς ὁ δοῦλός μου ὁ ἐκλεκτός, δι' οὗ ταῦτα κατώρθωται, εὐφρανθήσῃ ἐν Κυρίῳ, καὶ ἐν τῷ ἁγίῳ Ἰσραὴλ ἐπαινεθήσῃ.

Στίχ. ιζ'. «Καὶ ἀγαλλιάσονται οἱ πτωχοὶ καὶ ἐνδεεῖς. Ζητήσουσι γὰρ ὕδωρ, καὶ οὐκ ἔσται· ἡ γλῶσσα αὐτῶν ἀπὸ τῆς δίψης ἐξηράνθη. Ἐγὼ Κύριος ὁ Θεός· ἐγὼ ἐπακούσομαι ὁ Θεὸς Ἰσραήλ, καὶ οὐκ ἐγκαταλείψω αὐτούς.».

Ὅπως δὲ ταῦτα τέλους ἔτυχε, καὶ εἰσέτι νῦν ἐνεργεῖται ἐν ταῖς διὰ τῶν μαθητῶν τοῦ Σωτῆρος ἡμῶν κατὰ πάντα τόπον ἱδρυθείσαις ἐκκλησίαις τοῦ Θεοῦ, τὴν διάνοιαν ἐπιστήσας εἴσῃ. Αἱ γοῦν τὸ παλαιὸν πτωχεύουσαι ἐν τοῖς ἔθνεσι ψυχαὶ καὶ τῆς τοῦ Θεοῦ γνώσεως ἐνδεεῖς οὖσαι, καὶ μηδὲ ῥανίδα ζωτικοῦ πόματος κεκτημέναι, ὡς τὴν γλῶσσαν αὐτῶν καὶ τὸν δι' αὐτῆς προσφερόμενον λόγον ἐξηράνθαι, διὰ τὸ μηδεμιᾶς νοτίδος λόγου σωτηρίου μετέχειν· αὗται παραδόξου τετυχήκασιν εὐεργεσίας διὰ τῆς οὐρανίου χάριτος πληρωθεῖσαί τε πηγῶν, καὶ ποταμῶν καὶ παντοίων ζωτικῶν ὑδάτων, ὡς ἀπολαύουσαι ὕδατος, περὶ οὗ ἀνωτέρω ἐλέγετο· «Καὶ πίονται ὕδωρ ἐκ τῶν πηγῶν τοῦ σωτηρίου·[1]» εἴτε ἀπὸ πηγῶν τοῦ Ἰσραήλ, ὧν ἐμνημόνευσεν ὁ φήσας λόγος, «Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν Κύριον ἐκ πηγῶν Ἰσραήλ.[2]» Τοῦτο δ' ἂν εἴη τὸ Πνεῦμα τὸ ἅγιον τὸ πηγάζον ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, καὶ ἀνομβροῦν ὕδατα ζῶντα, τοτὲ μὲν ἀπὸ τῆς Παλαιᾶς Διαθήκης, τοτὲ δὲ ἀπὸ τῆς καινῆς καὶ εὐαγγελικῆς διδασκαλίας.

---

1. Πρβλ. Ἡσ. 12, 3. 2. Ψαλμ. 67, 27.

Στίχ. ιη', ιθ'. «Ἀλλὰ ἀνοίξω ἐπὶ τῶν ὀρέων ποταμούς, καὶ ἐν μέσῳ πεδίων πηγάς. Ποιήσω τὴν ἔρημον εἰς ἕλη ὑδάτων, καὶ τὴν διψῶσαν γῆν ἐν ὑδραγωγοῖς. Θήσω εἰς τὴν ἄνυδρον γῆν κέδρον καὶ πύξον, μυρσίνην καὶ κυπάρισσον, καὶ λεύκην.»

Ταῦτα πάντα, οὐδ' ἄλλως ἢ ἐν ὑδάτων πλήθει τρεφόμενα καὶ αὐξανόμενα, εἰς τὴν εἰκόνα περιείληπται τῶν ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ εὐθαλῶν ψυχῶν, ἀπὸ πολυπληθίας θείων καὶ λογικῶν ὑδάτων εἰς ὕψος ἐπηρμένων. Ὅτε μὲν οὖν τοὺς καρποὺς τῆς Ἐκκλησίας βούλεται παραστῆσαι ὁ λόγος, εἰκόνι χρῆται ἐλαίας, ἢ φοίνικος, ἢ ἀμπέλου· ὅτε δὲ τὸ εὐθαλὲς καὶ διηρμένον, νεαρόν τε καὶ ἀκμαῖον, τῶν ἐν τῇ Ἐκκλησίᾳ προκοπτόντων δηλοῖ, τῇ τῶν προλεχθέντων φυτῶν συνεχρήσατο εἰκόνι· ἃ οὐκ ἄλλως ἢ ἐξ ὑδάτων πλήθους καὶ γῆς ἑδραίας καὶ μονίμου συνίστασθαι πέφυκεν· ὃ δὴ καὶ ἀντὶ παραδόξου παρείληφεν, εἰ ἐν τῇ ἀνύδρῳ καὶ καταξήρῳ καὶ δειλαίᾳ γῇ τοσαύτην ὑδάτων χορηγίαν ἔσεσθαι ἐπήγγελται, ὡς τοιαῦτα βλαστῆσαι φυτά, ὁποῖα κατείλεκται. Τὸν αὐτὸν δὲ τρόπον ἔσεσθαι καὶ ἐπὶ τῆς πάλαι ἐρήμου καὶ ἀνύδρου γῆς τῶν πάλαι ἀλλοφύλων καὶ ἀθέων ἐθνῶν· τοσαύτην γὰρ γενήσεσθαι καὶ ἐπ' αὐτῷ μεταβολὴν προφητεύει εἰς ἔνδειξιν τῆς σωτηρίου εὐεργεσίας.

Στίχ. κ'. «Ἵνα ἴδωσι καὶ γνῶσι, καὶ ἐννοήσωσι καὶ ἐπίστωνται ἅμα, ὅτι χεὶρ Κυρίου ἐποίησε ταῦτα, καὶ ὁ ἅγιος τοῦ Ἰσραὴλ κατέδειξεν.»

Εἰ γὰρ μὴ Θεὸς ἦν καὶ χεὶρ Κυρίου, ἡ διὰ τῶν ἀποστόλων αὐτοῦ τὴν τοσαύτην μεταβολὴν ἐν τοῖς ἔθνεσιν εἰργασμένη, πῶς ἂν συνέστησαν ἐν τῇ τοσαύτῃ τῶν ἐθνῶν ἐρημίᾳ ἐκκλησίαι Θεοῦ, καὶ τὰ ἐν αὐτῇ λογικὰ ὕδατα πληθύνοντα πανταχοῦ γῆς, ὡς γεωργεῖσθαι τῶν πρότερον ἐρήμων καὶ ἀνημέρων ἐθνῶν τὰς ψυχὰς τῷ τῆς θεοσεβείας λόγῳ, φύειν τε καὶ ὑψηλὰ καὶ μετέωρα βλαστήματα· καὶ τὰ μὲν ἐπὶ γῆς ἐρριζωμένα, λέγω δὴ ἐν τῷ θνητῷ καὶ ἀνθρωπίνῳ βίῳ· τὰ δὲ εἰς ὕψος ἐπαιρόμενα, ὡς καὶ μέχρι τῆς βασιλείας τῶν οὐρανῶν ἐκτείνεσθαι, κἀκεῖ τὰς ἑαυτῶν ἀναρτᾶν ἐλπίδας; Διὸ φυτοῖς εὐώδεσι καὶ εἰς ὕψος ἐπηρμένοις παραβέβληται.

Στίχ. κα'. «Ἐγγίζει ἡ κρίσις ὑμῶν, λέγει Κύριος ὁ Θεός· ἤγγισαν αἱ βουλαὶ ὑμῶν, λέγει ὁ βασιλεὺς Ἰακώβ.»

Ἀναπολόγητοι γάρ ἐστε, φησίν, ὦ εἰδωλολάτραι, οἱ μετὰ τὴν τοσαύτην χάριν τὴν τὰ τοσαῦτα κατεργασαμένην, τῇ πολυθέῳ ἐναπομείναντες πλάνῃ, μὴ ἐννοήσαντες, ὡς χεὶρ ἦν ἀληθῶς Θεοῦ ἡ τὰ τοσαῦτα κατεργαζομένη, καὶ πρὶν γενέσθαι μαρτυραμένη, ὅτι ταῦτα ἔσται.

Στίχ. κβ', κγ'. «Ἐγγισάτωσαν, καὶ ἀναγγειλάτωσαν ὑμῖν ἃ συμβήσεται, ἢ τὰ πρότερον τίνα ἦν. Εἴπατε, καὶ ἐπιστήσομεν τὸν νοῦν, καὶ γνωσόμεθα τί τὰ ἔσχατα καὶ τὰ ἐπερχόμενα. Ἀναγγείλατε ἡμῖν τὰ ἐπερχόμενα ἐπ' ἐσχάτου, καὶ γνωσόμεθα, ὅτι θεοί ἐστε.»

Οἱ μὲν γὰρ τοῦ Θεοῦ προφῆται, ἐνθέου Πνεύματος μετασχόντες,

προεῖπον τὰ ἔσχατα διαρρήδην θεσπίσαντες τῆς ἀνύδρου καὶ ἀγόνου καὶ ἀκάρπου τῶν ἐθνῶν χώρας τὴν ἐπὶ τὰ κρείττω μεταβολήν, τήν τε τοῦ Χριστοῦ παρουσίαν, καὶ τῶν ἀποστόλων αὐτοῦ τὸ κήρυγμα, καὶ ὅσα ἄλλα ταῖς αὐτῶν ἐμφέρεται προφητείαις· ὅθεν γνωρίζεται Θεὸς ὢν ἀληθῶς ὁ ἐν αὐτοῖς καὶ δι' αὐτῶν ταῦτα θεσπίσας Οἱ δὲ πονηροὶ δαίμονες πόθεν ἠδύναντο γινώσκειν βουλὴν καὶ ἐνθύμησιν τοῦ ἐπὶ πάντων Θεοῦ, ἢ τὰ ὁρισθέντα ὑπ' αὐτῷ περὶ τῆς τοῦ Χριστοῦ παρουσίας, περί τε τῆς αὐτῶν καθαιρέσεως καὶ ἀπωλείας; Διό, μὴ εἰδότες τὰ ἐπερχόμενα, μηδὲ τὰ ἐν ἐσχάτοις καιροῖς μέλλοντα συμβήσεσθαι περὶ τῆς κλήσεως τῶν ἐθνῶν, τῆς τε αὐτῶν ἐρημίας, εἰκότως οὐδὲ τὰ πρότερα ἐγνώριζον· ὅθεν οὐδεὶς αὐτῶν δεδύνηται τοῖς αὐτῶν προφήταις ὑποβάλλειν ταῦτα, ἅπερ οἱ τοῦ Πνεύματος τοῦ Θεοῦ καταξιωθέντες γραφῇ παραδέδωκασιν.

«Εὐποιήσατε καὶ κακώσατε, καὶ θαυμασόμεθα, καὶ ὀψόμεθα ἅμα.» Εἰ γὰρ καὶ τὰ μάλιστα κακοποιεῖν οἷοί τέ ἐστε, δαίμονες ὄντες πονηροί, ἀλλ' οὐκ ἐκ τούτου γνώρισμα τῆς θεϊκῆς ἐνεργείας ἕξετε· διόπερ τὸ ἰδιάζον ἐπὶ Θεοῦ πρῶτον ὑμᾶς ἐπιδείξασθαι χρή· λέγω δὴ τὸ εὐποιῆσαι· ἔπειτα ἄρα κρίσει δικαίᾳ χρήσασθαι, καὶ τοὺς ἀξίους κακώσεως τιμωρήσασθαι. Ὡς ἐντεῦθεν παρίστασθαι τὰς νομιζομένας ἐνεργείας, ἢ τοὺς χρησμοὺς ἀνδρῶν εἶναι γοήτων ἀπάτας, τῇ τῶν πολλῶν ἠλιθιότητι καταχρωμένων.

Στίχ. κδ΄, κε΄. «Ὅτι πόθεν ἐστὲ ὑμεῖς, καὶ πόθεν ἡ ἐργασία ὑμῶν; Ἐκ γῆς βδέλυγμα ἐξελέξαντο ὑμᾶς. Ἐγὼ δὲ ἤγειρα τὸν ἀπὸ Βορρᾶ, καὶ τὸν ἀφ' ἡλίου ἀνατολῶν, κληθήσονται τῷ ὀνόματί μου.»

Σημαίνει δὲ διὰ τούτων τὸν μὲν ἀπὸ ἀνατολῶν ἡλίου τὸν Χριστὸν καὶ τὴν ἑαυτοῦ δικαιοσύνην· τοῦτο δὲ ἐδήλου καὶ διὰ τῶν ἔμπροσθεν φήσας· «Τίς ἐξήγειρεν ἀπὸ ἀνατολῶν δικαιοσύνην;» ἣν καὶ τοῖς ἔθνεσι δεδωρῆσθαι ἐδήλου· τὸν δὲ ἀπὸ Βορρᾶ, τὸν ἐξ ἐθνῶν λαόν, πάλαι ὄντα ἐν τῷ Βορρᾶ, κατὰ τό, «Ἀπὸ προσώπου Βορρᾶ ἐκκαυθήσεται κακὰ ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν.» Τοῦτον οὖν τὸν ἐξ ἐθνῶν λαόν, ἐξήγειρα, φησίν, ἀπὸ Βορρᾶ, ἵνα μηκέτι ἐν αὐτῷ ᾖ· καλέσω δὲ καὶ τὸν ἀφ' ἡλίου ἀνατολῶν, τουτέστι τὸν Χριστόν.

«Ἐρχέσθωσαν ἄρχοντες, καὶ ὡς πηλὸς κεραμέως, καὶ ὡς κεραμεὺς καταπατῶν τὸν πηλόν, οὕτω καταπατηθήσεσθε·» ἤτοι τοὺς τὴν αὐτοῦ βασιλείαν δορυφοροῦντας ἀγγέλους οὕτως ὀνομάζων, δι' ὧν τὴν καθαίρεσιν τῆς ἀθέου πλάνης γεγενῆσθαί φησιν· ἢ τοὺς ἄρχοντας καὶ προεστῶτας τῆς Ἐκκλησίας αὐτοῦ. Ὑμεῖς δηλαδή, οἷς ἐλέγετο, ὅτι «Πόθεν ἐστὲ ὑμεῖς, καὶ πόθεν ἡ ἐργασία ὑμῶν; ἐκ γῆς βδέλυγμα ἐξελέξαντο ὑμᾶς.»

Στίχ. κς΄. «Τίς γὰρ ἀναγγελεῖ τὰ ἐξ ἀρχῆς, ἵνα γνῶμεν καὶ τὰ ἔμπροσθεν, καὶ ἐροῦμεν, ὅτι ἀληθῆ ἐστιν; οὐκ ἔστιν ὁ προλέγων, οὐδὲ ὁ ἀκούων ὑμῶν τοὺς λόγους.

Διπλῆν ἔχει διάνοιαν, ὡς μήτε αὐτῶν ἐχόντων λόγον, διὰ τὸ

μηδὲν δύνασθαι, μήτε εἰδέναι, μήτε τῶν πάλαι περὶ αὐτὰ πλανωμένων ἐπιμενόντων τῇ πλάνῃ· ὠφελημάτων δὲ ὑπὸ τοῦ τῆς ἀληθείας λόγου, ὡς μηκέτι ἐκείνοις παρέχειν τὰς ἀκοάς, διὰ τὸ κατεγνωκέναι τῆς παλαιᾶς ἀπάτης.

Στίχ. κζ'. «Ἀρχὴν Σιὼν δώσω, καὶ Ἱερουσαλὴμ παρακαλέσω εἰς ὁδόν.»

Ὃ λέγει τοιοῦτόν ἐστι· Γινώσκετε, ὦ ἄνθρωποι, ὡς τῇ Ἐκκλησίᾳ τῇ ἐμῇ, τῇ καὶ διὰ τῶν ἔμπροσθεν ὠνομασμένῃ Σιὼν καὶ Ἱερουσαλήμ, αὐτὸς ἐγὼ δώσω τὴν κατὰ πάντων ἀρχήν, καὶ τὴν Ἐκκλησίαν μου παρακαλέσω, καὶ θήσω αὐτὴν εἰς ὁδόν.

Στίχ. κη,' κθ'. «Ἀπὸ γὰρ τῶν ἐθνῶν ἰδοὺ οὐδείς· καὶ ἀπὸ τῶν εἰδώλων αὐτῶν οὐκ ἦν ὁ ἀναγγέλλων. Καὶ ἐὰν ἐρωτήσω αὐτούς, Πόθεν ἐστέ; οὐ μὴ ἀποκριθῶσί μοι. Εἰσὶ γὰρ οἱ ποιοῦντες ὑμᾶς, καὶ μάτην οἱ πλανῶντες ὑμᾶς.»

Ἠλέγχθησαν γοῦν τὸ μηδὲν ὄντες, καὶ διὰ τοῦτο μηδὲν δυνάμενοι· διὸ καὶ ἐὰν ἐπερωτήσω αὐτοὺς ὁπόθεν εἶεν, οὐδεὶς αὐτῶν ἀπόκρισιν δώσει.

ΚΕΦΑΛΑΙΟΝ ΜΒ'.

Στίχ. α' «Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου. Ἔδωκα τὸ Πνεῦμά μου ἐπ' αὐτόν.»

Εὕροις δ' ἂν ταῦτα συνῳδὰ τοῖς διὰ τῶν ἔμπροσθεν περὶ τοῦ ἐκ ῥίζης Ἰεσσαὶ προελευσομένου τεθεσπισμένοις. Ἐκλεκτὸς δὲ οὐκέθ' ὁμοίως τοῖς ἀποστόλοις· ἐπειδὴ μόνῳ αὐτῷ λέλεκται τό, «Ὃν ᾑρέτισεν ἡ ψυχή μου·» ἀλλὰ καὶ τὸ πνεῦμα τοῦ Θεοῦ ἐπὶ μόνον αὐτὸν ἐπαναπαύσατο· «Ἐν αὐτῷ γὰρ κατῴκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς.[1]» Διόπερ ὡς μόνος χωρήσας τὸ Πνεῦμα τὸ πατρικόν, τὰ ἑξῆς πάντα ἐργάζεται, ἐξαγγέλλων τὰ περὶ τῆς καθολικῆς κρίσεως τοῖς ἔθνεσιν, εἰς τὸ παρασκευάζεσθαι τοὺς πάντας εἰς τὴν μέλλουσαν τοῦ Θεοῦ κρίσιν.

Στίχ. β', γ'. «Οὐ κεκράξεται, οὐδὲ ἀνήσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ· κάλαμον τεθλασμένον οὐ συντρίψει, καὶ λίνον καπνιζόμενον οὐ σβέσει· ἀλλὰ εἰς ἀλήθειαν ἐξοίσει κρίσιν.»

Σύνηθες τῇ θείᾳ Γραφῇ τῷ τῆς ψυχῆς ὄμματι καταχρᾶσθαι ἐπὶ τοῦ Θεοῦ· ἐπεὶ καὶ πόδας, καὶ χεῖρας, καὶ δακτύλους, καὶ ὀφθαλμοὺς Θεοῦ εἴωθεν ἀνθρωπινώτερον προφέρεσθαι. Περὶ αὐτοῦ δὲ τοῦ Χριστοῦ ταῦτα λέγεται, ἐπειδήπερ ἡσύχως καὶ πράως τὸν ἀνθρώπινον διώδευσε βίον, ὡς μηδὲ τοῖς ὑπ' αὐτοῦ θεραπευομένοις ἐπιτρέπειν αὐτὸν φανερὸν ποιεῖν τοῖς πᾶσιν· οὕτω γάρ, φησίν, ἀψοφητὶ καὶ ἡσύ-

1. Κολ. 2, 9.

χως διελεύσεται τὸν ἐν ἀνθρώποις βίον, ὡς μηδὲ τὸν τυχόντα ἄνθρωπον λυπῆσαι τὸν πάντων ταπεινότερον, καὶ ἀσθενέστερον, καλάμῳ διὰ τὸ ἀσθενὲς ἀπεικασμένον. Λίνον δὲ τυφόμενον εἴποις ἂν εἶναι τὸν εἰκῇ φυσιούμενον, ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ ἐπηρμένον καὶ τετυφωμένον, ὃν οὐ κωλύσειν, οὐδὲ παύσειν ἐλέγετο τοῦ ἐπάρματος ὁ προφητευόμενος. Ὃ δὴ καὶ ἔργῳ ἐπλήρου ὁ Χριστὸς ἐπιδημῶν τῷ θνητῷ βίῳ· οὔτε οὖν ταπεινόν τινα καὶ ἀσθενῆ ἐν ἀνθρώποις ἐλύπησεν, οὔτε τινὰ τῶν ἐπηρμένων καὶ ὑπερηφάνων μετῆλθε· πρὸς ἅπαντας δὲ τοὺς ἀνθρώπους πρᾶός τε ἦν καὶ ταπεινὸς τῇ καρδίᾳ· σὺν ἀληθείᾳ δὲ καὶ παρρησίᾳ τοῖς πᾶσι διαστέλλων τὰ περὶ τῆς τοῦ Θεοῦ κρίσεως, καὶ οὐ πρότερόν γε ἐπαύσατο, ἢ φωτὸς δίκην ἐκλάμψαι διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως, ἣν ὁ προφητικὸς λόγος ᾐνίξατο εἰπών, «Ἀναλάμψει καὶ οὐ θραυσθήσεται.» Θραῦσαι μὲν γὰρ αὐτόν, καὶ ἀποσβέσαι πεπείρανται οἱ τὸν θάνατον αὐτῷ κατασκευάσαντες· ἐπεὶ καὶ πᾶν τὸ θνητὸν γένος θανάτῳ θραύσεσθαι πέφυκεν. Ἀλλ' οὐ καὶ αὐτὸν ἔθραυσεν· μόνος δὲ τῶν ἐξ αἰῶνος εἷς οὗτος θανάτου κρείττων ἀποφανθείς, εἰκότως ὑπὸ τῆς προφητείας μεμαρτύρηται φησάσης·

Στίχ. δ'. «Ἀναλάμψει καὶ οὐ θραυσθήσεται, ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσι.»

Διὸ καὶ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, φωτὸς δίκην εἰς πάντα τὸν κόσμον ἐκλάμψας, οὐ πρότερον ἐπαύσατο, ἢ διατάξασθαι ἐπὶ τῆς γῆς τὴν περὶ τῆς Ἐκκλησίας αὐτοῦ διοίκησίν τε καὶ κρίσιν, ἣν τοῖς αὐτοῦ παρέδωκε μαθηταῖς.

Στίχ. ε'. «Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανόν, καὶ πήξας αὐτόν, ὁ στερεώσας τὴν γῆν, καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς, καὶ τὸ πνεῦμα τοῖς πατοῦσιν αὐτήν.»

Σφόδρα ἀκολούθως· χρὴ γὰρ ἡμᾶς μαθεῖν ἐκ τίνος προσώπου ἦν τὰ περὶ Χριστοῦ προλεχθέντα. Ἐπειδὴ γὰρ ἀθρόως ἐπέβαλεν ὁ προφητικὸς λόγος ἐν ἀρχῇ εἰπών, «Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου· ἔδωκα τὸ πνεῦμά μου ἐπ' αὐτόν·» τίς δὲ ἦν ὁ ταῦτα εἰρηκὼς οὐ προεδίδαξεν, ἀναγκαίως ἐπὶ τοῦ παρόντος διασαφεῖ τὸν ταῦτα τεθεσπικότα· διὸ ἐπιφέρει τό, «Οὕτως εἶπε Κύριος ὁ Θεός·» αὐτὸς γὰρ ἦν ὁ τὰ πρῶτα εἰρηκώς, καὶ τὰ ἑξῆς ἐπιλεγόμενος. Εἰ γὰρ καὶ μάλιστα μὴ οἷοί τέ ἐστε, φησίν, ὑμεῖς οἱ ἄνθρωποι, τὴν ἀφανῆ καὶ ἀσώματον οὐσίαν ἐποπτεῦσαι Θεοῦ· ἀλλ' ἀναβλέψαντες εἰς τὸ μέγεθος τοῦ τοσούτου οὐρανοῦ, λογίσασθε ὁποῖός τις τυγχάνει ὁ τοσοῦτον μέγεθος διαπηξάμενος· ἀλλὰ καὶ ἐπὶ τὴν γῆν αὐτὴν ἀποβλέψαντες, ὁπόση τίς ἐστι, καὶ ὡς ἀκίνητος τὸν σύμπαντα αἰῶνα ἥδρασται ἐρριζωμένη, καὶ τεθεμελιωμένη, ὡς μηδαμῇ μηδαμῶς κινεῖσθαι· ἐννοήσατε ὅσης ἀρρήτου ὑπάρχει δυνάμεως ὁ στερεώσας αὐτήν, γόνιμόν τε καὶ καρπῶν οἰστικὴν αὐτὴν ἀπεργασάμενος, ὡς τοσαῦτα ζῷα καὶ φυτὰ προβάλλεσθαι. Ὁ δὴ οὖν τοσαῦτα κάλλη καὶ μεγέθη

κατασκευάσας, Κύριος καὶ Θεὸς τῶν ὅλων, οὗτος τὰ προλεχθέντα περὶ τοῦ Χριστοῦ ἐθέσπισεν.

Στίχ. ς', ζ'. «Ἐγὼ Κύριος ὁ Θεὸς ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρατήσω τῆς χειρός σου, καὶ ἐνισχύσω σε, καὶ ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς, καὶ καθημένους ἐν σκότει.»

Προσφωνεῖ δὲ ταῦτα τῷ ἀνωτέρῳ λεχθέντι παιδὶ αὐτοῦ, ᾧ τὸ ἑαυτοῦ πνεῦμα δώσειν ἐλέγετο. Πρῶτον δὲ αὐτὸν ἐν δικαιοσύνῃ καλεῖ, κατ' ἀξίαν τὴν κλῆσιν αὐτοῦ καὶ κατὰ τὸ δίκαιον ποιούμενος· ἔπειτα κρατήσειν τῆς χειρὸς αὐτοῦ, καὶ ἐνισχῦσαι αὐτόν, καὶ τρίτον χαριεῖσθαι αὐτῷ δῶρον ὥσπερ τι φῶς μέγα, πᾶσι τοῖς ἔθνεσι ἐπαγγέλλεται λέγων· «Καὶ ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν.» Πάλαι μὲν οὖν διὰ Μωϋσέως τὴν παλαιὰν Διαθήκην τῷ Ἰουδαίων ἐδίδου λαῷ· ἐνταῦθα δὲ τὸν προφητευόμενον εἰς διαθήκην τοῦ γένους τῶν ἀνθρώπων, καὶ εἰς φῶς ἐθνῶν δωρήσασθαί φησιν· ὅπως ἐν αὐτῷ φωτιζόμενοι τῶν πάλαι τὰς ψυχὰς τυφλῶν οἱ ὀφθαλμοὶ διανοίγωνται καὶ ἀναβλέπωσι διορῶντες τὴν τοῦ Θεοῦ γνῶσιν, ὡς μηκέτι ξύλοις καὶ λίθοις καὶ ἀψύχων ὕλῃ τὴν τοῦ Θεοῦ τιμὴν ἀπονέμειν. Ἤμελλε γὰρ τοὺς σειραῖς τῶν ἰδίων ἁμαρτημάτων κατεσφιγμένους, καὶ ἐν σκότῳ τε καὶ κακίᾳ πεπεδημένους διὰ τῆς τοῦ Θεοῦ χάριτος ἁμαρτιῶν ἀφέσεως καταξιοῦν, καὶ ὥσπερ ἐκ δεσμωτηρίων ἀπολύειν ἐλευθέρους τε καὶ ἀπαλλάττειν τῆς τοῦ διαβόλου εἱρκτῆς.

Στίχ. η', θ'. «Ἐγὼ Κύριος ὁ Θεός· τοῦτό μού ἐστι τὸ ὄνομα, τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω, οὐδὲ τὰς ἀρετάς μου τοῖς γλυπτοῖς. Τὰ ἀπ' ἀρχῆς ἰδοὺ ἥκασι, καὶ καινὰ ἃ ἐγὼ ἀναγγέλλω, καὶ πρὸ τοῦ ἀναγγεῖλαι ἐδηλώθη ὑμῖν.»

Ἐπιστῆσαι ἄξιον, ὡς οὐκ εἴρηται, Τὴν δόξαν μου οὐδενὶ δώσω· δείκνυται γὰρ ὁ Υἱὸς τοῦ Πατρὸς ἔχων τὴν δόξαν· τὸ μὲν γὰρ οὐδενί, ἀναιρετικὸν ἦν παντός· τὸ δὴ ἑτέρῳ μὴ δώσειν, ἑνὶ μόνῳ τὴν συγχώρησιν γεγενῆσθαι ἐμφαίνει, δηλαδὴ τῷ προφητευομένῳ. Οὗτος δὲ ἦν πρὸς ὃν ἐλέγετο·

«Ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρατήσω τῆς χειρός σου, καὶ ἐνισχύσω σε, καὶ ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν.» Διὰ τούτων δέ, οἶμαι, τῶν λόγων τὰ ἔθνη πάντα παιδεύει, μηδένα μὲν θεὸν ὑμνεῖν τῶν πάλαι ὀνομαζομένων αὐτοῖς θεῶν· μόνον δὲ τὸν Χριστὸν τοῦ Θεοῦ καὶ τὸν πέμψαντα αὐτὸν Πατέρα δοξάζειν.

Στίχ. ι'. «Ὑμνήσατε τῷ Κυρίῳ ὕμνον καινόν· ἡ ἀρχὴ αὐτοῦ.» Τοῦτό φησι χρῆναι ποιεῖν πάντας ἀνθρώπους. «Δοξάζετε τὸ ὄνομα αὐτοῦ ἀπ' ἄκρου τῆς γῆς, οἱ καταβαίνοντες τὴν θάλασσαν, καὶ πλέοντες αὐτήν, αἱ νῆσοι καὶ οἱ κατοικοῦντες αὐτάς·» ὡς ἀπὸ τῆς τοῦ Χριστοῦ προσηγορίας Χριστιανῶν τὴν σύμπασαν πεπληρῶσθαι. Ἄντικρυς τοὺς ἀποστόλους τοῦ Σωτῆρος ἡμῶν σημαίνων, οὓς παρὰ

τὴν θάλασσαν εἶδε βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν· ἦσαν γὰρ ἁλιεῖς· ὁμοίως δὲ καὶ τοὺς λοιπούς. Οἱ αὐτοὶ δὲ οὗτοι, καὶ τὴν καθ' ἡμᾶς περιπλέοντες θάλατταν, τοτὲ μὲν ἐν ταῖς νήσοις ἐκήρυττον τὸ Εὐαγγέλιον, τοτὲ δὲ διέβαινον ἐπέκεινα Σπανίας τε καὶ Ἰταλίας, ὡς ἐν ὀλίγῳ χρόνῳ καὶ αὐτὴν βασιλεύουσαν πόλιν πληρῶσαι τῆς τοῦ Χριστοῦ διδασκαλίας. Καὶ ἄλλως δὲ οἱ τὴν τοῦ ἀνθρωπίνου βίου θάλασσαν ἐμπλέοντες, καὶ πᾶσι τοῖς ἔθνεσιν ἐν μέσαις ταῖς ἐκκλησίαις κηρύττοντες τὸ Εὐαγγέλιον διὰ τῶν προκειμένων δηλοῦνται· ἐπεὶ καὶ αὐτοὶ τὸν καινὸν ὕμνον πάσῃ κατήγγελλον τῇ γῇ, καὶ ἀνθρώποις ἐν μέσαις ταῖς ἐκκλησίαις κηρύττοντες καὶ διδάσκοντες. «Καὶ οἱ κατοικοῦντες αὐτάς·» τοὺς ἐν ταῖς ἐκκλησίαις συναγομένους τοῦτον ἐμφαίνων τὸν τρόπον.

Στίχ. ια'. «Εὐφράνθητι, ἔρημος, καὶ αἱ κῶμαι αὐτῆς·»

ἢ κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς, «καὶ πόλεις αὐτῆς.» Πολλαὶ γὰρ πόλεις κατὰ τὰς διαφόρους πολιτείας ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ ἐπινοοῦνται, ὡς ἐδείκνυτο καὶ ἐν τῇ ὁράσει τῆς Αἰγύπτου, ἐν ᾗ ἐλέγοντο ἔσεσθαι πέντε πόλεις ἐν Αἰγύπτῳ λαλοῦσαι τῇ γλώσσῃ τῇ Χαναανίτιδι. «Ἐπαύλεις καὶ οἱ κατοικοῦντες Κηδάρ. Εὐφρανθήσονται οἱ κατοικοῦντες Πέτραν, ἀπ' ἄκρου τῶν ὀρέων βοήσουσι.» Ἡ Κηδὰρ δὲ ἐπέκεινα τῆς Ἀραβίας τυγχάνει ἐπὶ τῆς ἐσχάτης ἐρήμου, καὶ κατέχειν φασὶ τὸ τῶν Σαρακηνῶν γένος. Δι' ὧν ὁ λόγος ἐβουλήθη πάντας τοὺς τὰς ἐρήμους καὶ τὰ ἔσχατα τῆς γῆς οἰκοῦντας δηλῶσαι, ὡς τῆς τοῦ Θεοῦ λογικῆς εὐφροσύνης διὰ τῆς τοῦ Χριστοῦ χάριτος καὶ μέχρις ἡμῶν φθάνειν μελλούσης. Καὶ Πέτρα δέ τίς ἐστι πόλις Παλαιστίνης δεισιδαιμόνων ἀνδρῶν, καὶ πολλῇ τῇ πλάνῃ τῇ δαιμονικῇ βεβαπτισμένη· ἧς καὶ αὐτῆς τοὺς ἐνοίκους τῆς χάριτος μεταλήψεσθαί φησι λέγων· «Εὐφρανθήσονται οἱ οἰκοῦντες Πέτραν.» Τούτων δὲ τῶν λόγων τὴν ἀλήθειαν ἡ διὰ τῶν πραγμάτων ἔκβασις ἐπιστώσατο, Ἐκκλησιῶν Χριστοῦ καὶ ἐπ' αὐτῆς τῆς Πετρέων πόλεως, κατά τε τὴν χώραν αὐτῆς, καὶ ἐν ταῖς ἐρήμοις δὲ τῶν Σαρακηνῶν καθ' ἡμᾶς αὐτοὺς ἱδρυμένων. Καὶ ἄλλως δὲ Κηδὰρ ἑρμηνεύεται σκοτασμός, διὰ τοὺς μεταβαλόντας ἀπὸ τοῦ σκοτασμοῦ ἐπὶ τὸ κατηγγελμένον φῶς τοῖς ἔθνεσιν. Εὐφρανθήσεσθαι ὁ λόγος φησὶ καὶ τοὺς κατοικοῦντας τὴν Πέτραν ὁμοίως· «Ἡ δὲ Πέτρα ἦν ὁ Χριστός.[1]»

Στίχ. ιβ', ιγ'. «Δώσουσι τῷ Θεῷ δόξαν· τὰς ἀρετὰς αὐτοῦ ἐν ταῖς νήσοις ἀναγγελοῦσι.»

Οὕτω δὲ καὶ ἀνωτέρω ἐλέγετο· «Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών· ὕψωσον τῇ ἰσχύϊ τὴν φωνήν σου, ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ.»

Κύριος ὁ Θεὸς τῶν δυνάμεων ἐξελεύσεται, καὶ συντρίψει πόλεμον, ἐπεγερεῖ ζῆλον, καὶ βοήσεται ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ μετ' ἰσχύος.»

1. Α' Κορ. 10, 4.

Οὐ γὰρ ἀλόγως αὐτοὺς πολεμήσει· ἀλλὰ μετὰ τοῦ τὴν αἰτίαν ἐξειπεῖν καὶ μεγάλῃ βοῇ φανερὸν ποιήσει, ἣν καὶ διδάσκει λέγων· «Ἐσιώπησα· μὴ καὶ ἀεὶ σιωπήσομαι;» Ἐν γὰρ τῷ παρανομεῖν αὐτοὺς καὶ ἀσεβεῖν, ἀνεξικακῶν καὶ φέρων αὐτοὺς τῇ αὐτοῦ μακροθυμίᾳ, μηδὲ παραχρῆμα τὴν ὀργὴν αὐτοῖς ἐπάγων ἐσιώπησε. Καὶ ἄλλως δὲ κατὰ τὸν καιρὸν τοῦ πάθους αὐτοῦ, συκοφαντούμενος ἐσιώπα, καὶ ψευδομαρτυρούμενος οὐδὲν ἀπεκρίνατο.

Στίχ. ιδ', ιε'. «Ἐσίωπησα· μὴ ἀεὶ σιωπήσομαι, καὶ ἀνέξομαι; Ὡς ἡ τίκτουσα ἐκαρτέρησα. Ἐκστήσω καὶ ξηρανῶ ἅμα· ἐρημώσω ὄρη καὶ βουνούς, καὶ πάντα χόρτον αὐτῶν ξηρανῶ. Καὶ θήσω ποταμοὺς εἰς νήσους καὶ ἕλκη ξηρανῶ·»

τὰς πάλαι ποταμῶν δίκην χορηγουμένας αὐτοῖς διδασκαλίας.

Στίχ. ις'. «Καὶ ἄξω τυφλοὺς ἐν ὁδῷ ᾗ οὐκ ἔγνωσαν, καὶ τρίβους ἃς οὐκ ᾔδεισαν, πατῆσαι ποιήσω αὐτούς. Ποιήσω αὐτοῖς τὸ σκότος εἰς φῶς, καὶ τὰ σκολιὰ εἰς εὐθεῖαν. Ταῦτα τὰ ῥήματα ποιήσω, καὶ οὐκ ἐγκαταλείψω αὐτούς.»

Τίνες δὲ ἦσαν οὗτοι ἐδίδαξε διὰ τῶν ἔμπροσθεν, εἰπὼν εἰς πρόσωπον τοῦ Χριστοῦ· «Ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν.» Τούτους δὴ οὖν αὐτοὺς τοὺς πάλαι τυφλοὺς ἐν τοῖς ἔθνεσιν, ἣν μὴ ἐπεγίνωσκον ὁδὸν βαδίσαι ποιήσειν ἐπαγγέλλεται. Πόθεν γὰρ ἡμῖν γινώσκειν παρῆν τὴν κατὰ Θεὸν ὁδόν, ἢ διὰ τῆς θείας αὐτοῦ χάριτος; «Ποιήσω αὐτοῖς τὸ σκότος εἰς φῶς·» τὰς προφητικὰς δηλαδὴ Γραφὰς καὶ τοὺς βίους τοὺς ὑπὸ τῆς θείας διδασκαλίας ὑποβαλλομένους συνήσεσθαι ἡμᾶς φησι. Τὴν γὰρ ἄγνοιαν τοῦ Θεοῦ τὴν πάλαι ταῖς ψυχαῖς ἡμῶν ἐπιπολάζουσαν εἰς φῶς γνώσεως μεταβαλεῖσθαι· καὶ τὰ πάλαι δὲ σκολιὰ ἡμῖν καὶ ἀσαφῆ νομιζόμενα, καὶ ταῦτα ὁμαλὰ ποιήσειν ἐπαγγέλλεται. Τοὺς ἐκ περιτομῆς αἰνιττόμενος, φησίν·

Στίχ. ιζ'. «Αὐτοὶ δὲ ἀπεστράφησαν εἰς τὰ ὀπίσω.»

Εἶθ' ὥσπερ ἐπιδεικνὺς αὐτοῖς τὴν τῶν ἐθνῶν μεταβολήν, καὶ ἐξ οἵας πλάνης μεταβεβήκασιν εἰς φῶς ἐλθόντες ἀπὸ τοῦ σκότους, ὀνειδιστικῶς πρὸς ἐκείνους εἰδωλολατροῦντας ἐπιλέγει· «Αἰσχύνθητε, οἱ πεποιθότες ἐπὶ τοῖς γλυπτοῖς, οἱ λέγοντες τοῖς χωνευτοῖς· Ὑμεῖς ἐστε θεοὶ ἡμῶν.» Καὶ ἵνα μή τις ταῦτα νομίσειε περὶ τῶν ἐθνῶν λέγεσθαι, τῶν πάλαι τυφλῶν καὶ κωφῶν, ἀναγκαίως διασαφεῖ καὶ διερμηνεύει τὴν διάνοιαν ἐξεπιλέγων·

Στίχ. ιθ'-κα'. «Καὶ τίς τυφλός, ἀλλ' οἱ παῖδές μου; καὶ κωφοί, ἀλλ' οἱ κυριεύοντες αὐτῶν; Καὶ ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ Θεοῦ. Εἴδετε πλεονάκις, καὶ οὐκ ἐφυλάξασθε· ἠνοιγμένα τὰ ὦτα, καὶ οὐκ ἠκούσατε. Κύριος ὁ Θεὸς ἐβουλεύσατο ἵνα δικαιωθῇ, καὶ μεγαλύνῃ αἴνεσιν.»

Ὁρᾷς, ὅτι ταῦτα πάντα περὶ τοῦ λαοῦ εἴρηται τοῦ ἐκ περιτομῆς. «Ἀλλ' ὁ μὲν Κύριος ἐβουλεύσατο ἵνα δικαιώσῃ αὐτόν, ἵνα μεγαλύνῃ αἴνεσιν· οἱ δὲ ἐδοξάσθησαν τοῖς τὰς ψυχὰς αὐτῶν πολεμοῦσιν.

Στίχ. κβ'. «Καὶ εἶδον, καὶ ἐγένετο ὁ λαὸς προνενομευμένος καὶ διηρπαγμένος· ἡ γὰρ παγὶς ἐν τοῖς ταμείοις πανταχοῦ, καὶ ἐν οἴκοις ἅμα, ὅπου ἔκρυψαν αὐτούς. Ἐγένοντο εἰς προνομήν, καὶ οὐκ ἦν ἐξαιρούμενος ἅρπαγμα, καὶ οὐκ ἦν ὁ λέγων, Ἀπόδος.»

Ἐν γὰρ αὐτοῖς τοῖς λογισμοῖς, οὓς ἔκρυπτον, τὰ κατὰ Χριστοῦ βουλευόμενοι, ἐν αὐτοῖς ἐκείνοις ἡ κατ' αὐτῶν παγίς, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος αὐτούς, οὐδὲ ὁ λέγων, Ἀπόδος.

Στίχ. κγ'. «Τίς ἐν ὑμῖν, ὃς ἐνωτιεῖται ταῦτα; εἰσακούσατε εἰς τὰ ἐπερχόμενα.»

Εἰ δέ τις ζητήσειεν τίς ὁ ταῦτα πράξας, εὕροι δ' ἄν, ὅτι οὐδ' ἄλλος ἔδωκεν αὐτοὺς εἰς διαρπαγὴν ἢ αὐτὸς ᾧ ἡμάρτοσαν αὐτῷ, καὶ οὐκ ἠβούλοντο ἐν ταῖς ὁδοῖς αὐτοῦ πορεύεσθαι. Καλούμενοι γὰρ εἰς τὰς εὐαγγελικὰς ὁδούς, οὐχ ὑπήκουον· ἀλλ' οὐδὲ ἀκούειν ἤθελον τοῦ νόμου τῆς Καινῆς Διαθήκης.

Στίχ. κδ'. «Τίς ἔδωκεν εἰς διαρπαγὴν Ἰακώβ, καὶ Ἰσραὴλ τοῖς προνομεύουσιν αὐτόν; Οὐχὶ ὁ Θεός, ᾧ ἡμάρτοσαν αὐτῷ, καὶ οὐκ ἐβούλοντο ἐν ταῖς ὁδοῖς αὐτοῦ πορεύεσθαι, οὐδὲ ἀκούειν τοῦ νόμου αὐτοῦ;»

Πάλαι μὲν γὰρ πρὸς καιρόν τινα πολεμούμενοι, αὖθις ἀνελάμβανον ἑαυτούς· ὡς καὶ τὴν Ἱερουσαλὴμ, καὶ τὸ ἐν αὐτῇ βασίλειον αὐτῶν συνεστάναι· νῦν δὲ κατίσχυσεν αὐτῶν ὁ πόλεμος· οὐχ ὁ ἔξωθεν μόνος, ἀλλὰ καὶ ὁ τῶν τὰς ψυχὰς αὐτῶν πολιορκούντων.

Στίχ. κε'. «Καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, καὶ κατίσχυσεν αὐτοὺς πόλεμος, καὶ οἱ συμφλέγοντες αὐτοὺς κύκλῳ· καὶ οὐκ ἔγνωσαν ἕκαστος αὐτῶν, οὐδὲ ἔθεντο ἐπὶ ψυχήν.»

«Εἰ γὰρ καὶ τὰ μάλιστα οἱ ἐξ ὑμῶν ἄπιστοι, τυφλοὶ καὶ κωφοὶ γενόμενοι, καὶ τοιαῦτα πράξαντες, τῇ ὀργῇ τοῦ Θεοῦ παρεδόθησαν· ἀλλ' ὑμεῖς ἔτι καὶ νῦν ἀκούσατε· ὑμᾶς δὲ λέγω τοὺς τὸν ἑαυτῶν ποιητὴν καὶ πλάστην μὴ ἀγνοήσαντας, ἀλλὰ καὶ τὸ ποίημα τὸ ἐν ὑμῖν καὶ τὸ πλάσμα σῶον καὶ ἀλώβητον διατηρήσαντας.

ΚΕΦΑΛΑΙΟΝ ΜΓ'.

Στίχ. α'. «Καὶ νῦν οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ ποιήσας σε, Ἰακώβ, καὶ ὁ πλάσας σε, Ἰσραήλ· Μὴ φοβοῦ, ὅτι ἐλυτρωσάμην σε· ἐκάλεσά σε τὸ ὄνομά σου· ἐμὸς εἶ σύ.»

Ἐγὼ Κύριος ὁ Θεὸς ὁ ποιήσας σε καὶ πλάσας σε· ποιήσας μὲν κατὰ ψυχὴν τὴν κατ' εἰκόνα Θεοῦ πεποιημένην· πλάσας δὲ κατὰ τὸ σῶμα τὸ ἀπὸ γῆς ληφθὲν καὶ ὑπ' ἐμοῦ πεπλασμένον· λύτρον ὑπὲρ τῆς σωτηρίας τὸ ἐμαυτοῦ παραδοὺς αἷμα, ἐλυτρωσάμην σε καὶ ἐκάλεσά σε· ἀλλὰ καὶ κτῆμα ἐμαυτοῦ ἐποιησάμην σε· ὥστε εἶναι μέν σε ἐμὸν λαόν, κἀμὲ δὲ σοῦ αὐτοῦ Θεόν. Θάρσει τοιγαροῦν, τοσούτων παρ' ἐμοῦ κατηξιωμένος, καὶ βάδιζε τὴν ὁδὸν ἣν ἐκελεύσθης, θαρσῶν τε κήρυττε

τοῖς ἁπανταχοῦ γῆς ἔθνεσι τὸν εὐαγγελικὸν λόγον. Κἂν γὰρ πῦρ φλέγον ἐπίῃ, κἂν ὕδατα, κἂν ποταμοὶ ἐπικλύζωσιν· οὐδέν σε ταῦτα λυπήσει, διὰ τὸ ἐμὲ σὺν σοὶ πανταχοῦ εἶναι. Ἀψευδῶς γὰρ ἀπηγγειλάμην τό, «Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι ἕως τῆς συντελείας τοῦ αἰῶνος.[1]»

Στίχ. β', γ'. «Καὶ ἐὰν διαβαίνῃς δι' ὕδατος, μετὰ σοῦ εἰμι, καὶ ποταμοὶ οὐ συγκλύσουσί σε· καὶ ἐὰν διέλθῃς διὰ πυρός, οὐ μὴ κατακαυθῇς, φλὸξ οὐ κατακαύσει σε, ὅτι ἐγὼ Κύριος ὁ Θεός σου ὁ ἅγιος Ἰσραήλ, ὁ σῴζων σε. Ἐποίησα ἄλλαγμά σου Αἴγυπτον καὶ Αἰθιοπίαν καὶ Σοήνην ὑπὲρ σοῦ.»

Οὕτω γὰρ παρ' ἐμοὶ γέγονας τίμιος, καὶ οὕτως ἐναντίον μου ἐδοξάσθης, καὶ οὕτως ἠγάπησά σε, ὡς καὶ μέχρι τῶν ἐσχατιῶν γῆς φθάσαι τὴν διὰ σοῦ πᾶσιν ἀνθρώποις προξενουμένην κατὰ Θεὸν σωτηρίαν· καὶ ὡς αὐτοὺς τῶν πάντων ἀνθρώπων δεισιδαιμονεστάτους, Αἰγυπτίους τῆς διὰ σοῦ κλήσεως καταξιωθῆναι. Διὰ μὲν οὖν τῶν Αἰγυπτίων πάντας ᾐνίξατο τοὺς δεισιδαίμονας καὶ εἰδωλολάτρας, διὰ δὲ τῆς Αἰθιοπίας καὶ Σοἡνης τοὺς μέχρι τῶν ἐσχατιῶν τῆς καθ' ἡμᾶς οἰκουμένης οἰκοῦντας. Ἰστέον, ὡς ἔστι Σαβαϊτῶν ἔθνος, ὅθεν βασίλισσα Σαβὰ ἐπεδήμει κατὰ τοὺς Σολομῶντος χρόνους.

Στίχ. δ', ε'. «Ἀφ' οὗ ἔντιμος ἐγένου ἐναντίον ἐμοῦ, ἐδοξάσθης, καὶ ἐγώ σε ἠγάπησα. Καὶ δώσω ἀνθρώπους ὑπὲρ σοῦ, καὶ ἄρχοντας ὑπὲρ τῆς κεφαλῆς σου. Μὴ φοβοῦ, ὅτι μετὰ σοῦ εἰμι. Ἀπ' ἀνατολῶν ἄξω τὸ σπέρμα σου, καὶ ἀπὸ δυσμῶν συνάξω σε.»

Πολλὰ τέκνα κατὰ Θεὸν γεννήσας συνάξω εἰς τὴν ἐπουράνιόν μου πόλιν, μετεώρους αὐτοὺς ἀναλαβὼν δι' ἀέρος ὥσπερ πτηνοὺς ἀνέμοις ὑποκουφιζόμενος, λέγω δὴ ἀγγελικαῖς δυνάμεσιν.

Στίχ. ς'. «Ἐρῶ τῷ βορρᾷ, Ἄγε, καὶ τῷ λιβί, Ἄγε, μὴ κώλυε· ἄγε τοὺς υἱούς μου ἀπὸ τῆς πόρρωθεν, καὶ τὰς θυγατέρας μου ἀπ' ἄκρων τῆς γῆς.»

Ἐγὼ γὰρ ταῖς ἀγγελικαῖς δυνάμεσι τοῦτο ποιεῖν προστάξω, διὰ τὸ ἐμοὺς εἶναι υἱοὺς καὶ θυγατέρας ἐμὰς δι' ὑμῶν σπαρέντας καὶ ἀναγεννηθέντας ἐν τῇ ἐμῇ Ἐκκλησίᾳ.

Στίχ. ζ'. «Πάντας ὅσοι ἐπικέκληνται τῷ ὀνόματί μου.»

Πόθεν δὲ ἄλλοθεν ὑπέστη τὸ Χριστιανῶν ὄνομα ἢ ἐκ τῆς τοῦ Χριστοῦ προσηγορίας; αὐτὸς δὲ ἦν ὁ διὰ τοῦ προφήτου ταῦτα θεσπίζων. «Ἐν γὰρ τῇ δόξῃ μου κατεσκεύασα αὐτόν, καὶ ἔπλασα αὐτόν, καὶ ἐποίησα αὐτόν, ἄπλαστον ὄντα τοῖς τρόποις.

Στίχ. η', θ'. «Καὶ ἐξήγαγον λαὸν τυφλόν, καὶ ὀφθαλμοί εἰσιν ὡσαύτως τυφλοί, καὶ κωφοὶ τὰ ὦτα ἔχοντες. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν.»

Διὰ γὰρ τῶν ἀποστολικῶν σπερμάτων καὶ τῆς διδασκαλίας αὐτῶν μεταβαλόντες οἱ πάλαι τυφλοὶ καὶ κωφοί, συνήχθησαν εἰς τὴν Ἐκκλη-

---

1. Ματθ. 28, 20.

σίαν τοῦ Θεοῦ· ἤδη δὲ καὶ ἄρχοντες ἐξ αὐτῶν τούτων τῶν ἐθνῶν ἐπὶ τὸν λαὸν τοῦ Θεοῦ κατέστησαν.

Στίχ. θ', ι'. «Τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ ἀκουσάτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γένεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην.»

Ἐπειδὴ κἀγὼ ὁ Θεὸς μάρτυς αὐτῶν γενήσομαι, καὶ ὁ παῖς μου ὃν ἐξελεξάμην· περὶ οὗ ἀνωτέρω ἔλεγεν· «Ἰδοὺ ὁ παῖς μου, ὃν ἡρέτισα, ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου.» Ἐγὼ τοίνυν αὐτὸς ὁ Θεός, καὶ ὁ παῖς οὗτος ὁ ἐκλεκτός μου, μαρτυρήσω τοῖς ἐμοῖς μάρτυσι· ὃ δὴ καὶ ὁ Σωτὴρ ἐν Εὐαγγελίοις ἐδήλου λέγων· «Ὃς ἐὰν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς.[1] Ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι.»

Στίχ. ι'. «Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔστι.»

Τὸ γὰρ αἴτιον τῆς τοῦ Χριστοῦ παρουσίας καὶ τῆς τῶν ἀποστόλων αὐτοῦ εἰς πάντα τὰ ἔθνη μαρτυρίας οὐδὲν ἕτερον ἦν, ἢ τὸ κηρῦξαι τὴν τοῦ Θεοῦ γνῶσιν, καὶ τὴν εἰς αὐτὸν πίστιν, καὶ τὴν περὶ αὐτοῦ σύνεσιν τοῖς πρὶν ἀσυνέτοις, καὶ ἀσυνθέτοις, καὶ ἀπίστοις, καὶ ἐν ἀγνωσίᾳ οὖσιν αὐτοῦ· ὡς διὰ τοῦτο τυφλώττειν τοὺς τῆς διανοίας ὀφθαλμούς, καὶ περὶ τὴν πλάνην τῆς ἀθέου εἰδωλολατρείας εἰλεῖσθαι. «Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι παρὲξ ἐμοῦ σῴζων.» Μιᾶς γὰρ οὔσης ἀρχῆς, μία εἴη ἂν ἡ θεότης, ᾗ συμπαραλαμβάνεται καὶ ἡ τοῦ Μονογενοῦς αὐτοῦ θεολογία.

Στίχ. ιβ', ιγ'. «Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεὸς ἔτι ἀπ' ἀρχῆς· καὶ οὐκ ἔστιν ὁ ἐκ χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό;»

Ὡς γὰρ μάρτυς αὐτὸς ἐλέγετο, καὶ ὁ παῖς ὃν ἐξελέξατο· οὕτω καὶ Θεὸς σῴζων εἴη ἂν αὐτός. Ἐὰν δὲ λέγῃ, «Καὶ οὐκ ἔστι παρὲξ ἐμοῦ σῴζων», οὐκ ἀπαγορεύων τὸν Σωτῆρα εἶναι τὸν παῖδα ὃν ἐξελέξατο, τοῦτ' ἂν εἴποι· οἶδε γοῦν αὐτὸν Σωτῆρα ὁ παρὼν προφήτης ἐν οἷς φησι· «Καὶ ἀποστελεῖ αὐτοῖς Κύριος Σωτῆρα, ὃς σώσει αὐτούς.» Ἀντὶ δὲ τοῦ, «ὠνείδισα», οἱ λοιποὶ ἑρμηνευταὶ πάντες, «καὶ ἠκούτισα», εἰρήκασι.

Στίχ. ιδ'-ιζ'. «Οὕτως λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ· Ἕνεκεν ὑμῶν ἀποστελῶ εἰς Βαβυλῶνα, καὶ ἐπεγερῶ φεύγοντας πάντας, καὶ Χαλδαῖοι ἐν πλοίοις δεθήσονται. Ἐγὼ Κύριος ὁ Θεὸς ὁ ἅγιος ὑμῶν, ὁ καταδείξας Ἰσραὴλ βασιλέα ὑμῶν. Οὕτως λέγει Κύριος ὁ διδοὺς ἐν θαλάσσῃ ὁδόν, καὶ ἐν ὕδατι ἰσχυρῷ

1. Ματθ. 10, 32.

τρίβον, ὁ ἐξαγαγὼν ἅρματα καὶ ἵππον καὶ ὄχλον ἰσχυρόν· ἀλλ' ἐκοιμήθησαν, καὶ οὐκ ἀναστήσονται, ἐσβέσθησαν ὡς λίνον ἐσβεσμένον.»

Ὁ νοῦς τῶν προκειμένων τοιοῦτός ἐστι· Πάλαι μὲν τὰς ἐμὰς εὐεργεσίας παρεῖχον τῷ Ἰουδαίων ἔθνει· παιδεύων μὲν αὐτοὺς καὶ σωφρονίζων, Βαβυλωνίοις παρέδωκα, οὐκ εἰς μακρὸν ἐλευθέρους ἀνῆκα τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας, ἅτε Θεὸς ὢν καὶ Κύριος τῶν ὅλων. Αὐτούς τε Βαβυλωνίους τοὺς ἐπιστάντας τῇ Ἱερουσαλὴμ ἀναστάτους ἐποίησα, ὡς καὶ φυγῇ χρήσασθαι τοὺς παρ' αὐτοῖς Χαλδαίους, δεσμίους τε ἀπαχθῆναί τινας αὐτῶν, πλοίοις ἐμβληθέντας ἐν τῇ παρ' αὐτοῖς θαλάσσῃ, ὑφ' ἑτέρων τινῶν δυνάμει κραταιοτέρων αὐτῶν. Ταῦτα γὰρ ἐγὼ διεπραξάμην ὁ Θεός, δεικνὺς τὴν ἐμὴν βασιλείαν ἀνθρώποις.

Στίχ. ιη', ιθ'. «Μὴ μνημονεύετε τὰ πρῶτα, καὶ τὰ ἀρχαῖα μὴ συλλογίζεσθε. Ἰδοὺ ἐγὼ ποιῶ καινά, ἃ νῦν ἀνατελεῖ, καὶ γνώσεσθε αὐτά.»

Δηλοῖ δὲ πάλιν τὴν ἐν τοῖς ἔθνεσι συστησομένην Ἐκκλησίαν, ἥτις ἔρημος ἦν Θεοῦ γνώσεως πρὶν ἐπιδημῆσαι τὸν Χριστὸν τοῦ Θεοῦ τὸν εἰπόντα· «Ἐγώ εἰμι ἡ ὁδός. Καὶ ποιήσω ἐν τῇ ἐρήμῳ ὁδόν, καὶ ἐν τῇ ἀνύδρῳ ποταμούς.» Ἀλλ' ἐν ἐκείνῃ, φησί, τῇ πάλαι ἐρήμῳ ὁδὸν ποιήσω, ὥσπερ καὶ πρότερον ἐπὶ τῆς Ἐρυθρᾶς πεποίηκα θαλάσσης. Ῥέουσι δὲ καὶ ποταμοὶ θείων λογίων ἐκ διδασκαλίας ἁγίου Πνεύματος εἰς τὴν πάλαι ἄνυδρον, ὡς καὶ ἐπὶ Μωϋσέως ἔρρευσαν ἐν τῇ ἐρήμῳ ποταμοί· ἀλλ' ἐκεῖ μὲν ὕδατος σωματικοῦ, ῥευστῆς οὐσίας ὄντος καὶ φθαρτῆς, νυνὶ δὲ ἐκ τῆς ἐνθέου χορηγίας τοῦ λογικοῦ καὶ πνευματικοῦ ὕδατος.

Στίχ. κ'. «Εὐλογήσουσί με τὰ θηρία τοῦ ἀγροῦ, σειρῆνες, καὶ θυγατέρες στρουθῶν· ὅτι ἔδωκα ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ ποταμοὺς ἐν τῇ ἀνύδρῳ, ποτίσαι τὸ γένος μου τὸ ἐκλεκτόν.»

Αἱ ἀπηγριωμέναι ψυχαὶ μεταβληθήσονται τῆς θηριώδους καταστάσεως ἐκ τῆς τοῦ ποταμοῦ δυνάμεως ἀλλοιωθεῖσαι, ὡς αὐτοὺς πάλιν τοὺς θῆρας εὐλογῆσαί με. Εἰ δὲ καὶ Σειρῆνες ἦσαν, θέλγουσαι ἡδονῇ καὶ ᾄσμασι δαιμονικοῖς τὰς τῶν ἀνθρώπων ψυχὰς ἐν ποιητῶν πλάσμασιν εὐεπείᾳ λόγων κεκοσμημένοις· ἀλλὰ καὶ αὗται μεταβαλοῦσαι εὐλογήσουσί με· ἔτι γε μὴν καὶ θυγατέρες στρουθῶν· ἢ κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς, «καὶ στρουθοκάμηλοι», ζῷον ἐν ἐρημίαις καὶ χώραις ἀοικήτοις γινόμενον, καὶ αὐτὸ ἡμερωθὲν εὐλογεῖν ἐμὲ τὸν Θεὸν μαθήσεται. Τούτων δὲ αἴτιον τὸ ὑπ' ἐμοῦ δοθὲν ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ ἡ τῶν ποταμῶν δύναμις τῶν ἐν τῇ ἐρήμῳ ῥευσάντων.

Στίχ. κα', κβ'. «Λαόν μου ὃν περιεποιησάμην τὰς ἀρετάς μου διηγεῖσθαι· οὐ νῦν ἐκάλεσά σε, Ἰακώβ, οὐδὲ κοπιάσαι σε ἐποίησα, Ἰσραήλ.»

Εἰ μὲν γὰρ θῆρες οἱ ἄγριοι καὶ σειρῆνες καὶ αἱ θυγατέρες τῶν στρουθῶν εὐλογήσουσί σε· σὺ δέ, Ἰακώβ, οὐδὲν τοιοῦτον διεπράξω· ἀλλ' οὐδὲ ἠξίωσας ἐμὲ ἐπικαλεῖσθαι, «ἐκοπιάθης» δὲ «εἰς

ἐμέ», κατὰ τὸν Σύμμαχον καίτοι ἐμοῦ μὴ ποιήσαντός σε κοπιάσαι.

Στίχ. κγ'. «Οὐκ ἤνεγκάς μοι πρόβατά σου τῆς ὁλοκαρπώσεώς σου, οὐδὲ ἐν ταῖς θυσίαις σου ἐδόξασάς με· οὐκ ἐδούλωσά σε ἐν θυσίαις, οὐδὲ ἔγκοπον ἐποίησά σε ἐν λιβάνῳ.»

Ὅπως καὶ ἐν τοῖς προκειμένοις τῇ ἐρήμῳ, καὶ τοῖς ἐν αὐτῇ θηρίοις ἀγαθῶν ἐλπίδας εὐαγγελίζεται· τὸν δὲ λαὸν τὸν ἐκ περιτομῆς ἐπ' ἀσεβείαις ἐλέγχει, ὃν καὶ Ἰακὼβ καλεῖ νῦν καὶ Ἰσραήλ· οὕτως ἁπλῶς ξηροῖς ὀνόμασιν οὔτε δοῦλον αὐτοῦ, οὔτε ἐκλεκτὸν εἰπών, ὅπερ ἐποίει ἐπὶ τοῦ κρείττονος τάγματος.

Στίχ. κδ'-κϛ'. «Οὐδὲ ἐκτήσω μοι ἀργυρίου θυμίαμα, οὐδὲ τὸ στέαρ τῶν θυσιῶν σου ἐπεθύμησα· ἀλλὰ ἐν ταῖς ἁμαρτίαις σου προέστης μου, καὶ ἐν ταῖς ἀδικίαις σου. Ἐγώ εἰμι, ἐγώ εἰμι, ὁ ἐξαλείφων τὰς ἀνομίας σου ἕνεκεν ἐμοῦ, καὶ τὰς ἁμαρτίας σου, καὶ οὐ μὴ μνησθήσομαι. Σὺ δὲ μνήσθητι, καὶ κριθῶμεν.»

Καλὴ γὰρ ἡ μνήμη τῶν προτέρων ἁμαρτημάτων δι' ἐξομολογήσεως ἐξηγορευμένη· διὸ ἐπιφέρει· «Λέγε σὺ πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς·» τοῦτο γὰρ ποιῶν δικαιωθήσῃ· ἐπειδὴ δίκαιος αὐτοῦ κατήγορος ἐν πρωτολογίᾳ.

Στίχ. κζ', κη'. «Οἱ πατέρες ὑμῶν πρῶτοι, καὶ οἱ ἄρχοντες ὑμῶν ἠνόμησαν εἰς ἐμέ. Καὶ ἐμίαναν οἱ ἄρχοντες τὰ ἅγιά μου. Καὶ ἔδωκα ἀπολέσαι Ἰακώβ, καὶ Ἰσραὴλ εἰς ὀνειδισμόν.»

ΚΕΦΑΛΑΙΟΝ ΜΔ'.

Στίχ. α'. «Νῦν δὲ ἄκουσον, Ἰακὼβ ὁ παῖς μου, καὶ Ἰσραήλ, ὃν ἐξελεξάμην.»

Διὰ τούτων τὸν χορὸν αὖθις τὸν ἀποστολικὸν ἀποκαλεῖται.

Στίχ. β', γ'. «Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ ποιήσας σε, καὶ ὁ πλάσας σε ἐκ κοιλίας· Ἔτι βοηθηθήσῃ· μὴ φοβοῦ, παῖς μου Ἰακώβ, καὶ ἠγαπημένος Ἰσραήλ, ὃν ἐξελεξάμην. Ὅτι ἐγὼ δώσω ὕδωρ ἐν δίψει τοῖς πορευομένοις ἐν ἀνύδρῳ, ἐπιθήσω τὸ πνεῦμά μου ἐπὶ τὸ σπέρμα σου, καὶ τὰς εὐλογίας μου ἐπὶ τὰ τέκνα σου.»

Διὰ γὰρ τοῦ Πνεύματος τοῦ ἁγίου τὸ λογικὸν καὶ γόνιμον, καὶ πνευματικὸν ὕδωρ τῇ ἀνύδρῳ καὶ ἐρήμῳ χορηγήσειν ἤμελλε. Σπέρμα δὲ τῶν ἀποστόλων αἱ Ἐκκλησίαι τοῦ Θεοῦ, καὶ τὰ τέκνα αὐτῶν οἱ πανταχοῦ γῆς καὶ ἐν πᾶσι τοῖς ἔθνεσι διὰ τοῦ Πνεύματος τοῦ ἁγίου ἀναγεννηθέντες· οἳ καὶ

Στίχ. δ'. «Ἀνατελοῦσι», φησίν, «ἀνὰ μέσον ὕδατος χόρτον, καὶ ὡς ἰτέα ἐπὶ παραρρέον ὕδωρ.»

Καὶ ἐνταῦθα δὲ τὴν ἰτέαν παρέλαβε διὰ τὸ ἀειθαλὲς καὶ νεαρὸν τοῦ φυτοῦ, εἰς παράστασιν τοῦ πλήθους τῶν λογικῶν ὑδάτων τῶν ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ ῥευσάντων.

Στίχ. ε'. «Οὗτος ἐρεῖ, Τοῦ Θεοῦ εἰμι, καὶ οὗτος βοήσεται

ἐπὶ τῷ ὀνόματι Ἰακώβ, καὶ ἕτερος ἐπιγράψει χειρὶ αὐτοῦ, Τοῦ Θεοῦ εἰμι, καὶ ἐπὶ τῷ ὀνόματι Ἰσραὴλ βοήσεται.»

Σεμνύνει ἑαυτὸν λέγων εἶναι Ἰσραήλ. Θαυμάσαι δέ ἐστι καὶ καταπλαγῆναι ἀληθῶς τὴν τῶν προφητικῶν λόγων δύναμιν, ὡς αὐτοῖς ἔργοις τὰ ἀποτελέσματα παρειλήφαμεν. Ἐν γοῦν τοῖς καθ' ἡμᾶς αὐτοὺς γενομένοις διωγμοῖς πολλοὺς τῶν ἀλλοφύλων ἐθνῶν ἐθεασάμεθα, προαρπάζοντας ἑαυτοῖς τὰς τῶν ἁγίων ἀνδρῶν προσηγορίας, ὧν ὁ μὲν ἑαυτὸν Ἰακὼβ ἐκάλει, καὶ ἕτερος Ἰσραήλ, ἄλλος δὲ Ἱερεμίαν, καὶ Ἡσαΐαν ἕτερος, καὶ Δανιὴλ πάλιν ἄλλος· τοιαῦτα γοῦν ἐπιγραφόμενοι ὀνόματα ἐπὶ τὸ μαρτύριον τοῦ Θεοῦ σὺν πολλῷ θάρσει καὶ παρρησίᾳ παρῄεσαν. Ἃ δὴ σημαίνουσα ἡ προφητεία φησίν· «Οὗτος ἐρεῖ, Τοῦ Θεοῦ εἰμι, καὶ οὗτος βοήσεται ἐπὶ τῷ ὀνόματι Ἰακώβ, καὶ ἄλλος ἐπιγράψει τῇ χειρὶ αὐτοῦ, Θεοῦ εἰμι, καὶ ἄλλος ἐπὶ τῷ ὀνόματι Ἰσραὴλ βοήσεται.»

Στίχ. ϛ', ζ'. «Οὕτως λέγει ὁ Θεὸς ὁ βασιλεὺς Ἰσραήλ, καὶ ῥυσάμενος αὐτὸν Θεὸς Σαβαώθ· Ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα· πλὴν ἐμοῦ οὐκ ἔστι Θεός. Τίς ὥσπερ ἐγώ; Στήτω, καὶ καλεσάτω, καὶ ἀναγγειλάτω, καὶ ἑτοιμασάτω μοι· ἀφ' οὗ ἐποίησα ἄνθρωπον εἰς τὸν αἰῶνα, καὶ τὰ ἐπερχόμενα πρὸ τοῦ ἐλθεῖν ἀναγγειλάτωσαν ὑμῖν.»

Λεγέτω γὰρ εἴ τίς ἐστι Θεός, ὅσον ἔργον ἑαυτοῦ δείκνυσιν ἐν τῷ παντί. Εἰ γὰρ εἷς ὁ κόσμος, καὶ οὗτος συμφυής, καὶ αὐτὸς ἑαυτῷ συνημμένος, εἷς ἂν γένοιτο καὶ ὁ τούτου δημιουργός. Ἀλλ' οὗτος ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων, οἷα τοῦ παντὸς γενεσιουργὸς θεωρεῖται. Εἰ δέ τις εἰσάγοι ἕτερον, δεικνύτω τοιοῦτον ὁμοίως κόσμον ἕτερον παριστάς· ἀλλ' οὐκ ἔστιν ἕτερος παρὰ τὸν ὁρώμενον κόσμον· οὐδὲ Θεὸς ἄρα ἕτερός ἐστιν. Εἰ δέ τις, «Στήτω», φησί, τοῦτο πρῶτον· λέγω δὴ τὴν ἑαυτοῦ δειξάτω ὕπαρξιν· ὅτι τέ ἐστιν ἐν οὐσίας ὑποστάσει, καὶ ὅτι ἐφ' ἑαυτῷ μένει καὶ ἕστηκεν· ἔπειτα φωνὴν ἀφεὶς λογικὴν καὶ Θεῷ πρέπουσαν, ἀναγγειλάτω τίνα ἔσται τὰ μετὰ ταῦτα γενησόμενα ἐν τῷ βίῳ· ἢ τὰ πάλαι ἐξ ἀρχῆς ὑποστάντα, ἀφ' οὗ τὸν ἄνθρωπον ἐθέμην ἐπὶ τῆς γῆς μέχρι τοῦ παρόντος χρόνου. Ἀπὸ γὰρ τούτου γνωσόμεθα, ὅτι ἔστησεν αὐτὰ λόγῳ.

Στίχ. η'-ι'. «Μὴ παρακαλύπτεσθε, μηδὲ πλανᾶσθε. Οὐκ ἀπ' ἀρχῆς ἠνωτίσασθε, καὶ ἀπήγγειλα ὑμῖν; Μάρτυρες ὑμεῖς ἐστε, εἰ ἔστι Θεὸς πλὴν ἐμοῦ. Καὶ οὐκ ἤκουσαν τότε οἱ πλάσσοντες καὶ οἱ γλύφοντες, πάντες μάταιοι, ποιοῦντες τὰ καταθύμια αὐτῶν, ἃ οὐκ ὠφελήσει αὐτούς. Ἀλλ' αἰσχυνθήσονται αἱ πλάσσοντες Θεόν, καὶ γλύφοντες πάντες ἀνωφελῆ.»

Οὐκ ἀπ' ἀρχῆς, φησί, τουτέστι πρὸ τῶν τοῦ κατακλυσμοῦ χρόνων, καθ' οὓς οὐδὲ οἱ τῶν ἀψύχων ξοάνων τέκτονες ὑπῆρχον. Καὶ τούτων ὑμεῖς μάρτυρες, ὡς οὐκ ἦσαν τότε, λέγω δὴ κατὰ τὰς ἀρχὰς τῆς τοῦ θνητοῦ βίου συστάσεως, οἱ πλάσσοντες καὶ γλύφοντες θεούς, οὔπω γλυπτικῆς, οὐδὲ πλαστικῆς τέχνης ἐν ἀνθρώποις εὑρισκομένης.

Στίχ. ια΄-ιζ΄. «Καὶ πάντες ὅθεν ἐγένοντο ἐξηράνθησαν, καὶ κωφοὶ ἀπὸ ἀνθρώπων συναχθήτωσαν πάντες, καὶ στησάτωσαν ἅμα, καὶ ἐντραπήτωσαν, καὶ αἰσχυνθήτωσαν ἅμα· ὅτι ὤξυνε τέκτων σίδηρον, σκεπάρνῳ εἰργάσατο αὐτό, καὶ ἐν τερέτρῳ ἔστησεν αὐτό, καὶ εἰργάσατο αὐτὸ ἐν τῷ βραχίονι τῆς ἰσχύος αὐτοῦ· καὶ πεινάσει, καὶ ἀσθενήσει, καὶ οὐ μὴ πίῃ ὕδωρ. Ἐκλεξάμενος τέκτων ξύλον, ἔστησεν αὐτὸ ἐν μέτρῳ, καὶ ἐν κόλλῃ ἐρρύθμισεν αὐτό, καὶ ἐποίησεν αὐτὸ ὡς μορφὴν ἀνδρός, καὶ ὡς ὡραιότητα ἀνθρώπου, στῆσαι αὐτὸ ἐν οἴκῳ. Ἔκοψε ξύλον ἐκ τοῦ δρυμοῦ, ὃ ἐφύτευσε Κύριος, πίτυν, καὶ ὑετὸς ἐμήκυνεν· ἵνα ᾖ ἀνθρώποις εἰς καῦσιν· καὶ λαβὼν ἀπ᾽ αὐτοῦ, ἐθερμάνθη, καὶ καύσαντες ἔπεψαν ἄρτους ἐπ᾽ αὐτῶν· τὸ δὲ λοιπὸν εἰργάσαντο θεούς, καὶ προσκυνοῦσιν αὐτοῖς· οὗ τὸ ἥμισυ αὐτοῦ κατέκαυσεν ἐν πυρί, καὶ ἐπὶ τοῦ ἡμίσους αὐτοῦ ἔπεψεν ἐν τοῖς ἄνθραξιν ἄρτους, καὶ ἐπ᾽ αὐτοῦ κρέας ὀπτήσας ἔφαγε, καὶ ἐνεπλήσθη, καὶ θερμανθεὶς εἶπεν· Ἡδύ μοι, ὅτι ἐθερμάνθην, καὶ εἶδον πῦρ. Τὸ δὲ λοιπὸν ἐποίησεν εἰς θεὸν γλυπτόν, καὶ προσκυνεῖ καὶ προσεύχεται λέγων· Ἐξελοῦ με, ὅτι Θεός μου εἶ σύ.»

Τέως δὲ ὑμεῖς ἐπὶ τοῦ παρόντος, πρὸς οὓς ὁ παρὼν λόγος; Τί δήποτε μὴ λογίζεσθε παρ᾽ ἑαυτοῖς, τίς ἡ φύσις τῶν ἐν ἀψύχοις ἀγάλμασιν θεοποιουμένων ὑμῖν; Ἆρα γὰρ οὐ πρόχειρον τοῖς πᾶσι συνορᾶν, ὡς τεκτόνων εἶεν ἔργα, σκεπάρνοις καὶ τρυπάνοις, καὶ τοιούτοις τισὶν ὀργάνοις σκευωρημένα, πένητος καὶ ἐνδεοῦς ἀνδρὸς ἐπίνοια, ὃς δι᾽ ἔνδειαν τροφῆς, ἐνεργείας ἄρτου σχολῆς μηχανὴν πλάνης ἐξηύρατο;

Στίχ. ιη΄-ιθ΄. «Οὐκ ἔγνωσαν φρονῆσαι, ὅτι ἀπημαυρώθησαν τοῦ βλέπειν τοῖς ὀφθαλμοῖς, καὶ τοῦ νοῆσαι τῇ καρδίᾳ αὐτῶν. Καὶ οὐκ ἐλογίσατο τῇ ψυχῇ αὐτοῦ, οὐδὲ ἔγνω τῇ φρονήσει, ὅτι τὸ ἥμισυ αὐτοῦ κατέκαυσεν ἐν πυρί, καὶ ἔπεψεν ἐπὶ τῶν ἀνθράκων αὐτοῦ ἄρτους, καὶ ὀπτήσας κρέα ἔφαγε, καὶ τὸ λοιπὸν αὐτοῦ εἰς βδέλυγμα ἐποίησε, καὶ προσκυνοῦσιν αὐτῷ.»

Ὡς ἐπιλελησμένων δὲ καὶ δεομένων τῆς τούτων ὑπομνήσεως διὰ ταχύτητος λογισμοῦ, ταῦτά φησι. Διόπερ ὀφείλεις τῆς σαυτοῦ μνημονεύειν ἀξίας, καὶ πλάσμα Θεοῦ ὢν αὐτὸς μὴ καθύβριζε σεαυτόν, ἄψυχον ὕλην χερσὶ βαναύσων ἀνδρῶν πεπλασμένην σεαυτοῦ προτιμῶν καὶ θεοποιῶν.

Στίχ. κ΄, κα΄. «Γνῶθι, ὅτι σποδὸς ἡ καρδία αὐτῶν, καὶ πλανῶνται, καὶ οὐδεὶς δύναται ἐξελέσθαι τὴν ψυχὴν αὐτοῦ. Ἴδετε καὶ οὐκ ἐρεῖτε, ὅτι ψεῦδος ἐν τῇ δεξιᾷ μου. Μνήσθητι ταῦτα, Ἰακὼβ καὶ Ἰσραήλ, ὅτι παῖς μου εἶ σύ. Ἔπλασά σε παῖδά μου, καὶ σύ, Ἰσραήλ, μὴ ἐπιλάθου μου.»

Ὡς ἀπεστραμμένῳ καὶ πολεμίοις ἐκδεδομένῳ.

Στίχ. κβ΄, κγ΄. «Ἰδοὺ γὰρ ἀπήλειψα ὡς νεφέλην τὰς ἀνομίας σου, καὶ ὡς γνόφον τὴν ἁμαρτίαν σου. Ἐπιστράφηθι πρός με, καὶ λυτρώ-

σομαί σε. Εὐφράνθητε, οὐρανοί, ὅτι ἐλέησεν ὁ Θεὸς τὸν Ἰσραήλ.»

Ὡς ἂν χαρᾶς ἐν οὐρανοῖς γενησομένης ἐπὶ τοῖς μέλλουσι μετάνοιαν τῶν κακῶν ποιήσασθαι.

«Σαλπίσατε, τὰ θεμέλια τῆς γῆς, βοήσατε, ὄρη, εὐφροσύνην, οἱ βουνοὶ καὶ πάντα τὰ ξύλα τὰ ἐν αὐτοῖς, ὅτι ἐλυτρώσατο ὁ Θεὸς τὸν Ἰακώβ, καὶ Ἰσραὴλ δοξασθήσεται.» Εἰ γάρ τινές εἰσιν αἱ τὴν γῆν ὑποστηρίζουσαι θεῖαι δυνάμεις, καὶ αὗται ἀλαλαγμὸν καὶ ὕμνον ἀναπεμπέτωσαν τῷ Θεῷ. Εἰκὸς δὲ θεμέλια τῆς γῆς χρηματίζειν τοὺς προφήτας αὐτοὺς καὶ πάντας τοὺς δικαίους καὶ θεοφιλεῖς ἄνδρας· τοῦτο γοῦν ἐδίδασκεν ὁ Ἀπόστολος φήσας· «Ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν.[1]» Βοήσατε, ὄρη, εὐφροσύνην. Ὁμοίως δοξαζέτωσαν τὸν Θεὸν ἐπὶ τῇ τῶν εἰρημένων μετανοίᾳ τε καὶ σωτηρίᾳ. Ὄρη μὲν τὰς ἐπηρμένας καὶ μετεώρους ψυχὰς αἰνιττόμενος· βουνοὺς δὲ τὰς τούτων μετριωτέρας· ξύλα δὲ τὰς καρποφόρους. Καὶ ἄλλως δὲ πάντα τὸν κόσμον καὶ τὰ τούτου μέρη τὸν Θεὸν ὑμνεῖν προστάττει, ἐπιλέγων· «Ὅτι ἐλυτρώσατο ὁ Θεὸς τὸν Ἰακώβ, καὶ Ἰσραὴλ δοξασθήσεται.

Στίχ. κδ'. «Οὕτω λέγει Κύριος ὁ λυτρούμενός σε, καὶ πλάσσων σε ἐκ κοιλίας.»

Ἔλεγχον εἰδωλολατρείας προεκθέμενος ὁ λόγος διὰ τῶν προκειμένων, ὡς ἂν παυσαμένοις τῆς εἰδωλολατρείας, τοῖς ὠφελημένοις ἐκ τῆς προφητικῆς διδασκαλίας, ἐπαγγελίας ποιεῖται, ἐπάνοδον τῆς ἀπὸ Βαβυλῶνος αἰχμαλωσίας. Ἐπειδὴ γὰρ εἰδωλολατροῦντες τοῖς Βαβυλωνίοις παρεδόθησαν, αὐτή τε ἡ Ἱερουσαλὴμ πολιορκίαν ὑπέμεινε, καὶ παντελῆ καταστροφὴν κατὰ τοὺς Ἀσσυρίων χρόνους, διὰ τὰ ἐν αὐτῇ τετολμημένα τοῖς οἰκήτορσι· θεσπίζει τοιαῦτα πεπονθόσιν ἐλευθερίαν κακῶν, εἰ παύσαιντο τῆς πλάνης. Ἐπληροῦτο δὲ ταῦτα κατὰ τοὺς Κύρου τοῦ πρώτου Περσῶν βασιλεύσαντος χρόνους. Διόπερ καὶ αὐτοῦ μέμνηται ὀνομαστὶ τοῦ Κύρου σφόδρα θαυμασίως, ἐγγύς που διακοσίοις ὕστερον ἔτεσι γενομένου, καὶ τῆς αἰχμαλωσίας ἐλευθερώσαντος τὸν τῶν Ἰουδαίων λαόν, τόν τε νεὼν προστάξαντος τὸν ἐν τῇ Ἱερουσαλὴμ ἀνεγείρειν.

«Ἐγὼ Κύριος ὁ συντελῶν πάντα, ἐξέτεινα τὸν οὐρανὸν μόνος, καὶ ἐστερέωσα τὴν γῆν. Πάντα» γὰρ «δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν.[2]» Ἐξέτεινε δὲ τὸν οὐρανὸν μόνος, καὶ ἐστερέου τὴν γῆν βουλῇ τοῦ Πατρός· «Αὐτὸς» γὰρ «εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.» Ἡ μὲν οὖν γῆ, ναστὴ οὖσα καὶ στερέμνιος, ὡς ἡδράσθη ἀκίνητος τὸν σύμπαντα αἰῶνα, καὶ ἐστερεῶσθαι λέγεται· ὁ δὲ οὐρανός, ἅτε ἐξηπλωμένος, διόλου ἐκτετάσθαι· διὸ καὶ ἐν ἑτέροις εἴρηται· «Ὁ ἐκτείνας τὸν οὐρανὸν ὡσεὶ δέρριν.[3]» Τίνα δέ ἐστιν ἅπερ ὁ τοσοῦτος διδάσκει Κύριος, ἑξῆς ἐπιφέρει λέγων·

---

1. Ἐφ. 2, 20. 2. Ἰω. 1, 3. 3. Ψαλμ. 103, 2.

Στίχ. κε΄, κη΄. «Τίς ἕτερος διασκεδάσει σημεῖα ἐγγαστριμύθων, καὶ μαντείας ἀπὸ καρδίας; ἀποστρέφων φρονίμους εἰς τὰ ὀπίσω, καὶ τὴν βουλὴν αὐτῶν μωραίνων, καὶ ἱστῶν ῥῆμα παιδὸς αὐτοῦ, καὶ τὴν βουλὴν τῶν ἀγγέλων αὐτοῦ ἀληθεύων· ὁ λέγων τῇ Ἱερουσαλήμ, Κατοικηθήσῃ, καὶ ταῖς πόλεσι τῆς Ἰδουμαίας, Οἰκοδομηθήσεσθε, καὶ τὰ ἔρημα αὐτῆς ἀνατελεῖ· ὁ λέγων τῇ ἀβύσσῳ, Ἐρημωθήσῃ, καὶ τοὺς ποταμούς σου ξηρανῶ· ὁ λέγων Κύρῳ φρονεῖν, καὶ πάντα τὰ θελήματά μου ποιήσει· ὁ λέγων Ἱερουσαλήμ, Οἰκοδομηθήσῃ, καὶ τὸν οἶκον τὸν ἅγιόν μου θεμελιώσω.»

Ταῦτα μὲν οὖν οὕτω διαθήσομαι· τοῦ δὲ ἐμοῦ παιδὸς ἀγαπητοῦ καὶ ἐκλεκτοῦ, λέγω δὴ τοῦ Χριστοῦ μου, περὶ οὗ διὰ τῶν ἔμπροσθεν πλεῖστα ὅσα εἴρηται, συστήσω τὰ ῥήματα, καὶ τῶν ἀγγέλων δὲ αὐτοῦ, λέγω δὴ τῶν ἀποστόλων καὶ μαθητῶν καὶ εὐαγγελιστῶν τὰς βουλὰς ἐπαληθεῦσαι ποιήσω. Ἐγὼ δὲ μέλλων ταῦτα ποιεῖν ἐντεῦθεν ἤδη προλέγω καὶ ἐπαγγέλλομαι, ὅτι τὴν Ἱερουσαλὴμ μετὰ τὴν πρώτην καθαίρεσιν τὴν ὑπὸ Βαβυλωνίων γενησομένην ἀνακαινισθῆναι ποιήσω, ὡς καὶ τὰς τῆς Ἰουδαίας πόλεις κατοικηθῆναι, καὶ τὰ ἐν αὐταῖς ἔρημα πάλιν ὡς τὰ ἀπ' ἀρχῆς συστῆναι. Ἀλλὰ καὶ τὴν πολυθεΐαν, τῆς κακίας ἄβυσσον ὀνομαζομένην, ἔρημον καταστήσω, καὶ τοὺς ποταμοὺς τῆς πολυθεΐας τῶν πολεμίων ἀποξηρανῶ· ὡς μηκέτι τὴν Βαβυλῶνα συστῆναι, μήτε τοὺς ποταμοὺς αὐτῆς τοὺς πολλὰ δεδυνημένους ἐν πλήθεσιν ἰσχυροῖς. Ταῦτα δὲ πάντα ποιήσω διακόνῳ χρησάμενος ἀνδρὶ τῶν Περσῶν γένους βεβασιλευκότι πρώτῳ. Εἰ δὲ χρὴ καὶ ἐπ' ὀνόματος προφητεῦσαι τούτου τὴν προσηγορίαν, Κῦρος ὄνομα τῷ θεσπιζομένῳ, ὃν προστήσομαι τῶν ἐμῶν λόγων ὑπηρέτην, φρόνησιν αὐτῷ δωρησάμενος εὐσεβῆ, ὡς πάντα τὰ καταθύμιά μοι ποιῆσαι καὶ προστάξαι τὴν Ἱερουσαλὴμ οἰκοδομηθῆναι, καὶ τὸν νεὼν τὸν ἐν αὐτῇ θεμελιωθῆναι.

ΚΕΦΑΛΑΙΟΝ ΜΕ΄.

Στίχ. α΄. «Οὕτω λέγει Κύριος ὁ Θεὸς τῷ χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη, καὶ ἰσχὺν βασιλέων διαρρήξω. Ἀνοίξω ἔμπροσθεν αὐτοῦ θύρας, καὶ πόλεις οὐ συγκλείσονται.»

Ἀγαθὸν δὲ ὑπηρέτην τῆς ἐμῆς βουλῆς εὗρον τὸν προδηλωθέντα ἄνδρα· ἐντεῦθεν ἤδη ἐπαγγέλλομαι κρατήσειν αὐτοῦ τῆς δεξιᾶς, πρὸς τὸ μὴ παρατρέπεσθαι, μηδὲ νικᾶσθαι ὑπό τινος κρείττονος. Ὑποτάσσω δὲ αὐτῷ πλεῖστα ὅσα ἐν τοῖς λοιποῖς ἔθνεσι βασιλευόντων· δι' αὐτοῦ δὲ τὴν ἰσχὺν διαρρήξω πάσης τῆς ἐν τοῖς λοιποῖς ἔθνεσι δυναστείας· πάντα δὲ λεῖα καὶ ὁμαλὰ καταστήσας πρὸ τῶν αὐτοῦ ποδῶν, θύρας πόλεων, καὶ αὐτὰς ὅλας τὰς πόλεις ὑποχειρίους αὐτῷ παραδώσω· ὡς μηδεμίαν ἐναντίαν αὐτῷ γενέσθαι.

Στίχ. β'. «Ἐγὼ ἔμποσθέν σου πορεύσομαι, καὶ ὄρη ὁμαλιῶ· θύρας χαλκᾶς συντρίψω, καὶ μοχλοὺς σιδηροῦς συγκλάσω.»

Καὶ εἴποι δ' ἄν τις τὰ κατὰ τὸν Ζοροβάβελ, ἢ κατὰ Κῦρον ἱστορικῶς γενόμενα, εἰκόνας καὶ σύμβολα περιέχειν τῆς ἀληθείας· τὰ δὲ κατὰ τὸν ἀληθῆ Κύριον καὶ Χριστὸν πνευματικῶς πεπληρῶσθαι· ὡς ἐπ' αὐτὸν μᾶλλον ἀληθεύειν τὸν λόγον τὸν φήσαντα· «Τάδε λέγει Κύριος τῷ χριστῷ μου Κύρῳ.» Κατὰ γὰρ τὴν πρόχειρον λέξιν οὔτε Χριστὸς ὢν τοῦ Θεοῦ φαίνεται ὁ Περσῶν βασιλεὺς οἰκοδομήσας τὴν Ἱερουσαλήμ· ἀλλ' οὐδὲ ὅλως κατὰ τὴν αὐτοῦ ζωὴν προὔκοψε τῆς οἰκοδομῆς τὸ ἔργον· μόνον γὰρ ἤρξαντο τῶν θεμελίων κατὰ τοὺς αὐτοὺς χρόνους· εἶτ' ἐπισχεθέντος τοῦ ἔργου, διέμεινεν ἔρημος ὁ τόπος μέχρι τῆς Δαρείου βασιλείας. Καὶ τὰ ἑξῆς δὲ ἐπιλεγόμενα μᾶλλον τῷ Χριστῷ ἢ τῷ τῶν Περσῶν βασιλεῖ ἐφαρμόσειεν ἄν· καὶ μᾶλλον τῷ ἡμετέρῳ Σωτῆρι ἢ τῷ Ζοροβάβελ.

Στίχ. γ', δ'. «Καὶ δώσω σοι θησαυροὺς σκοτεινούς, ἀποκρύφους, ἀοράτους ἀνοίξω σοι· ἵνα γνῷς, ὅτι ἐγὼ Κύριος ὁ Θεός σου, ὁ καλῶν τὸ ὄνομά σου, ὁ Θεὸς Ἰσραήλ. Ἕνεκεν τοῦ παιδός μου Ἰακώβ, καὶ Ἰσραὴλ τοῦ ἐκλεκτοῦ μου, ἐγὼ καλέσω σε τῷ ὀνόματί σου, καὶ προσδέξομαί σε· σὺ δὲ οὐκ ἔγνως με.»

Τούς τε εἴσω τούτων ταμιευομένους θησαυρούς, ἀφανεῖς καὶ ἀοράτους τοῖς προτέροις βασιλεῦσι γενομένους, ἀναπετάσω σοι ὡς ἂν αὐτοῖς ἔργοις μάθοις ὅστις ποτέ εἰμι ὁ πρὸ τοσούτων ἐτῶν ὀνομαστὶ τὴν σὴν προσηγορίαν ταῖς προφητικαῖς μου Γραφαῖς, ὥσπερ ἐν στήλαις αἰωνίοις, ἐγχαράξας. Εἰμὶ δὲ ὁ Θεὸς Ἰσραήλ, ὃ προσήκει καὶ σὲ μὴ ἀγνοεῖν, ὦ Κῦρε· πάντα γὰρ τὰ προλεχθέντα χαριοῦμαί σοι οὐ διά τι ἕτερον, ἀλλ' ἕνεκεν τοῦ ἐμοῦ λαοῦ, ὃν ἐμαυτῷ ἐξελεξάμην ἐξ ἁπάντων τῶν ἐθνῶν διὰ τὴν πρὸς τοὺς πατέρας αὐτῶν τιμήν.

Στίχ. ε'-ζ'. «Ὅτι ἐγὼ Κύριος ὁ Θεός, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ Θεός. Ἐνίσχυσά σε, καὶ οὐκ ᾔδεις με· ἵνα γνῶσιν οἱ ἀπ' ἀνατολῶν ἡλίου καὶ οἱ ἀπὸ δυσμῶν, ὅτι οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ. Ἐγὼ Κύριος ὁ Θεός, καὶ οὐκ ἔστιν ἔτι. Ἐγὼ ὁ κατασκευάσας φῶς, καὶ ποιήσας σκότος, ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά. Ἐγὼ Κύριος ὁ Θεός, ὁ ποιῶν πάντα ταῦτα.»

Ἐξ αὐτῶν γὰρ τούτων μαθήσονται τῶν ἔργων· ὅτε μὲν γὰρ λυπηρὰ χρῆν ἐπαγαγεῖν τῷ ἐμῷ λαῷ ἐπιστροφῇ καὶ παιδείᾳ, τοῖς πολεμίοις αὐτὸν ἐξέδωκα, ὥσπερ σκότῳ καὶ ὀργῇ παραδοὺς αὐτὸν τῶν ἀσεβημάτων χάριν· ὅτε δέ, φησί, λοιπὸν ἐπιστρέψαντα καὶ ὠφελημένον προσήκει ἀναλαβεῖν, ἀκόλουθον ἂν εἴη φῶς εἰρήνης καὶ πάντων ἀγαθῶν ἀνατέλλειν ἐπ' αὐτόν. Ἐξ ἐμοῦ γὰρ τὸ φῶς χορηγεῖται καὶ τὰ τῆς εἰρήνης πάντα· κρίσει δὲ τῇ ἐμῇ καὶ τὰ τῆς ὀργῆς ἐπάγεται. Διόπερ δόγμα παρ' ἐμοῦ τοῦτο μάνθανε· ὡς ἄρα ἐγὼ αὐτὸς καὶ φωτός εἰμι δημιουργός, καὶ εἰρήνης χορηγός, ὁμοίως δὲ καὶ σκότους καὶ τῶν νομιζομένων λυπηρῶν· ἅπερ κακὰ τοῖς πολλοῖς εἶναι νενόμισται,

ὧν ποιητὴς ἂν λεχθείην, κρίσει δικαίᾳ τὰ κατάλληλα τοῖς ἀξίοις ἐπάγων. Εἰ τοίνυν ἐγὼ Θεός, καὶ οὐκ ἔστι πλὴν ἐμοῦ ἕτερος, ὁ ποιῶν ταῦτα πάντα, κἂν ἐναντία εἶναι δοκῇ, οὐκ ὄντα τῇ φύσει ἐναντία. Ἐπεὶ καὶ τὰ νομιζόμενα ὑπ' ἐμοῦ ἐπάγεσθαι κατὰ τὰ μέγιστα συμβάλλοιντ' ἂν πρὸς ὠφέλειαν καὶ σωτηρίαν τῶν δι' αὐτῶν σωφρονιζομένων.

Στίχ. η'. «Εὐφρανθήτω ὁ οὐρανὸς ἄνωθεν, καὶ αἱ νεφέλαι ῥανάτωσαν δικαιοσύνην· ἀνατειλάτω ἡ γῆ, καὶ βλαστησάτω ἔλεος, καὶ δικαιοσύνην ἀνατειλάτω ἅμα. Ἐγώ εἰμι Κύριος ὁ κτίσας σε.»

Ὥσπερ γὰρ ἦν καιρός ποτε, ὅτε ταῖς νεφέλαις ἐνετειλάμην «τοῦ μὴ βρέξαι εἰς τὸν ἀμπελῶνα ὑετόν», οὕτω νῦν κατὰ καιρὸν ταῖς ἐμαῖς νεφέλαις λογικαῖς οὔσαις προστάσσω μὴ αἰσθητὸν ὕδωρ, ἀλλὰ τὴν δικαιοσύνην ἄνωθεν ἐξ ὕψους ἐπιρραίνειν τοῖς τὴν γῆν οἰκοῦσι.

Στίχ. θ', ι'. «Ποῖον βέλτιον κατεσκεύασα ὡς πηλὸν κεραμέως; Μὴ ὁ ἀροτριῶν ἀροτριάσει τὴν γῆν ὅλην τὴν ἡμέραν; Μὴ ἐρεῖ ὁ πηλὸς τῷ κεραμεῖ, Τί ποιεῖς, ὅτι οὐκ ἐργάζῃ, οὐδὲ ἔχεις χεῖρας; Μὴ ἀποκριθήσεται τὸ πλάσμα πρὸς τὸν πλάσαντα αὐτό; Ὁ λέγων τῷ πατρί, Τί γεννήσεις; καὶ τῇ μητρί, Τί ὠδίνεις;»

Ὡς γὰρ πρὸς τοὺς ἀντιλέγοντας τῇ καθόλου προνοίᾳ τε καὶ διοικήσει φησίν· Οὐαὶ ὁ ἀντιλέγων τῷ πλάσαντι αὐτόν. Ὅτε μὲν γὰρ παιδείας, καὶ ἐπιστροφῆς χρεία ἦν, καὶ συνέτριψα τὴν Ἱερουσαλὴμ ὡς ὄστρακον, καὶ τὸν ναὸν ἐχθροῖς καὶ πολεμίοις παρέδωκα· ὅτε δὲ πάλιν χρὴ μετὰ τὴν αὐτῶν αὐτάρκη παιδείαν, τὸ τῆς φιλανθρωπίας ἐνδείξασθαι, τότε βελτίονα τοῦ προτέρου κατεσκεύασα τὸν νεὼν καὶ τὴν πόλιν, ὡς πηλὸν κεραμέως μεταβαλὼν καὶ ἀνεανεωσάμενος τὰ πάλαι συντετριμμένα.

Στίχ. ια'. «Ὅτι οὕτω λέγει Κύριος ὁ Θεός, ὁ Ἅγιος Ἰσραήλ, ὁ ποιήσας τὰ ἐπερχόμενα· Ἐρωτήσατέ με περὶ τῶν υἱῶν μου, καὶ περὶ τῶν ἔργων τῶν χειρῶν μου ἐντείλασθέ μοι.»

Παιδευέσθω τοιγαροῦν πᾶς ἄνθρωπος ὁ ἀπὸ γῆς ληφθεὶς καὶ σῶμα γεῶδες περικείμενος, πηλοῦ τε μηδὲν διαφέρων παραθέσει τοῦ κτίσαντος αὐτόν, μὴ τολμᾶν ταῖς τοῦ Θεοῦ διοικήσεσιν ἀντιλέγειν, μηδὲ καταμέμφεσθαι τῆς προνοίας τοὺς λόγους. Πολλοὶ γάρ εἰσιν οἱ φιλεγκλήμονες αἰτιᾶσθαι εἰωθότες, Καὶ τί γὰρ ἀναγκαῖον ἦν τὴν ἀρχὴν εἰς τὸν βίον παρελθεῖν; λέγοντες· Διὰ τί δὲ ταῦτα οὑτωσὶ γίνεται; Τί δὲ τῶν τοιούτων ἦν χρεία; ἔδει γὰρ οὕτω γεγενῆσθαι. Ἀλλὰ τούτοις πρόκειται τὸ «Οὐαί. Ἐρωτήσατέ με περὶ τῶν υἱῶν μου, καὶ περὶ τῶν ἔργων τῶν χειρῶν μου ἐντείλασθέ μοι·» τῆς μὲν νοερᾶς καὶ λογικῆς οὐσίας διὰ τῶν υἱῶν δηλουμένης· τῶν δὲ τοῦ κόσμου μερῶν διὰ τῶν ἔργων τῶν χειρῶν αὐτοῦ παριστα μένων.

Στίχ. ιβ'. «Ἐγὼ ἐποίησα γῆν καὶ ἄνθρωπον ἐπ' αὐτῆς· ἐγὼ τῇ χειρί μου ἐστερέωσα τὸν οὐρανόν, ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετειλάμην.»

Τίνα οὖν ἔχοι ἐνταῦθα μέμψιν; Ποῖον δὲ οὐχ ὑπεραίρει κάλλος,

ἢ ποῖον οὐ καλύπτει μέγεθος; Τί δὲ οὐχὶ συμβαλεῖται ταῦτα πρός γε τὴν τοῦ παρόντος κόσμησιν καὶ πρὸς τὸν ἐν ἀνθρώποις βιωφελῆ βίον; Γῆν μὲν γὰρ ἐποίησα οὐκ ἔρημον, οὐδὲ ἄχρηστον στοιχεῖον· οἰκητήριον δὲ ἀνθρώπων. Διὸ καὶ τὰ λοιπὰ ζῷά τε καὶ φυτὰ εἰς χρῆσιν καὶ ὑπηρεσίαν ἀνθρώποις τε παρεσκεύασα· οὐρανόν τε ἐστερέωσα, κοσμήσας ἄστροις· οἷς ἐνετειλάμην εὔτακτον καὶ ἐναρμόνιον ποιεῖσθαι τὴν κίνησιν· ὡς τοτὲ μὲν φαίνειν τοῖς ἐπὶ τῆς γῆς, τοτὲ δὲ εἶναι εἰς σημεῖα, καὶ εἰς καιρούς, καὶ εἰς ἡμέρας, καὶ μῆνας, καὶ ἐνιαυτούς.

Στίχ. ιγ'. «Ἐγὼ ἤγειρα αὐτὸν μετὰ δικαιοσύνης βασιλέα, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ εὐθεῖαι. Οὗτος οἰκοδομήσει τὴν πόλιν μου, καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου ἐπιστρέψει, οὐ μετὰ λύτρων, οὐδὲ μετὰ δώρων, εἶπε Κύριος Σαβαώθ.»

Τίνα δὲ τοῦτον ἢ ποῖον; Ὁ μέν τις ἐρεῖ τὸ τῶν Περσῶν βασιλέα Κῦρον, οὗ καὶ διὰ τῶν ἔμπροσθεν ἐμνημόνευσεν ὁ λόγος· ὡς περὶ αὐτοῦ λέγεσθαι τό, «Πᾶσαι αἱ ὁδοὶ αὐτοῦ εὐθεῖαι», ἢ κατὰ τὸν Σύμμαχον, «Καὶ πάσας τὰς ὁδοὺς αὐτοῦ εὐθυνῶ. Καὶ οὗτος οἰκοδομήσει τὴν πόλιν μου.» Δυνάμει γὰρ αὐτὸς ἦν ὁ τὴν πόλιν οἰκοδομήσας τὴν Ἱερουσαλήμ, διὰ τοῦ συγχωρεῖσθαι τοῖς ἐθέλουσιν ἀνιέναι ἀπὸ τῆς Βαβυλῶνος, καὶ ἀνεγείρειν τὸν τόπον. Τοῦτο ἐπλήρου κατὰ τὴν ἱστορίαν ὁ δηλωθεὶς Περσῶν βασιλεύς. Ἄλλος δ' ἂν εἴποι ταῦτα λέγεσθαι περὶ τοῦ Ζοροβάβελ, ὅς, ἀπὸ τοῦ βασιλικοῦ γένους ὁρμώμενος, ἦν ἐκ φυλῆς Ἰούδα καὶ τῆς τοῦ Δαυῒδ διαδοχῆς. Ἀλλὰ καὶ τὴν τῶν ψυχῶν αἰχμαλωσίαν μόνος ὁ Χριστὸς ἀπέστρεψε, τῆς δαιμονικῆς πλάνης ἐλευθερώσας καὶ δουλείας· καὶ τοῦτο ἔπραξεν οὐ μετὰ λύτρων, οὐδὲ μετὰ δώρων· ὃ δὴ διδάσκει ὁ Ἀπόστολος εἰπών· «Χάριτί ἐστε σεσωσμένοι.»

Στίχ. ιδ'. «Οὕτω λέγει Κύριος Σαβαώθ· Ἐκοπίασεν Αἴγυπτος, καὶ ἐμπορία Αἰθιόπων, καὶ οἱ Σαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται, καὶ σοὶ ἔσονται δοῦλοι, καὶ ὀπίσω σου ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις· καὶ διαβήσονται πρὸς σέ, καὶ προσκυνήσουσί σοι· καὶ ἐν σοὶ προσεύξονται· ὅτι ἐν σοὶ ὁ Θεός ἐστι, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ.»

Αἴγυπτον δέ φησι κεκοπιακέναι διὰ τῆς εἰδωλολάτρου πλάνης, ὁπηνίκα τῷ διαβόλῳ καὶ τοῖς περὶ αὐτὸν δαίμοσι πονηροῖς καταδεδούλωτο· πλὴν ἀλλ' ὅμως διαναπαύσεσθαι τοῦ κόπου τὴν Αἴγυπτον ἐπαγγέλλεται· δι' αὐτῆς πᾶν τὸ τῆς εἰδωλολατρείας γένος αἰνιττόμενος. «Καὶ Σαβαεὶμ ἄνδρες ὑψηλοί.» Δι' ὧν σημαίνειν ἔοικε βάρβαρά τινα καὶ ἀνήμερα, καὶ ἐν τοῖς ἐξωτάτω τῆς γῆς οἰκοῦντα ἔθνη· ἃ δὴ δουλεύσειν τῷ Χριστῷ θεσπίζει· διὸ ἐπιλέγει·

Στίχ. ιδ', ιε', ις'. «Καὶ ὀπίσω σου ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις. Σὺ γὰρ εἶ Θεός, καὶ οὐκ ᾔδειμεν, ὁ Θεὸς τοῦ Ἰσραὴλ σωτήρ. Αἰσχυνθήσονται καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοι αὐτῷ, καὶ πορεύσονται ἐν αἰσχύνῃ. Ἐγκαινίζεσθε πρός μέ, νῆσοι.»

Ὅπως δὲ κατῃσχύνθησαν καὶ ἐνετράπησαν πάντες οἱ κατὰ καιροὺς ἀντικείμενοι, αὐτοί τε οἱ ἐκ περιτομῆς καὶ τῶν ἐθνῶν πάντες οἱ τοὺς κατὰ τῆς Ἐκκλησίας αὐτοῦ διωγμοὺς ἐξάψαντες, παντὸς λόγου μᾶλλον ἡ διὰ τῶν ἔργων μαρτυρία παρίστησιν.

Στίχ. ιζ'. «Ἰσραὴλ σῴζεται ὑπὸ Κυρίου σωτηρίαν αἰώνιον· οὐκ αἰσχυνθήσονται, οὐδὲ μὴ ἐντραπῶσιν ἕως τοῦ αἰῶνος ἔτι.»

Καὶ ταῦτα δὲ ἀκολούθως συνῆπται περὶ τῶν ἀποστόλων καὶ μαθητῶν καὶ εὐαγγελιστῶν τοῦ Σωτῆρος ἡμῶν· αὐτοὶ γὰρ ἦσαν ὁ σῳζόμενος Ἰσραήλ· καὶ δι' αὐτῶν ἀνεκαινίσθησαν αἱ πολλάκις διὰ τῶν ἔμπροσθεν δηλωθεῖσαι νῆσοι. Αὗται δὲ ἦσαν αἱ ἐκκλησίαι τοῦ Θεοῦ ὡς ἐπὶ θαλάσσης κυκλούμεναι ὑπὸ τῆς τοῦ βίου κακίας.

Στίχ. ιη'. «Οὕτως λέγει Κύριος ὁ ποιήσας τὸν οὐρανόν· οὗτος ὁ Θεὸς ὁ καταδείξας τὴν γῆν, καὶ ποιήσας αὐτήν, αὐτὸς διώρισεν αὐτήν. Οὐκ εἰς κενὸν ἐποίησεν αὐτήν, ἀλλὰ κατοικεῖσθαι ἔπλασεν αὐτήν. Ἐγώ εἰμι Κύριος, καὶ οὐκ ἔστιν ἔτι.»

Διδάσκει διὰ τούτων ὁ λόγος μὴ ἀγνοεῖν, ὡς μεγάλως τετίμηται παρὰ τῷ πάντων δεσπότῃ Θεῷ τὸ τῶν ἀνθρώπων γένος· διὸ καὶ τῆς κλήσεως αὐτὸς τῆς σωτηρίου κατηξίωσε, καὶ πάντων τῶν διὰ τῆς παρούσης προφητείας ἐπηγγελμένων. Ὥσπερ γὰρ τὸν οὐρανὸν εἰς διατριβὴν ἀγγέλων καὶ πνευμάτων ἁγίων ἀναγκαίως ὑπεστησάμην, καὶ εἰς κόσμον τοῦ παντός, τὸν αὐτὸν τρόπον καὶ τὸ τῆς γῆς στοιχεῖον οὐκ εἰς ἀργὸν οὐδ' εἰς ἄχρηστον κατεσκεύασα· οἰκητήριον δὲ αὐτὸ καὶ διατριβὴν τῶν ἐν αὐτῷ λογικῶς πολιτεύεσθαι μελλόντων εἰργασάμην, οἳ καὶ Θεὸν εἰδέναι καὶ θεοσεβῶς βιοῦν οἷοί τε ἦσαν, ἅτε κατ' εἰκόνα Θεοῦ πεποιημένοι. Ὥσπερ δ' οὖν ἐν οὐρανῷ ἄγγελοι λειτουργοὶ Θεοῦ, οὕτω καὶ ἐπὶ γῆς ἄνδρες τῷ Θεῷ μεμελημένοι.

Στίχ. κ'. «Οὐκ ἐν κρυφῇ λελάληκα, οὐδὲ ἐν τόπῳ γῆς σκοτεινῷ. Οὐκ εἶπα τῷ σπέρματι Ἰακώβ· Μάταιον ζητήσατε. Ἐγώ εἰμι, ἐγώ εἰμι Κύριος, ὁ λαλῶν δικαιοσύνην, καὶ ἀναγγέλλων ἀλήθειαν.»

Ἐπεὶ γὰρ πᾶσα ἡ γῆ καὶ οἱ ἐν αὐτῇ πάντες ἄνθρωποι ἐμοί εἰσι, διὰ τοῦτο, φησί, τοὺς ἐμαυτοῦ λόγους οὐκ εἴασα κρύπτεσθαι, οὐδ' ὥσπερ ἐν σκότῳ λανθάνοντας· εἰς φανερὸν δὲ ἀγαγών, πᾶσιν ἥπλωσα, ὡς πᾶσιν ἔθνεσι τὸ σωτήριον κηρυχθῆναι Εὐαγγέλιον. Ἄντικρυ δὲ ταῦτα μόνῳ τῷ εὐαγγελικῷ ἁρμόζοι ἂν κηρύγματι. Τὰ γὰρ Μωϋσέως λόγια εἴ τις ἐξετάζειν ἐθέλοι, εὕροι ἂν αὐτὰ κρυφῇ λελαλημένα· γλώττῃ μὲν Ἑβραΐδι, χαρακτῆρσι δὲ ἰδιάζουσι καὶ μὴ γνωριζομένοις παρὰ πᾶσιν. Ἀλλὰ καὶ εἴ τις ἐννοήσοιεν ἐν ποίᾳ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ ὁ Μωϋσέως ἐξεδόθη νόμος, εὕροι ἂν αὐτὸν ἐν τόπῳ γῆς σκοτεινῷ λελαλημένον. Οὐ μὴν ὁμοίως καὶ τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ. «Εἰς πᾶσαν» γοῦν «τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν ἀποστόλων αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.[1]» Παντοίᾳ

1. Ψαλμ. 18, 5.

δὲ καὶ γλώττῃ, πάσῃ φωνῇ, χαρακτῆρσί τε τοῖς καθ' ἕκαστον ἔθνος παραδέδοται εἰς ἐξάκουστον πᾶσι τοῖς ἔθνεσιν.

Στίχ. κα', κβ'. «Συνάχθητε καὶ ἥκετε· βουλεύσασθε ἅμα οἱ σωζόμενοι ἀπὸ τῶν ἐθνῶν. Οὐκ ἔγνωσαν οἱ αἴροντες τὸ ξύλον γλύμμα αὐτῶν, καὶ οἱ προσευχόμενοι πρὸς θεοὺς οἳ οὐ σῴζουσιν. Εἰ ἀναγγελοῦσιν, ἐγγισάτωσαν, ἵνα γνῶσιν ἅμα.»

Πρώτους μὲν γάρ, φησίν, ἐκείνους ἀνεκαλεσάμην διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος, καὶ πρώτοις αὐτοῖς τὴν βασιλείαν τῶν οὐρανῶν ἐπηγγειλάμην, ὥσπερ μισθοὺς τῆς εἰς ἐμὲ πίστεως αὐτοῖς ὑπισχνούμενον, πρὸς τὸ μὴ νομίσαι αὐτοὺς ἐπὶ ματαίῳ θεοσεβεῖν. Διὸ καὶ ζωὴν αἰώνιον ἐπηγγειλάμην, καὶ ἀγαθὰ «ἃ ὀφθαλμὸς οὐκ εἶδε [1]», καὶ τὰ ἑξῆς. Ἐπεὶ δὲ Θεός εἰμι λαλῶν δικαιοσύνην καὶ ἀναγγέλλων ἀλήθειαν, κατὰ τὸν τῆς δικαιοσύνης λόγον, μετ' ἐκείνους πάντας ἀνθρώπους πρὸς ἐμαυτὸν ἀνεκαλεσάμην· καὶ ἐντεῦθεν ἤδη τοῖς πᾶσι κηρύττω λέγων· «Συνάχθητε καὶ ἥκετε, βουλεύσασθε ἅμα, οἱ σῳζόμενοι ἀπὸ τῶν ἐθνῶν.» Ὁρᾷς ὅπως τοὺς ἀπὸ τῶν ἐθνῶν βουλομένους σῴζεσθαι προσκαλεῖται. «Τίς ἀκουστὰ ἐποίησε ταῦτα ἀπ' ἀρχῆς;» γνώσονται γὰρ ἐγγὺς γενόμενοι τὸν ἀληθινὸν Θεόν, οὗ μέγα δεῖγμα τῆς θεότητος τοῦ προφητεῦσαι ταῦτα διὰ τῶν ἐμῶν προφητῶν, καὶ τὸ ἀπ' ἀρχῆς ἀπαγγεῖλαι ταῦτα εἰς τὰς ἀκοὰς ἡμῶν. «Τότε ἀνηγγέλη ὑμῖν, Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ.» Παγίδας ἱστάντες τοῖς ἐπὶ τῆς γῆς οἱ ἀλιτήριοι δαίμονες, τὰ τῆς ἑαυτῶν ἀπάτης ἐργαστήρια συγκροτεῖν ἐσπούδαζον, ὑποκρινόμενοι καὶ τὸ εἰδέναι τὰ μέλλοντα καὶ ἀπαγγέλλειν αὐτὰ δύνασθαι τοῖς ἐθέλουσι μαθεῖν, μέχρι καιροῦ διατετελέκασι συναρπάζοντες. Χρηστήρια γοῦν κατά τε πόλεις καὶ χώρας, ψευδομαντεῖαί τε ἦσαν πανταχοῦ καὶ κληδονισμοί, καὶ νεκυομάντεις, καὶ οἱ φωνοῦντες ἐκ γῆς, ἐγγαστρίμυθοί τε καὶ ἀλφιτομάντεις, καὶ ἁπαξαπλῶς ψευστῶν καὶ φενάκων ἡ ὑφ' ἡλίῳ πεπλήρωτο. «Δίκαιος καὶ σωτὴρ οὐκ ἔστι παρὲξ ἐμοῦ.» Ἐθέσπισα δὲ καὶ προεῖπον, ἐπεὶ δίκαιός εἰμι καὶ Σωτήρ, διόπερ κατὰ τὸν τοῦ δικαίου λόγον πάντα τὰ ἔθνη καλῶ εἰς τὴν παρ' ἐμοὶ σωτηρίαν. Ὁρᾷς ὅπως καθολικὸν τὸ κήρυγμα πᾶσι τοῖς ἔθνεσι καταγγέλλει; Ἐν τούτοις εὖ μάλα τῆς διὰ Χριστοῦ χάριτος κατίδοι τις ἂν τὸ μέγεθος, εἰς πάντας διῆκον τοὺς ὄντας ἐπὶ τῆς γῆς· σεσαγήνευται γὰρ διὰ πίστεως τῆς εἰς αὐτὸν εἰς σωτηρίαν καὶ ζωὴν ἡ σύμπασα γῆ.

Στίχ. κγ'. «Κατ' ἐμαυτοῦ ὀμνύω, Εἰ μὴ ἐξελεύσεται ἐκ τοῦ στόματός μου δικαιοσύνη· οἱ λόγοι μου οὐκ ἀποστραφήσονται.»

Ποῖοι δὲ λόγοι, ἢ δι' ὧν ἔλεγεν· «Ἐπιστράφητε πρός με, καὶ σωθήσεσθε οἱ ἀπ' ἐσχάτου τῆς γῆς· ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ ὀμεῖται πᾶσα γλῶσσα τὸν Θεόν; » Οὐχὶ τὸ Ἰουδαίων μόνον, ἀλλὰ καὶ τῶν λοιπῶν ἐθνῶν, οὗ μακαριώτερον οὐδὲν ἂν γένοιτο. Καὶ ταύτης

1. Α' Κορ. 2, 9.

δὲ τῆς προφητείας τὸ ἀποτέλεσμα ἐπληροῦτο τῇ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίᾳ· μεθ' ἣν ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ τῇ καθ' ὅλης τῆς οἰκουμένης πάντες οἱ συγκροτούμενοι λαοὶ γόνυ κλίνειν τῷ Θεῷ ἐν ταῖς προσευχαῖς ἐδιδάχθησαν, καίτοι Ἰουδαίων τοῦτο ποιεῖν οὐκ εἰδότων. «Καὶ ὀμεῖται.» Οἱ γὰρ ἐμὲ τὸν Θεὸν ἐπιγνόντες ἐν πᾶσι τοῖς ἔθνεσι διὰ παντοίας γλώσσης καὶ ὁμιλίας, βαρβάρου τε καὶ Ἑλληνικῆς ἐν τοῖς ὅρκοις ἐμὲ μάρτυρα παραλήψονται, βεβαιοῦντα τὰς ἑαυτῶν πίστεις.

Στίχ. κδ'. «Λέγων· Δικαιοσύνη καὶ δόξα πρὸς αὐτὸν ἥξει, καὶ αἰσχυνθήσονται πάντες οἱ διορίζοντες αὐτούς.»

Πᾶσαι αἱ ἐν ἀνθρώποις ἀρεταὶ τέλος αὐτὸ ἕξουσι, καὶ πᾶσα ἰσχὺς ἀνθρώπων τῶν ὑπὲρ θεοσεβείας ἀγωνισαμένων πρὸς αὐτὸν ἐλεύσεται, καὶ τὸν τῶν καμάτων καρπὸν τήν τε ἀμοιβὴν τῆς ἀρετῆς λήψονται.

Στίχ. κε' «Ἀπὸ Κυρίου δικαιωθήσονται, καὶ ἐν τῷ Θεῷ ἐνδοξασθήσεται πᾶν τὸ σπέρμα τῶν υἱῶν Ἰσραήλ.»

Καὶ θέα τὴν ἀκρίβειαν τοῦ λόγου· οὐ γὰρ «τὸν Ἰσραὴλ» εἶπεν, οὐδὲ «τὸ σπέρμα Ἰσραήλ», ἀλλὰ τὸ σπέρμα τῶν υἱῶν Ἰσραήλ. Υἱοὶ δὲ Ἰσραὴλ ἐτύγχανον οἱ πρῶτοι κήρυκες τοῦ σωτηρίου Εὐαγγελίου, ὧν τὸ σπέρμα καὶ τὴν διαδοχὴν δικαιωθήσεσθαι καὶ δοξασθήσεσθαι εἴρηται.

ΚΕΦΑΛΑΙΟΝ ΜϚ'.

Στίχ. α'. «Ἔπεσε Βήλ, συνετρίβη Δαγών. Ἐγένετο τὰ γλυπτὰ αὐτῶν εἰς θηρία καὶ κτήνη.»

Βὴλ εἴδωλον ἦν, ὅπερ Ἕλληνες οὕτω καλοῦσι· ἑρμηνεύοντες αὐτὸν εἶναι τὸν παρ' αὐτοῖς καλούμενον Κρόνον, περὶ ὃν οὕτως ἦσαν οἱ παλαιοὶ ἐπτοημένοι, ὡς κατασφάττειν αὐτοὺς τὰ ἑαυτῶν φίλτατα, καὶ ἄλλας μυρίας ἀνθρωποθυσίας αὐτῷ κατὰ πάντα τόπον προσφέρειν. Δαγὼν δὲ καὶ αὐτὸ ξόανον ἦν τῶν ἀλλοφύλων τῶν τὴν Ἀσκάλωνα καὶ τὴν Γάζαν οἰκούντων· καὶ δὴ μερικῶς τούτων μνημονεύσας ὁ λόγος, ἑξῆς καθολικώτερον περὶ πάντων τῶν ἁπανταχοῦ θεοποιουμένων ἐπιφέρει· «Ἐγένετο τὰ γλυπτὰ αὐτῶν εἰς θηρία καὶ κτήνη.» Καὶ ταῦτα δέ ἐστι καθ' ὅλης συνιδεῖν τῆς Αἰγύπτου, ἔνθα πάντων θηρίων καὶ κτηνῶν γένος σέβειν ὡς θεοὺς εἰώθασι.

Στίχ. β'. «Αἴρετε αὐτὰ καταδεδεμένα ὡς φορτίον κοπιῶντι, ἐκλελυμένῳ, καὶ πεινῶντι, οὐκ ἰσχύοντι ἅμα, οἳ οὐ δυνήσονται σωθῆναι ἀπὸ πολέμου. Αὐτοὶ δὲ αἰχμάλωτοι ἤχθησαν.»

Ταῦτα δὲ αὐτοῖς ἔργοις καθ' ἡμᾶς ἐπληροῦτο πρὸς λέξιν, καὶ κατὰ διάνοιαν δὲ βαρὺ καὶ δυσβάστακτον, καὶ διαβολικὸν φορτίον ταῖς τῶν ἀνθρώπων ψυχαῖς τῆς εἰδωλολάτρου πλάνης ἐπέκειτο πάλαι.

Στίχ. γ'. «Ἀκούετέ μου, οἶκος Ἰακώβ, καὶ πᾶν τὸ κατάλοιπον τοῦ Ἰσραήλ, οἱ αἰρόμενοι ἐκ κοιλίας, καὶ παιδευόμενοι ἐκ παιδίου ἕως γήρως.»

Ἀλλ᾽ οὔτε Ἰακὼβ αὐτοὺς καλεῖ, οὔτε Ἰσραὴλ ὀνομάζει, οἶκον δὲ αὐτὸν μόνον τοῦ Ἰακὼβ διὰ τῆς κατὰ σάρκα οἰκειότητος, καὶ κατάλοιπον, ὡσανεὶ περίττευμα καὶ τρύγα τοῦ Ἰσραήλ.

Στίχ. δ'-ζ'. «Ἐγώ εἰμι, καὶ ἕως ἂν καταγηράσητε ἐγώ εἰμι, ἐγὼ ἀνέχομαι ὑμῶν, ἐγὼ ἐποίησα, καὶ ἐγὼ ἀνήσω, ἐγὼ ἀναλήψομαι, καὶ σώσω ὑμᾶς. Τίνι με ὡμοιώσατε; Ἴδετε, τεχνάσασθε, οἱ πλανώμενοι, οἱ συμβαλλόμενοι χρυσίον ἐκ μαρσυπίου, καὶ ἀργύριον ἐν ζυγῷ· στήσουσιν ἐν σταθμῷ καὶ μισθωσάμενοι χρυσοχόον ἐποίησαν χειροποίητα, καὶ κύψαντες προσκυνοῦσιν αὐτοῖς. Αἴρουσιν αὐτὸ ἐπὶ τοῦ ὤμου, καὶ πορεύονται. Ἐὰν δὲ θῶσιν αὐτὸ ἐπὶ τοῦ τόπου αὐτοῦ, μένει, οὐ μὴ κινηθῇ· καὶ ὃς ἐὰν βοήσῃ πρὸς αὐτόν, οὐ μὴ εἰσακούσῃ· ἀπὸ κακῶν οὐ μὴ σώσῃ αὐτόν.»

Ὑμεῖς δὲ λογίσασθε εἰς οἵαν ἐκπεπτώκατε θεομαχίαν καὶ δυσσέβειαν, τολμήσαντες ὁμοιῶσαί με τοῖς μὴ οὖσι θεοῖς, καὶ οὐδενὶ λόγῳ θέσθαι τὴν ἐμὴν θεότητα· ἰσότιμον δέ με ἔσεσθαι τῇ ἀψύχῳ ὕλῃ ἀνεπλάσασθε· χρυσίον καὶ ἀργύριον ἐκ συμβολῆς συναγαγόντες, καὶ διὰ χειρῶν ἀνθρωπίνων ἀνειδωλοποιήσαντες· οἷς καὶ προσκυνεῖν οὐκ αἰσχύνεσθε, μήτε βαδίζειν, μήτε κινεῖσθαι δυνατοῖς οὖσιν, ἀλλ᾽ ἐπ᾽ ὤμων φερομένοις, καὶ ὑφ᾽ ἑτέρων ὠθουμένοις, καὶ μήτ᾽ ἀκούειν, μήτ᾽ αὐτοὺς σῴζειν δυναμένοις. Τούτοις ὅμοιον κἀμὲ εἶναι ἐλογίσασθε, ὡς τὰς ψυχὰς πεπηρωμένοι.

Στίχ. η'-ι'. «Μνήσθητε ταῦτα, καὶ στενάξατε. Μετανοήσατε, οἱ πεπλανημένοι· ἐπιστρέψατε τῇ καρδίᾳ, καὶ μνήσθητε τὰ πρότερα ἀπὸ τοῦ αἰῶνος· ὅτι ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ· ἀναγγέλλων πρότερον τὰ ἔσχατα πρὶν γενέσθαι· καὶ ἅμα συνετελέσθη.»

Τοῦτο δὲ μέγιστον ἀνθρώποις μαρτύριον διὰ τῶν ἐμαυτοῦ προφητῶν παρεστησάμην, τὰ μέλλοντα θεσπίσας, καὶ τὰ μακροῖς ὕστερον χρόνοις γενησόμενα εἰπών· ἃ καὶ δι᾽ ἔργων ἐξετέλεσα. «Καὶ εἶπα· Πᾶσα ἡ βουλή μου στήσεται, καὶ πάντα ὅσα βεβούλευμαι ποιήσω.» Καὶ αὖθις ἐπιτελέσω τοῖς ἐπιοῦσι χρόνοις. Καὶ πάντα ὅσα βεβούλευμαι καὶ ὥρισα, ἀρραγότως γενήσεται, ἐμοῦ τέλος ἐπιθήσαντος τοῖς ἐμαυτοῦ λόγοις· ὅτε καὶ βούλομαι, διὰ τοῦ καλεῖν τοὺς ἐμαυτοῦ ὑπηρέτας δι᾽ ἀέρος φερομένους ὀρνέων καὶ πετεινῶν δίκην· λέγω δὴ τὰς ἀγγελικὰς δυνάμεις καὶ τὰ λειτουργικὰ πνεύματα τὰ εἰς διακονίαν ἀποστελλόμενα.

Στίχ. ια'-ιγ'. «Καλῶν ἀπὸ ἀνατολῶν πετεινόν, καὶ ἀπὸ γῆς πόρρωθεν· περὶ ὧν βεβούλευμαι ἐλάλησα· καὶ ἤγαγον, ἔκτισα καὶ ἐποίησα. Ἤγαγον αὐτόν, καὶ εὐόδωσα τὴν ὁδὸν αὐτοῦ. Ἀκούσατέ μου, οἱ ἀπολωλεκότες τὴν καρδίαν, οἱ μακρὰν ἀπὸ τῆς δικαιοσύνης. Ἤγγισα τὴν δικαιοσύνην μου, καὶ τὴν σωτηρίαν τὴν παρ᾽ ἐμοῦ οὐ βραδυνῶ. Δέδωκα ἐν Σιὼν σωτηρίαν τῷ Ἰσραὴλ εἰς δόξασμα.»

ΚΕΦΑΛΑΙΟΝ ΜΖ΄.

Στίχ. α΄. «Κατάβηθι, κάθισον ἐπὶ τὴν γῆν, παρθένος θυγάτηρ Βαβυλῶνος.»

Προσωποποιεῖται δὲ ἐν τούτοις τὴν βασιλείαν αὐτῶν, θυγατέρα Βαβυλῶνος ὀνομάζων αὐτήν· καλεῖ δὲ αὐτὴν καὶ παρθένον, διὰ τὸ ὡραΐζεσθαι καὶ καλλωπίζεσθαι παρθένου δίκην, βούλεσθαί τε φαίνεσθαι νέαν, καὶ κόρην εἶναι νομίζεσθαι. Εἶθ' ὡς ἐν ὕψει καθημένην, διαναστῆναι αὐτῇ προστάττει καὶ καταβῆναι ἀπὸ τοῦ ἑαυτῆς θρόνου, καὶ καθεσθῆναι ἐπὶ τῆς γῆς, καὶ ἀποκρύψαι ἑαυτῆς τὴν ἀσχημοσύνην, ἣν πείσεται ἐκ τῆς ἐπὶ τὸ χεῖρον μεταβολῆς.

Στίχ. β΄, γ΄. «Κάθισον εἰς τὴν γῆν, θύγατερ Χαλδαίων· λάβε μύλον, ἄλεσον ἄλευρον. Ἀποκάλυψαι τὸ κατακάλυμμά σου, ἀνακάλυψαι τὰς πολιάς, ἀνάσυρε τὰς κνήμας, διάβηθι ποταμούς.»

Ἀποθεμένη, φησί, τὴν βασιλικὴν ἐκείνην τρυφήν, θεραπαίνης τρόπον κακοπαθοῦς τινος καὶ μυλωθρίδος παρασκεύασον σεαυτῇ δουλεύειν τοῖς ἑαυτῆς δεσπόταις. Μύλον δηλαδὴ λαβοῦσα, ἐν αὐτῷ ἄλεσον, τὴν σκληρὰν ταύτην, καὶ ἐπίπονον θητείαν, τῆς πάλαι τρυφῆς ἀντικαταλλαξαμένη..

Στίχ. ϛ΄. «Παρωξύνθην ἐπὶ τῷ λαῷ μου, ἐμίανας τὴν κληρονομίαν μου. Ἐγὼ ἔδωκα αὐτοὺς εἰς τὴν χεῖρά σου· σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος.»

Ταῦτα γάρ σου ἦν τὰ μαθήματα, ἃ ἐμάνθανες ἐξ ἀρχῆς χρόνων, καὶ ἐκ νεότητός σου..

ΚΕΦΑΛΑΙΟΝ ΜΗ΄.

Στίχ. α΄, β΄. «Ἀκούσατε ταῦτα, οἶκος Ἰακώβ, οἱ κεκλημένοι ἐπὶ τῷ ὀνόματι Ἰσραήλ, καὶ ἐξ Ἰούδα ἐξελθόντες, οἱ ὀμνύοντες τῷ ὀνόματι Κυρίου Θεοῦ Ἰσραήλ, μιμνησκόμενοι οὐ μετ' ἀληθείας, οὐδὲ μετὰ δικαιοσύνης· καὶ ἀντεχόμενοι τῷ ὀνόματι τῆς πόλεως τῆς ἁγίας, καὶ ἐπὶ τῷ Θεῷ Ἰσραὴλ ἀντιστηριζόμενοι· Κύριος Σαβαὼθ ὄνομα αὐτῷ.»

Τὰ ἐπελευσόμενα τῇ Βαβυλῶνι, τοῖς τε οἰκήτορσι καὶ τοῖς βασιλεῦσι αὐτῆς προαναφωνήσας ὁ λόγος, τὸν τῶν Ἰουδαίων ἀπελέγχει λαὸν διὰ τῶν προκειμένων φάσκων, ὅτι διὰ τὸ παρ' ἐμοὶ δίκαιον ἐπάξω ταῦτα κατὰ τῶν Χαλδαίων· οὐ μὴν ὅτι σὺ βοηθείας ἦσθα ἄξιος. Καὶ ταῦτα προλαβὼν προεῖπον πρὶν γενέσθαι τὰ πράγματα, προγνώσει θεϊκῇ θεσπίσας· ἵν' ἐπειδὰν εἰς πέρας ἀχθῇ, καὶ δι' ἔργων χωρήσῃ τὰ κατὰ τῶν Χαλδαίων προηγορευμένα, μὴ οἷς νομίζεις θεοῖς τὴν αἰτίαν ἀναθείης.

Στίχ. γ΄-ε΄. «Τὰ πρότερα ἔτι ἀνήγγειλα, καὶ ἐκ τοῦ στόματός μου ἐξῆλθε, καὶ ἀκουστὸν ἐγένετο· ἐξάπινα ἐποίησα, καὶ ἐπῆλθε.

Γινώσκω, ὅτι σκληρὸς εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου, καὶ τὸ μέτωπόν σου χαλκοῦν. Καὶ ἀνήγγειλά σοι παλαιά, πρὶν ἐλθεῖν ἐπὶ σέ· ἀκουστόν σοι ἐποίησα, μήποτε εἴπῃς, ὅτι Τὰ γλυπτὰ καὶ τὰ χωνευτὰ ἐνετείλατό μοι.»

Μήποτε τῶν πραγμάτων ἐπελθόντων, ἀπατῶν σαυτόν, τοὺς πεπλανημένως νομιζομένους σοι θεοὺς πεποιημένους αὐτὰ νομίσειας. Πλὴν καὶ τοῦτο τὴν ἐμὴν οὐ λανθάνει πρόγνωσιν, τὸ μηδ' ἐκ τούτων ὠφεληθήσεσθαι τῶν λόγων. Ὅμως δ' οὖν ἐπὶ μὲν τῇ ἑαυτοῦ φιλανθρωπίᾳ, ἔτι καὶ νῦν μαρτύρομαι, καὶ διαστέλλομαί σε τὰ συμβησόμενα τῇ Βαβυλῶνι καὶ τοῖς Χαλδαίοις τοῖς μέλλουσί σε καταπολεμεῖν.

Στίχ. ς'-η'. «Ἠκούσατε πάντα, καὶ ὑμεῖς οὐκ ἔγνωτε. Ἀλλ' ἀκουστά σοι ἐποίησα τὰ καινὰ ἀπὸ τοῦ νῦν, ἃ μέλλει γίνεσθαι· καὶ οὐκ εἶπας. Νῦν γίνεται, καὶ οὐ πάλαι, καὶ οὐ προτέραις ἡμέραις ἤκουσας αὐτά. Μὴ εἴπῃς, Ναὶ γινώσκω αὐτά. Οὔτ' ἔγνως, οὔτ' ἠπίστω, οὔτε ἀπ' ἀρχῆς ἤνοιξά σοι τὰ ὦτα· ἔγνων γάρ, ὅτι ἀθετῶν ἀθετήσεις, καὶ ἄνομος ἔτι ἐκ κοιλίας κληθήσῃ.»

Μὴ γὰρ σαυτὸν ἀπάτα· μὴ λέγε, ὅτι καὶ πρὸ τῆς ἐμῆς προφητείας ἐγίνωσκες αὐτά· πόθεν γάρ σοι παρῆν ταῦτα γινώσκειν; Πλὴν οὐδέν σε ἐκ τούτων ὠφεληθήσεσθαι τῶν λόγων πέπεισμαι.

Στίχ. θ'. «Ἕνεκεν τοῦ ἐμοῦ ὀνόματος δείξω σοι τὸν θυμόν μου, καὶ τὰ ἔνδοξά μου ἐπάξω ἐπὶ σέ, ἵνα μὴ ἐξολοθρεύσω σε.»

Ὅμως γοῦν οὐ διὰ σέ, ἀλλὰ διὰ τὴν ἐμαυτοῦ φιλανθρωπίαν ἐντεῦθεν ἤδη καὶ προεῖπον καὶ ἐπέδειξά σοι τὰ μέλλοντα, καὶ τὸν κατὰ τῶν πολεμίων μέλλοντα ἐπιέναι ὄλεθρον, σπουδάζων διὰ πάσης προφάσεως σωθῆναί σε.

Στίχ. ι', ια'. «Ἰδοὺ πέπρακά σε οὐχ ἕνεκεν ἀργυρίου· ἐξειλάμην δέ σε ἐκ καμίνου πτωχείας· ἕνεκεν ἐμοῦ ποιήσω σοι, ὅτι τὸ ἐμὸν ὄνομα βεβηλοῦται, καὶ τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω.»

Οὐχ ἕνεκεν ἀργυρίου ἐπίπρασκόν σε· ἐπ' ὠφελείᾳ δὲ τῇ σῇ καὶ ταῦτα ἔπραττον, ὡς ἂν τοῦτον σωφρονισθείη τὸν τρόπον· ὅτι μὴ τὴν διὰ λόγων καὶ παραινέσεων ὑπεδέξω παιδείαν. Τοῖς δὲ πολεμίοις οὐχ ἕνεκεν ἀργυρίου ἐπίπρασκόν σε, ἀλλὰ τῶν σῶν ἁμαρτημάτων καὶ ἀσεβημάτων χάριν· ταῖς γὰρ ἁμαρτίαις ὑμῶν ἐπράθητε. Καὶ ὅμως οὐδ' οὕτως ἐάσω ὑμᾶς τοῖς ἐχθροῖς δουλεύειν· ἀλλὰ πάλιν λυτρώσομαι, καὶ ὥσπερ ἀπὸ καμίνου πτωχείας ἐκ τῆς ὑπὸ τοῖς Βαβυλωνίοις κακώσεως αὖθις ἐλευθερώσω.

Στίχ. ιβ', ιγ'. «Ἄκουέ μου, Ἰακώβ, καὶ Ἰσραὴλ ὃν ἐγὼ καλῶ. Ἐγώ εἰμι πρῶτος, καὶ ἐγώ εἰμι εἰς τὸν αἰῶνα, καὶ ἡ χείρ μου ἐθεμελίωσε τὴν γῆν, καὶ ἡ δεξιά μου ἐστερέωσε τὸν οὐρανόν· καλέσω αὐτούς, καὶ στήσονται ἅμα.»

Ἐν τούτοις τοὺς κατορθοῦντας ἀνακαλεῖται, διὰ τῶν ἔμπροσθεν ἑτέρους τοὺς παρ' αὐτοῖς διαβεβλημένους ὀνομάσας· ἀλλ' ἐνταῦθα τοῖς κρείττοσι διαλέγεται, οὓς «κλητοὺς» ὀνομάζει. Ἦσαν γὰρ ἐξ

ἐκείνου πολλοὶ κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί· πλὴν οἱ δηλούμενοι, οὐκ ἦσαν ἐκλεκτοί, ἀλλὰ κλητοί.

Στίχ. ιδ'. «Καὶ συναχθήσονται πάντες, καὶ ἀκούσονται. Τίς αὐτοῖς ἀνήγγειλε ταῦτα;»

Ὡς γὰρ δεσπότῃ προστάττοντι ὑπακούουσιν αἱ προλεχθεῖσαι δυνάμεις· ἀλλὰ καὶ συναχθεῖσαι ἐπὶ τὸ αὐτὸ ἑστᾶσιν ἀκουσόμεναι τῶν αὐτοῦ λόγων. Τοῦτό τοι ἐδήλου καὶ ἐν ἀρχῇ τῆς βίβλου φάσκων ὁ λόγος, «Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, ἡ γῆ, ὅτι Κύριος ἐλάλησεν.[1]»

Στίχ. ιε'-κ'. «Ἀγαπῶν σε ἐποίησα τὸ θέλημά σου ἐπὶ Βαβυλῶνα, τοῦ ἆραι σπέρμα Χαλδαίων. Ἐγὼ ἐλάλησα, ἐγὼ ἐκάλεσα. Ἤγαγον αὐτόν, καὶ εὐόδωσα τὴν ὁδὸν αὐτοῦ. Προσαγάγετε πρός μέ, καὶ ἀκούσατε ταῦτα· Οὐκ ἀπ' ἀρχῆς ἐν κρυφῇ λελάληκα· ἡνίκα ἐγένετο, ἐκεῖ ἤμην. Καὶ νῦν Κύριος Κύριος ἀπέστρεψέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ. Οὕτω λέγει Κύριος, ὁ ῥυσάμενός σε, Ἅγιος Ἰσραήλ· Ἐγώ εἰμι ὁ Θεός σου, δέδειχά σοι τὸ εὑρεῖν σε τὴν ὁδὸν ἐν ᾗ πορεύσῃ ἐν αὐτῇ. Καὶ εἰ ἤκουσας τῶν ἐντολῶν μου, ἐγένετο ἂν ὡσεὶ ποταμὸς ἡ εἰρήνη σου, καὶ ἡ δικαιοσύνη σου ὡς κῦμα θαλάσσης· καὶ ἐγένετο ἂν ὡσεὶ ἡ ἄμμος τὸ σπέρμα σου, καὶ τὰ ἔγγονα τῆς κοιλίας σου ὡς ὁ χοῦς τῆς γῆς. Οὐδὲ νῦν οὐ μὴ ἐξολοθρευθῇς, οὐδ' ἀπολεῖται τὸ ὄνομά σου ἐνώπιον ἐμοῦ. Ἔξελθε ἐκ Βαβυλῶνος, φεύγων ἀπὸ τῶν Χαλδαίων. Φωνὴν εὐφροσύνης ἀναγγείλατε ἕως ἐσχάτου τῆς γῆς· λέγετε, Ἐρρύσατο Κύριος τὸν δοῦλον αὐτοῦ Ἰακώβ.»

Διόπερ ἐντεῦθεν ἤδη ἐπαγγελλόμενος μὴ ἐξολοθρεῦσαί σε, μηδ' ἐξαλεῖψαι τὸ ὄνομά σου, εἶπά σοι ἐξιέναι ἀπὸ Βαβυλῶνος, ἄφετον καὶ ἐλεύθερον τοῦ τῶν πολεμίων φόβου γενόμενον. Λαβὼν δὲ τὴν ἐξουσίαν τῆς εἰς τὰ οἰκεῖα ἐπανόδου, μὴ ὑπτίως μηδὲ νωχελῶς ποιοῦ τὴν πορείαν, σὺν ἁπάσῃ δὲ σπουδῇ. Ἀπαντήσει γάρ σοι φωνὴ εὐφροσύνης, ἐντεῦθεν ἤδη ἀκουομένης· ἀλλὰ καὶ πάντες οἱ τῶν ἐμῶν λόγων ἀκούοντες συγχαρήσονταί σου τῇ σωτηρίᾳ. Καὶ ταῦτα δὲ πρὸς μὲν ἱστορίαν οὐκ ἐπληροῦτο κατὰ τὸν χρόνον τῆς ἀπὸ Βαβυλῶνος ἐπανόδου, τῶν ἠλευθερωμένων ὑπὸ Κύρου καὶ Δαρείου τῶν βασιλευσάντων ἐν Πέρσαις· καὶ πρὸς δὲ διάνοιαν, ἐπεὶ μὴ ἔστι πρὸς λέξιν εὑρεῖν ἐν τῇ ἱστορίᾳ πέτραν ὑδάτων ῥεύσασαν κατὰ τὴν ἐπάνοδον τοῦ λαοῦ, φήσομεν γοῦν τοῖς τῆς αἰχμαλωσίας ἀεὶ ἠλευθερωμένοις, περὶ ὧν ὁ Χριστὸς ἔλεγεν, «Εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν[2]», ἐπαληθεύειν τὴν ἐπαγγελίαν. Τούτοις γὰρ αὐτοῖς τὸ ἀποστολικὸν πόμα τὸ ἐκ τῆς ἀληθινῆς πέτρας ἐξομβρεῖ· «Ἡ πέτρα δὲ ἦν ὁ Χριστός[3]», κατὰ τὸν Ἀπόστολον.

Στίχ. κα'. «Καὶ ἐὰν διψήσωσι, δι' ἐρήμου ἄξει αὐτούς· ὕδωρ ἐκ πέτρας ἐξάξει αὐτοῖς. Σχισθήσεται πέτρα, καὶ ῥυήσεται ὕδωρ,

1. Ἠσ. 1, 1. 2. Λουκ. 4, 18. 3. Α' Κορ. 10, 4.

καὶ πίεται ὁ λαός μου. Οὐκ ἔστι χαίρειν, λέγει Κύριος, τοῖς ἀσεβέσιν.» Εὐσεβοῦσι γὰρ πᾶσα πάρεστιν ἡ παρὰ τοῦ Θεοῦ τρυφὴ καὶ εὐφροσύνη, καὶ ὅσα ἐπήγγελται ἀγαθὰ ἄλλα· τοῖς δὲ ἀσεβέσιν οὐδεὶς λόγος πρὸς τὰ ἐπηγγελμένα.

ΚΕΦΑΛΑΙΟΝ ΜΘ΄.

Στίχ. α΄. «Ἀκούσατέ μου, νῆσοι, καὶ προσέχετε, ἔθνη.»

Μονονουχὶ σαφῶς διαστελλόμενος, ὅτι, μὴ πρὸς Ἰουδαίους τὰ παρόντα συντείνει, μηδ᾽ ὡς ἔτυχε πρός τινας προχείρους νοουμένας νήσους, ἀλλὰ πρὸς τὰ ἔθνη καὶ τὰς μεταξὺ τῶν ἐθνῶν μεσολαβουμένας τοῦ Θεοῦ Ἐκκλησίας. Ὅθεν καὶ κατὰ τὸν Σύμμαχον τοῦτον εἴρηται τὸν τρόπον, «Ἀκούσατέ μου, νῆσοι, καὶ ἀκροάσασθε, ἔθνη.» Τί τοίνυν βούλεται διδάξειν τὴν Ἐκκλησίαν αὐτοῦ, ἐπιλέγει, «Διὰ χρόνου πολλοῦ στήσεται Κύριος.» Καὶ πρῶτον ἐπιτηρητέον, ὡς ἐκ προσώπου τοῦ Κυρίου ταῦτα φέρεται καὶ τὰ ἑξῆς τούτοις ἐπιφερόμενα· ἐν οἷς αὐτὸς ὁ τοῦ λόγου κατάρξας Κύριος ὡς περὶ ἑτέρου διδάσκει τὰ ἐπιλεγόμενα· ἀλλὰ καὶ γεγεννῆσθαι ἑαυτὸν ὁμολογεῖ, καὶ δοῦλον ἑαυτὸν ὀνομάζει, καὶ ὅσα ἄλλα παρίστησι διὰ τῶν ἑξῆς ἐπιφερομένων. Μὴ νῦν, φησίν, ὅτε ταῦτα διεξέρχομαι, προσδοκήσητε τῶν λόγων ὄψεσθαι τὰ ἀποτελέσματα· μακρὸς γὰρ ἔσται μεταξὺ χρόνος ἐν ᾧ δι᾽ ἔργων συστήσεται τὰ προφητευόμενα. «Ἐκ κοιλίας μητρός μου ἐκάλεσε τὸ ὄνομά μου.» Τοῦτο γὰρ παιδεύθητε, ὦ ἔθνη, καὶ ὑμεῖς, αἱ νῆσοι. Ποῖον δὲ τοῦτο, ἢ ὅτι Κύριος ὁ πάντων δεσπότης, καὶ πρὶν εἰς ἀνθρώπους ἐμὲ τὸν Κύριον εἰσελθεῖν, ἔτι κυόμενον, καὶ κατὰ γαστρὸς ἀνεκαλέσατο, αὐτὸς δέ μοι καὶ ὄνομα ἐδωρήσατο; Ὅτι μὲν ὡς αὐτῷ μόνῳ γνώριμόν ἐστι· κατὰ καιρὸν δὲ καὶ ὑμῖν αὐτοῖς, λέγω πᾶσι τοῖς ἔθνεσι, φανερὸν γενήσεται.

Στίχ. β΄. «Καὶ ἔθηκε τὸ στόμα μου ὡς μάχαιραν ὀξεῖαν.»

Ἀλλὰ καὶ ἔθηκεν ὁ αὐτὸς Θεὸς καὶ Πατὴρ τὸ ἐμὸν τοῦ ταῦτα λέγοντος Κυρίου στόμα, ὡς μάχαιραν ὀξεῖαν, τμητικὴν οὖσαν, εἰς τὸ διαιρεῖν καὶ ἀφορίζειν τοὺς ἀξίους τοῦ Θεοῦ ἀπὸ τῶν μὴ τοιούτων· ὃ δὴ καὶ ἐν Εὐαγγελίοις ὁ αὐτὸς ἐμαρτύρει λέγων, «Μὴ νομίσητε, ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τῆς γῆς[1]», καὶ τὰ ἑξῆς. «Καὶ ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ ἔκρυψέ με· ἔθηκέ με ὡς βέλος ἐκλεκτόν, καὶ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἔκρυψέ με.» Τὴν κρύφιον καὶ τοῖς πολλοῖς λανθάνουσαν οἰκονομίαν τῆς ἐνσάρκου παρουσίας αὐτοῦ ὧδέ πῃ αἰνιττόμενος. Ὥσπερ δὲ μάχαιραν ὀξεῖαν τὴν γλῶσσαν αὐτοῦ ὠνόμασεν, οὕτω καὶ βέλος ἐκλεκτόν φησι τεθεῖσθαι ἑαυτὸν ὑπὸ τοῦ Πατρός· ἵν᾽ ὅτε βούλοιτο, τιτρώσκῃ τοὺς ἀξίους τῶν αὐτοῦ κέντρων· ὁποία ἦν ἡ ψυχὴ ἡ λέγουσα, «Ὅτι τετρωμένη ἀγάπης ἐγώ.[2]» Πλὴν ἀλλὰ

1. Ματθ. 10, 34. 2. Ἀσμ. 2, 5.

καὶ τοῦτο τὸ βέλος ὡς ἐν φαρέτρᾳ καὶ θήκῃ βελῶν ἀπέκρυψεν ὁ Θεὸς καὶ Πατήρ· ἵνα μὴ πάντες αὐτὸ θεωρῶσι, μηδὲ νομιῶσιν, εἰ μὴ μόνοι οἱ ἄξιοι. Καταλλήλως δὲ ἐπὶ τῇ τοῦ βέλους ἐπηγορίᾳ τῷ τῆς φαρέτρας ὀνόματι κέχρηται. Φαρέτραν δὲ καὶ βελοθήκην οὐκ ἂν ἁμάρτοις εἰπὼν τὸ σαρκίον ὃ ἀνείληφεν ὁ τοῦ Θεοῦ Λόγος ἐπιδημῶν ἀνθρώποις. Τοιοῦτον δὲ κατεσκευασμένον τὸν ταῦτα λέγοντα Κύριον ὁ ἐμὸς Θεὸς καὶ Πατὴρ εἶπέ μοι·

Στίχ. γ΄. «Δοῦλός μου εἶ σύ, Ἰσραήλ, καὶ ἐν σοὶ δοξασθήσομαι.»

Ἐπειδὴ γὰρ προῆλθες ἐκ κοιλίας μητρός, καὶ γένεσιν ὑπέμεινας τὴν ἐκ σπέρματος Ἰσραήλ, οὐκ ἐν ἑτέρῳ γένει, οὐδὲ ἐν ἀλλοφύλοις ἔθνεσι τὴν ἐνανθρώπησιν ἐποιήσω· ἀλλ' ἐν τῷ Ἰσραὴλ ἐκ σπέρματος Δαυῒδ κατὰ σάρκα, καὶ ἐκ φυλῆς Ἰούδα γενόμενος, εἰκότως καὶ αὐτὸς Ἰσραὴλ χρηματίσας ἂν καὶ δοῦλος, διὰ τὸ μορφὴν δούλου ἀνειληφέναι, καίτοι μονογενῆ ὄντα Θεόν· ἀλλὰ γὰρ ὁμοίως τοῖς ἔμπροσθεν καὶ ἐνταῦθα τὸ μὲν τοῦ υἱοῦ ὄνομα ἀποκρύπτει, δοῦλον δὲ ὀνομάζει, τὴν τοῦ υἱοῦ προσηγορίαν τῇ αὐτοῦ παρουσίᾳ καὶ τῇ δι' αὐτοῦ πᾶσιν ἀνθρώποις ἀνακαλυφθείσῃ χάριτι ταμιευόμενος. Εἶθ' ὅπερ οὐδενὶ τῶν πώποτε δούλων ὑπῆρξε, τοῦτο διὰ σοῦ, φησί, γενήσεται· ἐν σοὶ γὰρ δοξασθήσομαι. Ταῦτα μὲν οὖν ὁ Θεὸς καὶ Πατήρ· ἐγὼ δὲ ὁ ταῦτα λέγων Κύριος, τούτων ἀκούσας τῶν λόγων, ἀπεκρινάμην καὶ εἶπον· Καὶ πῶς δοξασθήσῃ ἐν ἐμοί, ὦ Πάτερ! ὁπότε πολλὰ καμών, καὶ μυρίους κόπους ὑπομείνας ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας, οὐδὲν ἤνυσα· οἱ πλείους γὰρ αὐτῶν ἐναπέμειναν τῇ ἀπιστίᾳ· καὶ πρῶτόν γε τὸ Ἰουδαίων ἔθνος· διό φημι·

Στίχ. δ΄, ε΄. «Κενῶς ἐκοπίασα, εἰς μάταιον καὶ εἰς οὐδὲν ἔδωκα τὴν ἰσχύν μου. Διὰ τοῦτο ἡ κρίσις μου παρὰ Κυρίῳ, καὶ ὁ πόνος μου ἐναντίον τοῦ Θεοῦ μου. Καὶ νῦν οὕτω λέγει Κύριος, ὁ πλάσας με ἐκ κοιλίας δοῦλον ἑαυτῷ, τοῦ συναγαγεῖν τὸν Ἰακὼβ πρὸς αὐτόν, καὶ Ἰσραήλ· συναχθήσομαι καὶ δοξασθήσομαι ἐναντίον Κυρίου, καὶ ὁ Θεός μου ἔσται μοι ἰσχύς.»

Εἰ γὰρ καὶ μὴ ἄνθρωποι κατορθῶσι, μηδ' ἀξίως τῶν ἐμῶν πόνων, ὧν ὑπέμεινα δι' αὐτούς, ὠφελοῦνται· ἀλλ' ἐγώ, τὰ παρ' ἐμαυτοῦ πράξας, ἐναντίον τοῦ Θεοῦ μου τὸ πατρικὸν ἐτελείωσα βούλημα· διὸ πρώτοις αὐτοῖς ἐκήρυξα τοῖς ἐκ περιτομῆς τὴν σωτηρίαν καὶ πατρικὴν χάριν. Ὁ γὰρ πλάσας με ἐκ κοιλίας δοῦλον ἑαυτῷ, καὶ ἐκ τοῦ Ἰσραὴλ τὸ σῶμά μου κατασκευάσας, πρώτοις αὐτοῖς κηρῦξαι βεβούληται τὴν ἐμαυτοῦ χάριν, εἰς τὸ συναγαγεῖν τὸν Ἰακὼβ πρὸς αὐτόν, καὶ τὸν Ἰσραήλ. Εἰκότως οὖν παραινεῖ λέγων, «Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.[1]» Ὁ μὲν οὖν Πατὴρ εἰς τὸ συναγαγεῖν τὸν Ἰακὼβ καὶ τὸν Ἰσραήλ,

---

1. Ματθ. 10, 5, 6.

ηὐδόκησε τὴν εἰς ἀνθρώπους πάροδόν με ποιήσασθαι, εἰπών, «Ἐν σοὶ δοξασθήσομαι·» ἐγὼ δὲ τὴν ἀπιστίαν καὶ τὴν σκληροκαρδίαν θεωρῶν τοῦ Ἰσραήλ, εἶπον ἤδη πρότερον, ὅτι, «Κενῶς ἐκοπίασα· εἰς μάτην καὶ εἰς οὐδὲν ἔδωκα τὴν ἰσχύν μου.» Καὶ ἐν ἑτέροις τοῦτ' αὐτὸ δηλοῖ εἰπών, «Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν;[1]» Μόνη γὰρ ἡ παρ' αὐτοῦ μοι δόξα πεφύλακται, καὶ αὐτὸς μέν ἐστιν ἡ ἰσχύς. Τὰ γοῦν θαυμάσια καὶ τὰ παράδοξα ἔργα διεμπεπραγμένα τῆς αὐτοῦ δυνάμεως ἦν παραστατικά.

Στίχ. ς'. «Καὶ εἶπέ μοι, Μέγα σοί ἐστι τοῦ κληθῆναί σε παῖδά μου, τοῦ στῆσαι τὰς φυλὰς Ἰακώβ, καὶ τὴν διασπορὰν τοῦ Ἰσραὴλ ἐπιστρέψαι.»

Καὶ γὰρ ὡς ἀληθῶς μέγιστον ἔργον τοῦ Σωτῆρος ἡμῶν τὸ μορφὴν δούλου ἀναλαβεῖν, καὶ τὴν ἐν ἀνθρώποις ὑπομένειν γέννησιν. Τὸ δὲ αἴτιον τοῦ δούλου γενέσθαι τὸν Σωτῆρα, τοῦτο ἦν· λέγω δὴ στῆσαι τὰς φυλὰς Ἰακώβ, καὶ τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπιστρέψαι. Διὸ αὐτοῖς πρώτοις ἐκήρυττεν, αἰχμαλώτοις οὖσι τὰς ψυχὰς τὴν ἄφεσιν, καὶ τυφλοῖς οὖσι τὴν ἀνάβλεψιν. Ἐπειδὴ μὴ παρεδέχοντο τὴν χάριν ἐκεῖνοι, ἀκολούθως εἴρηται ἑξῆς· «Ἰδοὺ τέθεικά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου γῆς.»

Στίχ. ζ', η'. «Οὕτως λέγει Κύριος, ὁ ῥυσάμενός σε, ὁ Θεὸς Ἰσραήλ.»

Αὐτὸς γάρ, φησίν, ἐκεῖνος, ὁ πάλαι τὸν Ἰσραὴλ ῥυσάμενος ἐκ χειρὸς Αἰγυπτίων, αὐτὸς καὶ ὑμῖν τοῖς ἔθνεσι ταῦτα προσφωνεῖ, καὶ διατάττεται λέγων· «Ἁγιάσατε τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ·» ὅσον γὰρ ἑαυτὸν ἐταπείνωσε μέχρι θανάτου, καὶ θανάτου σταυροῦ, τοσοῦτο ὑμεῖς αὐτὸν δοξάζετε. «Τὸν βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν, τῶν δούλων τῶν ἀρχόντων. Βασιλεῖς ὄψονται αὐτόν, καὶ ἀναστήσονται ἄρχοντες, καὶ προσκυνήσουσιν αὐτῷ, ἕνεκεν Κυρίου· ὅτι πιστός ἐστιν ὁ Ἅγιος Ἰσραήλ, καὶ ἐξελεξάμην σε τῶν δούλων τῶν ἀρχόντων·» λέγω δὴ τοῖς πονηροῖς δαίμοσιν, οἱ γὰρ ἔτι τούτοις καταδεδουλωμένοι τὸν Χριστὸν τοῦ Θεοῦ βλασφημοῦνται. Βδελύσσονται δὲ σύροντες καὶ χλευάζοντες, καὶ φαυλίζοντες αὐτοῦ τὸν θάνατον. Ἀλλὰ γὰρ ὑμεῖς οἷς ὁ λόγος προσφωνεῖ, τοῦτον αὐτὸν ἁγιάσατε δοξάζοντες, ἐπεὶ καὶ «πᾶν γόνυ κάμψει αὐτῷ ἐπουρανίων καὶ ἐπιγείων, καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός[2]», ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ, καὶ καθίσῃ ἐπὶ θρόνου δόξης αὐτοῦ κρίνων ζῶντας καὶ νεκρούς· τότε γὰρ πάντες προσκυνήσουσιν αὐτῷ ἕνεκεν Κυρίου τοῦ Πατρὸς αὐτοῦ, ὅτι πιστός ἐστιν ὁ Ἅγιος Ἰσραὴλ ὁ ἐκλεξάμενος αὐτόν. Ἀντὶ δὲ τοῦ, «Καὶ ἐξελε-

---

1. Ψαλμ. 29, 10. 2. Φιλιπ. 2, 10.

ξάμην σε», ὁ Σύμμαχος, «Ἐξελέξατό σε», εἴρηκε. Ταῦτα μὲν οὖν τοῖς ἔθνεσι παραδέδοται· τὰ δὲ ἐπιλεγόμενα εἰς αὐτοῦ πρόσωπον τοῦ Σωτῆρος θεσπίζεται· ᾧ καί φησι τὸ Πνεῦμα τὸ προφητικὸν ἐκ προσώπου τοῦ Πατρός· «Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι.» Σφόδρα δὲ θαυμαστῶς εἴρηται τό, «Καιρῷ δεκτῷ ἐπήκουσά σου·» οὗτος δὲ ἦν ὁ τῆς ἀναστάσεως αὐτοῦ χρόνος. Κατὰ μὲν γὰρ τὸν καιρὸν τοῦ πάθους ἀνεβόησεν ὁ Σωτὴρ εἰπών· «Ἠλεί, Ἠλεί, λιμὰ σαβαχθανεί·» τουτέστι, «Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες;[1]» Ἀλλὰ καὶ προσεύχεται λέγων· «Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο·[2]» εἶθ' ὡς ἀνανεύοντα τὸν Πατέρα ἑώρα, ἐπήγαγε· «Πάτερ, εἰ μὴ δυνατὸν παρελθεῖν αὐτό, γενηθήτω τὸ θέλημά σου.[3]» Ταύτην οὖν τὴν εὐχὴν εἰς καιρὸν δεχόμενος ὁ Πατήρ, μετὰ τὸ πάθος καὶ μετὰ τὴν εἰς ᾅδου κάθοδον, καιρὸν τῆς ἀναστάσεως αὐτοῦ δεικνύς φησι πρὸς αὐτόν· «Καιρῷ δεκτῷ ἐπήκουσά σου», καὶ τὰ ἑξῆς. «Καὶ ἔπλασά σε, καὶ ἔδωκά σε εἰς διαθήκην ἐθνῶν, τοῦ καταστῆσαι τὴν γῆν, καὶ κληρονομῆσαι κληρονομίας ἐρήμους.» Τοιαῦται δὲ ἦσαν αἱ τῶν ἀθέων καὶ πολυθέων ψυχαί, ἔρημοι Θεοῦ καὶ ἀληθῶς «ἠφανισμέναι», κατὰ τοὺς λοιπούς.

Στίχ. θ'. «Λέγοντα τοῖς ἐν δεσμοῖς, Ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει, ἀνακαλυφθῆναι.»

«Ἦμεν γάρ ποτε τέκνα ὀργῆς, καὶ ἦμέν ποτε σκότος· νῦν δὲ φῶς ἐν Κυρίῳ.[4]» Εὐαγγελίζεται τοὺς τῶν προτέρων δεσμῶν, καὶ τοῦ προτέρου σκότους ἠλευθερωμένους, λέγων· «Ἐν πάσαις ταῖς ὁδοῖς βοσκηθήσονται, καὶ ἐν πάσαις ταῖς τρίβοις ἡ νομὴ αὐτῶν.» Ὁδοὶ δὲ καὶ τρίβοι, ἃς διώδευσαν οἱ πάλαι τοῦ Θεοῦ ἄνδρες, αἱ θεόπνευστοί εἰσι Γραφαί, ἐν αἷς βοσκόμενοι οἱ τῆς ἐπαγγελίας τυχόντες, τῆς ἐνθέου καὶ λογικῆς τροφῆς ἀπολαύουσιν, ἀγαθὴν νομὴν ταύτην εὑράμενοι, καὶ τὰ ἑξῆς.

Στίχ. ι'. «Οὐ πεινάσουσιν, οὐδὲ διψήσουσιν, οὐδὲ πατάξει αὐτοὺς ὁ καύσων, οὐδ' ὁ ἥλιος. Ἀλλ' ὁ ἐλεῶν αὐτοὺς παρακαλέσει, καὶ διὰ πηγῶν ὑδάτων ἄξει αὐτούς.»

Καύσωνα δὲ καὶ ἥλιον τὸν φλογμὸν τοῦ θνητοῦ βίου ἀποκαλεῖ, καὶ τοῦ νομιζομένου ἐν ἀνθρώποις φωτὸς τὴν πρόσκαιρον ἀπόλαυσιν. Ἀλλ' οὐδέ, φησί, ταῦτα καθάψονται αὐτῶν. Πολλαὶ δὲ πηγαὶ Ἰσραήλ, καὶ πηγαὶ Σωτηρίου· αἱ μὲν τῆς Παλαιᾶς Διαθήκης, αἱ δὲ τῆς Καινῆς. «Καὶ θήσω δέ», φησί, «πᾶν ὄρος εἰς ὁδόν», ἵνα μηδὲν αὐτοῖς ἄναντες ᾖ, μηδὲ δύσβατον, ἢ τραχύ. Ἀλλὰ καὶ πᾶσαν τρίβον πάλιν εἰς βόσκημα θήσειν αὐτοῖς ἐπαγγέλλεται, λέγων·

Στίχ. ια'. «Καὶ θήσω πᾶν ὄρος εἰς ὁδόν, καὶ πᾶσαν τρίβον εἰς βόσκημα αὐτοῖς.»

---

1. Ματθ. 27, 46. 2. Ματθ. 26, 39. 3. Ματθ. 26, 42. 4. Ἐφ. 2, 3. 5, 8.

Ἤδη καὶ πρότερον ἡμῖν εἴρηται, ὡς κατὰ τρόπους τρεῖς προσήκει νοεῖν τὴν Σιὼν καὶ τὴν Ἱερουσαλήμ· καθ' ἕνα μὲν τρόπον, ταπεινὸν καὶ Ἰουδαϊκόν· καθ' ἕτερον δέ, πᾶν τὸ θεοσεβὲς πολίτευμα συγκρίματι ψυχῶν νοούμενον· κατὰ δὲ τὸν ἐπαναβεβηκότα τρόπον ἡ ἐν οὐρανοῖς ἀγγελικὴ πολιτεία, περὶ ἧς φησιν ὁ Ἀπόστολος· «Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ ἡμῶν·[1]» καί, «Προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ.[2]» Ὧν οὕτως ἐχόντων, ὁ παρὼν λόγος πρὸς τὸ θεοσεβὲς πολίτευμα, ὃ πάλαι μὲν παρὰ Ἰουδαίοις συνειστήκει, καθαιρεθὲν δὲ καὶ ὥσπερ πτῶσιν πεπονθὸς παρ' αὐτοῖς μεταβέβληται ἐπὶ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν, τὰ προκείμενα θεσπίζει. Οὐκοῦν καὶ τὰ ὄρη ὡς λογικὰ χαίρειν καὶ ἀγαλλιᾶν ἐπὶ τῇ τῶν ἀνθρώπων σωτηρίᾳ προστάττεται. Εἶεν δ' ἂν ὄρη ψυχαί, ἐπὶ γῆς μὲν ἔτι βιοῦσαι, σφόδρα δὲ εἰς ὕψος ἐπηρμέναι διὰ τῆς τῶν ἀρετῶν κατορθώσεως· ἢ καὶ θεῖαι καὶ οὐράνιαι δυνάμεις, αἷς εὐφραίνεσθαι παρακελεύεται.

Στίχ. ιβ'. «Ἰδοὺ οὗτοι πόρρωθεν ἥξουσιν, οὗτοι ἀπὸ Βορρᾶ καὶ θαλάσσης, ἄλλοι δὲ ἐκ γῆς Περσῶν.»

Τίνες δὲ ἦσαν οὗτοι ἀλλ' ἢ οἱ προδηλωθέντες, δηλαδὴ οἱ ἀπὸ τῶν τεσσάρων κλιμάτων τοῦ παντὸς ἀνακεκλημένοι;

Στίχ. ιγ'. «Εὐφραίνεσθε, οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ, ῥηξάτωσαν τὰ ὄρη εὐφροσύνην, ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, καὶ τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ παρεκάλεσεν.»

Οὔτε γὰρ δυνατὸν λήθην ποιήσασθαι τὸν Θεὸν τοῦ ἐν οὐρανοῖς πολιτεύματος· καὶ παραδείγματι κέχρηται φυσικῷ· Ὡς γὰρ ἀδύνατον μητέρα τοῦ ἰδίου τέκνου λαθεῖν, καὶ ὡς οὐ δυνατὸν μὴ ἐλεῆσαι τὴν γεννήσασαν τὰ τέκνα αὐτῆς τῆς κοιλίας· οὕτως κἀμὲ τὰς ἐν ἀνθρώποις λογικὰς ψυχὰς ὥσπερ τέκνα συστησάμενον, ἀδύνατόν ἐστιν ἐπιλαθέσθαι τοῦ ἐν ἀνθρώποις θεοσεβοῦς πολιτεύματος. Διό φησιν·

Στίχ. ιδ', ιε'. «Εἶπε Σιών, Ἐγκατέλιπέ με Κύριος καὶ ὅτι, Κύριος ἐπελάθετό μου. Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς, ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; Εἰ δὲ καὶ ταῦτα ἐπιλάθοιτο γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, εἶπε Κύριος.»

Δι' ὧν ἄντικρυς παρίστησι τὴν ἀληθινὴν Σιὼν ἄπτωτον εἶναι καὶ ἀκαθαίρετον, ἀεὶ μένουσαν καὶ διὰ παντὸς συνεστῶσαν. Ὥστε εἴ τις θεωρίᾳ αὐτῆς γενέσθαι ποθεῖ, μὴ κάτω περιβλεπέσθω, μηδ' ἐπὶ τῆς Παλαιστίνων χώρας αὐτὴν ἀναζητείτω· ἀκουέτω δὲ τοῦ Θεοῦ λέγοντος αὐτῇ·

Στίχ. ιϛ'. «Ἰδοὺ ἐπὶ τῶν χειρῶν μου ἐζωγράφησά σου τὰ τείχη, καὶ ἐνώπιόν μου εἶ διὰ παντός.»

Χεῖρες γὰρ ὡς ἀληθῶς Θεοῦ τὴν τοιαύτην οἰκοδομοῦσι πόλιν, μᾶλλον δὲ διατυποῦσιν αὐτὴν καὶ διαζωγράφουσιν, ὥσπερ ἐν πίνακος

---

1. Γαλ. 4, 26. 2. Ἑβρ. 12, 22.

γραφῇ, καὶ διαχαράττουσι τὴν θέσιν καὶ τοὺς τόπους τῆς κατὰ Θεοῦ πολιτείας ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς συνεστώσης. Ὁ δὴ καὶ αὐτὸς τῆς ἑαυτοῦ πόλεως οἰκοδόμος, δηλαδὴ ὁ τοῦ Θεοῦ Λόγος, ἐδίδασκε, λέγων, «Ἐπὶ τὴν πέτραν οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.[1]»

Στίχ. ιζ΄. «Καὶ ταχὺ οἰκοδομηθήσῃ ὑφ' ὧν καθῃρέθης, καὶ οἱ ἐρημώσαντές σε ἐξελεύσονται ἐκ σοῦ.»

Ὥσπερ γὰρ Ἰουδαῖοι τῆς καθαιρέσεως αὐτῆς γεγόνασιν αἴτιοι, οὕτω πάλιν ἐξ αὐτῆς ἦσαν οἱ τῆς νέας οἰκοδομῆς ἐργάται· ἀπόστολοι δηλονότι τοῦ Σωτῆρος ἡμῶν, μαθηταί τε καὶ εὐαγγελισταί, δι' ὧν ἡ Ἐκκλησία τοῦ Θεοῦ ἀνεγήγερται.

Στίχ. ιη΄, ιθ΄. «Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε πάντας· ἰδοὺ συνήχθησαν καὶ ἦλθοσαν πρός σέ. Ζῶ ἐγώ, λέγει Κύριος, ὅτι πάντας αὐτοὺς ὡς κόσμον ἐνδύσῃ, καὶ περιθήσεις αὐτοὺς ὡς κόσμον νύμφη· ὅτι τὰ ἔρημά σου, καὶ τὰ κατεφθαρμένα καὶ πεπτωκότα, ὅτι νῦν στενοχωρήσει ἀπὸ τῶν κατοικούντων, καὶ μακρυνθήσονται ἀπὸ σοῦ οἱ καταπίνοντές σε.»

Θαυμάσαι δὲ ἔστιν, ὅπως πρὸς τῇ διανοίᾳ καὶ κατὰ τὴν ἱστορίαν ὁ λόγος ἐπληροῦτο τοῦ παντὸς Ἰουδαίων ἔθνους, μετὰ τὴν σύστασιν τῆς ἐξ ἐθνῶν Ἐκκλησίας ἀποβλήτους γενομένους τῆς αἰσθητῆς πόλεως τῆς κατὰ Παλαιστίνην κειμένης, πρὸς τὸ καὶ τοῦ θεοσεβοῦς πολιτεύματος ἐκπεσεῖν.

Στίχ. κ΄, κα΄. «Ἐροῦσι γὰρ εἰς τὰ ὦτά σου οἱ υἱοί σου, οὓς ἀπολώλεκας· Στενός μοι ὁ τόπος· ποίησόν μοι τόπον, ἵνα κατοικήσω. Καὶ ἐρεῖς ἐν τῇ καρδίᾳ σου· Τίς ἐγέννησέ μοι τούτους; Ἐγὼ δὲ ἄτεκνος καὶ χήρα· τούτους δὲ τίς ἐξέθρεψέ μοι; ἐγὼ δὲ κατελείφθην μόνη, οὗτοι δέ μοι ποῦ ἦσαν;»

Τοῦ ἐκ περιτομῆς λαοῦ τὸ πολὺ πλῆθος τῆς Ἐκκλησίας καθ' ὅλης τῆς οἰκουμένης ἐξ ἁπάντων ἀντεισαχθήσεται ἐθνῶν. Ἦσαν γάρ ποτε ἐν ἀπωλείᾳ οἱ διὰ τῆς σωτηρίου χάριτος τῇ πολιτείᾳ τοῦ Θεοῦ προσδραμόντες· οὓς ὁρῶσα ἡ Ἐκκλησία τοῦ Θεοῦ ἀποθαυμάσει λέγουσα, «Τίς ἐγέννησέ μοι τούτους;» τὸ ξένον τῆς τῶν ἐθνῶν κλήσεως ἐκπληττομένη· ὁμολογήσει τε τὴν ἐπισυμβᾶσαν αὐτῇ ἐκ τοῦ Ἰουδαίων ἔθνους ἀτεκνίαν.

Στίχ. κβ΄. «Οὕτως λέγει Κύριος Κύριος· Ἰδοὺ αἴρω εἰς τὰ ἔθνη τὴν χεῖρά μου, καὶ εἰς τὰς νήσους ἀρῶ σύσσημόν μου, καὶ ἄξουσι τοὺς υἱούς σου ἐν κόλπῳ, τὰς δὲ θυγατέρας σου ἐπ' ὤμων ἀροῦσι·»

διδάσκων, ὅτι υἱοὺς αὐτῆς καὶ θυγατέρας, περὶ ὧν ὡς εἶπεν, ὅτι «Οὗτοι δέ μοι ποῦ ἦσαν;» ἐκ τῆς ἐκλογῆς τῶν ἐθνῶν πρὸς αὐτὴν συνάξει. Τίνες δὲ τοῦτο πράξωσιν, ἢ πάντως που οἱ τοὺς εἰσαγομένους εἰς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ χειραγωγοῦντες διὰ τὴν φρενῶν νηπιότητα;

---

1. Ματθ. 16, 13.

Στίχ. κγ'. «Καὶ ἔσονται βασιλεῖς τιθηνοί σου, αἱ δὲ ἄρχουσαι αὐτῶν, τροφοί σου.»

Ὅπερ καὶ αὐτὸ κατὰ λέξιν πληρούμενον αὐτοῖς εἴδομεν ὀφθαλμοῖς, τῶν κρατούντων τῆς ἀνωτάτω ἀρχῆς τιθηνῶν τρόπον διαβασταζόντων τὴν τοῦ Θεοῦ Ἐκκλησίαν· αἱ δὲ τούτων ἄρχουσαι, δηλαδὴ αἱ καθ' ἕκαστον ἔθνος, καὶ καθ' ἑκάστην ἐπαρχίαν ἀρχαὶ καὶ ἐξουσίαι, τῇ ἀνωτάτῳ βασιλείᾳ διακονούμεναι τροφῶν δίκην ἐξυπηρετούμεναι τοῖς ἐνδεέσι τῆς Ἐκκλησίας, νεύματι βασιλικῷ, τὰ σιτηρέσια χορηγοῦσαι αὐτοῖς· διὸ τροφὴ αὐτῆς ὠνομάσθησαν, ἢ κατὰ τὸν Σύμμαχον, «γαλοῦχοι,» φήσαντα, «Καὶ ἄρχουσαι αὐτῶν γαλουχήσουσι.» Τίς δὲ ὀφθαλμοῖς ὁρῶν τὰς εἰρημένας ἀρχὰς ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ γόνυ καμπτούσας, καὶ τὸ μέτωπον ἐρειδούσας ἐπὶ τοῦ ἐδάφους, οὐχ ὁμολογήσειε πρὸς λέξιν καὶ πρὸς ἱστορίαν τέλος εἰληφέναι ταύτην τὴν προφητείαν, διαρρήδην φήσασαν, «Ἐπὶ πρόσωπον τῆς γῆς προσκυνήσουσί σοι, καὶ τὸν χοῦν τῶν ποδῶν σου λείξουσι. Καὶ γνώσῃ, ὅτι ἐγὼ Κύριος, καὶ οὐκ αἰσχυνθήσονται οἱ ὑπομένοντές σε;» Καλὸν γὰρ τὸ μὴ ὀλιγωρεῖν μηδὲ ἀπογινώσκειν τὴν ἐλπίδα τῶν ἐπηγγελμένων πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως.

Στίχ. κδ'. «Μὴ λήψεταί τις παρὰ γίγαντος σκῦλα; καὶ ἐὰν αἰχμαλωτεύσῃ τις ἀδίκως, σωθήσεται;»

Γίγαντα σημαίνων τὸν διάβολον καὶ τὴν ἀντικειμένην δύναμιν. Μήτι οὖν τῷ τυχόντι, φησί, δυνατόν ἐστι γίγαντι παρατάξασθαι, καὶ σκυλεῦσαι τὸν οὕτως ἰσχυρόν; Εἰ δὲ καὶ ἐπιχειρήσειέ τις τὸν τοιοῦτον αἰχμαλωτεῦσαι, δικαίως δὲ ποιῶν, ἆρα ἀθωωθήσεται; Οὐχὶ κρατηθεὶς ὑπὸ τοῦ γίγαντος, ὡς ὑπ' ἰσχυροτέρου, κινδυνεύσει περὶ τῆς αὐτοῦ σωτηρίας; Ἀντὶ δὲ τοῦ, «ἀδίκως» ἡ Ἑβραϊκὴ λέξις. «δικαίως», περιέχει. Ὁ γὰρ αἰχμαλωτεύων γίγαντα, δικαίως τοῦτο ποιήσειε, καὶ ὁ σκυλεύων αὐτό, ὁμοίως.

Στίχ. κε'. «Ὅτι οὕτω λέγει Κύριος· Ἐάν τις αἰχμαλωτεύσῃ γίγαντα, λήψεται σκῦλα, λαμβάνων δὲ παρ' ἰσχύοντος, σωθήσεται. Ἐγὼ δὲ τὴν κρίσιν σου κρινῶ, καὶ ἐγὼ τοὺς υἱούς μου ῥύσομαι·»

σαφῶς διδάξας ἡμᾶς, εἶναι τοῦτο μόνον δυνατόν, ἀφελέσθαι τοῦ δηλωθέντος τὰ σκῦλα· τοὺς υἱοὺς αὐτοῦ εἶναι λέγων· διὸ ἐπιφέρει· «Τοὺς υἱούς μου ῥύσομαι·» ὧν ῥυσθέντων, οἱ ἀφῃρημένοι αὐτοῖς ἐξ ἐπηρείας, αὐτοὶ τὰς ἑαυτῶν σάρκας φάγονται· οὐκέτι γὰρ ἑτέρων σάρκας ἐσθίειν δυνάμενοι, τὰς ἑαυτῶν φάγονται· οὐδ' ἐκπίνειν ἔτι τὸ αἷμα τῶν ἀνθρωπίνων ψυχῶν δυνάμενοι, τὸ ἑαυτῶν αἷμα πίονται, ὡς καὶ μεθυσθῆναι αὐτοὺς ἐξ αὐτοῦ.

Στίχ. κϛ'. «Καὶ φάγονται οἱ θλίψαντές σε τὰς σάρκας αὐτῶν, καὶ πίονται ὡς οἶνον νέον τὸ αἷμα αὐτῶν, καὶ μεθυσθήσονται.»

Δύναται ταῦτα ἐπὶ τοὺς κατὰ καιρὸν διώκοντας τὴν τοῦ Θεοῦ Ἐκκλησίαν ἀναφέρεσθαι, τοῦ λόγου τὸ τέλος αὐτῶν καὶ τὴν καταστρο-

φὴν διαγράφοντος, καὶ ὡς τὰς ἑαυτῶν σάρκας φάγονται, καὶ τὸ αἷμα αὐτῶν πίονται.

«Καὶ αἰσθανθήσεται πᾶσα σάρξ, ὅτι ἐγὼ Κύριος ὁ ῥυσάμενός σε, καὶ ἀντιλαμβανόμενος ἰσχύος Ἰακώβ.» Ἀσώματον τὸ Θεῖον, ἄϋλον, ἀναφὲς καὶ ἁπλοῦν· καὶ οὐκ ἄν τις ἐπ' αὐτῷ, τὰ εἰκότα δρῶν, φαντασίαν τινὰ λάβοι σωματικήν. Πλὴν τὸ Γράμμα τὸ ἱερὸν ἀνθρωπίνως ἡμῖν τὰ περὶ αὐτοῦ διαλέγεται. Οὐ γὰρ ἦν ἑτέρως δυνηθῆναι νοεῖν τοὺς ἐν αὐτοῖς καὶ παχέσιν ὄντας σώμασιν, εἰ μὴ καθάπερ ἐν τάξει παραδειγμάτων παρεκομίσθη τὰ καθ' ἡμᾶς· ἵν' ἐκ τῶν ἐν αἰσθήσει καὶ ὁρατῶν πραγμάτων κἂν οὑτωσὶ ἐκ μέρους νοεῖν ἰσχύσωμεν τὰ περὶ τῆς θείας οὐσίας.

ΚΕΦΑΛΑΙΟΝ Ν'.

Στίχ. α'-ζ'. «Οὕτως λέγει Κύριος· Ποῖον τὸ βιβλίον τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν, ᾧ ἐξεπέστειλα αὐτήν; ἢ τίνι ὑποχρέῳ πέπρακα ὑμᾶς; Ἰδοὺ ταῖς ἁμαρτίαις ὑμῶν ἐξεπέστειλα τὴν μητέρα ὑμῶν. Τί ὅτι ἦλθον, καὶ οὐκ ἦν ὁ ὑπακούων; Μὴ οὐκ ἰσχύει ἡ χείρ μου τοῦ ῥύσασθαι; Μὴ οὐκ ἰσχύω τοῦ ἐξελέσθαι; Ἰδοὺ τῷ ἐλεγμῷ μου ἐξερημώσω τὴν θάλασσαν· καὶ θήσω ποταμοὺς ἐρήμους, καὶ ξηρανθήσονται οἱ ἰχθύες αὐτῶν ἀπὸ τοῦ μὴ εἶναι ὕδατα, καὶ ἀποθανοῦνται ἐν δίψει. Ἐνδύσω τὸν οὐρανὸν σκότος, καὶ ὡς σάκκον θήσω τὸ περιβόλαιον αὐτοῦ. Κύριος Κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον. Ἔθηκέ μοι πρωΐ, προσέθηκέ μοι ὠτίον ἀκούειν, καὶ ἡ παιδεία Κυρίου Κυρίου ἀνοίγει μου τὰ ὦτα. Ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω. Τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς σιαγόνας μου εἰς ῥαπίσματα· τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπ' αἰσχύνης ἐμπτυσμάτων· καὶ Κύριος Κύριός μου βοηθός μοι ἐγενήθη· διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλ' ἔθηκα τὸ πρόσωπόν μου ὡς στερεὰν πέτραν.»

Διὸ καὶ τὸ πρόσωπόν μου ὡς στερεὰν πέτραν παρέστησα πεπιστευμένος, ὡς οὐ φέρει μοι αἰσχύνην ἡ πρὸς τὸν Πατέρα ὑπακοή· καὶ πλησίον μου ἑστῶσα καὶ ὥσπερ ἀγωνοθετοῦντα τοῖς γινομένοις, καὶ τὴν ἐμὴν δικαιοῦντα ὑπομονὴν διὰ παντὸς ἑώρων. Εἰ δέ τις ἔχοι τὰς κατ' ἐμοῦ ὕβρεις, καὶ τὸν θάνατον αὐτὸν ἐνδίκως ἐπενηνέχθαι μοι φάναι διά τινα πλημμελήματα, δεικνύτω παρελθὼν εἰς μέσον, εἴ τις αἰτία ἢ πρόφασις ἐξ ἐμοῦ τῆς τοιαύτης κατ' ἐμοῦ ὕβρεως γέγονεν· εἰς μέσον παρελθὼν στήτω καὶ ἐλεγχέτω. Οὐδενὸς δὲ ἔχοντος μέμψιν μετελθεῖν, μήτε τῇ διδασκαλίᾳ μήτε ταῖς πράξεσι ταῖς ὑπ' ἐμοῦ πεπραγμέναις, εἰκότως ὁ Κύριος βοηθός μοι παρέσται.

Στίχ. η'. «Ὅτι ἐγγίζει ὁ δικαιώσας με. Τίς ὁ κρινόμενός μοι; ἀντιστήτω μοι ἅμα. Καὶ τίς ὁ κρινόμενός μοι; ἐγγισάτω μοι.»

Ἐπαμύνοντος γάρ, φησί, τοῦ Θεοῦ καὶ Πατρός, καὶ πᾶσαν ὑμῶν

ἐπήρειαν ἀφανίζοντος, καὶ τὴν ἐμὴν ἱστάντος δόξαν, τίς ἔσται τοσοῦτος ἐν ὑμῖν, ὡς ἀντιτάξεσθαι τῇ ἀνικήτῳ βουλῇ, καὶ κακῶσαι δύνασθαι τὸν παρ' αὐτοῦ βοηθούμενον; Οὐκοῦν εἴπερ τινὲς ἦσαν νουνεχεῖς, οἱ Γραμματεῖς τε καὶ Φαρισαῖοι, ἀπόσχοιντο ἂν τῶν κατ' αὐτοῦ σκεμμάτων τε καὶ ἐγχειρημάτων, διὰ προφητῶν ἁγίων προεγνωκότες, ὡς οὐκ ἂν ἰσχύσειαν ἀδικῆσαι Χριστόν, Θεὸν ὄντα καὶ Κύριον, καὶ Υἱὸν ἀληθινὸν τοῦ Πατρός.

Στίχ. θ'. «Ἰδοὺ Κύριος Κύριος βοηθήσει μοι· τίς κακώσει με: Ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ σὴς καταφάγεται ὑμᾶς.»

Δι' ὧν σημαίνει τὴν παλαίωσιν τῆς κατ' αὐτοῦ σωματικῆς λατρείας· πάνυ γὰρ τὸ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ. Σῆτα δὲ καὶ τὸν καταβιβρώσκοντα αὐτοὺς τὴν συνείδησιν ὧν τετολμήκασι δηλοῖ, δίκην σκώληκος κατεσθιούσης τὴν ψυχήν. Ὁρῶντες γὰρ τὴν τῶν ἐθνῶν πρὸς Θεὸν ἐπιστροφὴν καὶ τὴν ἑαυτῶν ἀπόπτωσιν, ἣν ὑπέμειναν διὰ τὰς ἀσεβείας αὐτῶν, ὑπὸ τῆς συνειδήσεως τιτρώσκονται καὶ κατεσθίονται.

Στίχ. ι'. «Τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν Κύριον; ὑπακουσάτω τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ. Οἱ πορευόμενοι ἐν σκότει, καὶ οὐκ ἔστιν αὐτοῖς φῶς, πεποίθατε ἐπὶ τῷ ὀνόματι Κυρίου, καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ Θεῷ.»

Οὐ γὰρ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὴν μετάνοιαν αὐτοῦ. Ὅθεν ἔτι καὶ νῦν ὑμᾶς ἀνακαλοῦμαι, ἐν τῷ τῆς ἀγνοίας σκότῳ τυγχάνοντας. Ἑαυτὸν δὲ παῖδα Θεοῦ λέγων, ἐφίησι νοεῖν, ὅτι, ἄνθρωπος γεγονώς, υἱός ἐστιν ἀληθινὸς τοῦ Θεοῦ καὶ Πατρός· καὶ τὸ ἀκοῦσαι τῆς αὐτοῦ φωνῆς οὐ νόμου παράβασις ἦν, ἀλλὰ βεβαίωσις νόμου, διὰ τύπου καὶ σκιᾶς προαναγράφοντος τὴν ἀλήθειαν, ἥτις ἐστὶν ὁ Θεὸς καὶ τὰ αὐτοῦ θεσπίσματα.

Στίχ. ια'. «Ἰδοὺ πάντες ὑμεῖς πῦρ καίετε, καὶ κατισχύετε φλόγα· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε. Δι' ἐμὲ ἐγένετο ταῦτα ὑμῖν, καὶ ἐν λύπῃ κοιμηθήσεσθε.»

Μόνον ἥκετε, καὶ ὑπακούσατε, ἐπαγγελλομένῳ τε ὑμῖν σωτηρίαν πιστεύσατε. Ἀλλ' ὡς ὁρῶ, πάσης μὲν ἀγαθῆς ἐλπίδος ἑαυτοὺς ἀποκλείετε, τὸ δὲ αὐτῶν πῦρ σωρεύετε καὶ κατισχύετε τῇ ἑαυτῶν ἐπιμένοντες ἀπιστίᾳ καὶ ταῖς κατ' ἐμοῦ βλασφημίαις, καὶ τὸ περιμένον ὑμᾶς τῆς αἰωνίου κολάσεως πῦρ μειζόνως ἐξάπτοντες· διὸ καὶ «ἐν λύπῃ κοιμηθήσεσθε·» ἢ κατὰ τὸν Σύμμαχον, «ἐν ὀδύνῃ κοιμηθήσεσθε.»

ΚΕΦΑΛΑΙΟΝ ΝΑ'.

Στίχ. α'. «Ἀκούσατε, οἱ διώκοντες τὸ δίκαιον, καὶ ζητοῦντες τὸν Κύριον.»

Ἐπειδὴ ἐκ πολλῆς ἄγαν ἀβελτηρίας οἱ τῶν Ἰουδαίων δῆμοι τὸν μονογενῆ τοῦ Θεοῦ Λόγον ὁρῶντες ἐν εἴδει τῷ καθ' ἡμᾶς, τουτέστι

γενόμενον ἄνθρωπον, οὐ συνίεσαν μὲν τὸ ἐπ' αὐτῷ μυστήριον· ἀσυνετοῦντες δὲ πλεισταχοῦ παλιμφήμοις ἐλύπουν φωναῖς ἀναιδῶς· καθάπερ γὰρ ἔφην ἀρτίως, ἐναργῆ καθίστησιν αὐτοῖς τὴν σεμνοπρεπεστάτην αὐτοῦ δόξαν τε καὶ δύναμιν, καὶ τοῦ μικρὰ φρονεῖν ἐπ' αὐτῷ βούλεσθαί τινας ἀποκομίζει, λέγων, «Πεποίθατε ἐπὶ τῷ Κυρίῳ.» Ἐναργέστατα δὴ οὖν Κύριον ἑαυτὸν καὶ Θεὸν εἶναί φησιν, ἀποκομίζων, ὡς ἔφην, τοῦ χαμαιπετῶς περὶ αὐτοῦ βούλεσθαι φρονεῖν τε καὶ λέγειν. «Ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν, ἣν ἐλατομήσατε, καὶ εἰς τὸν βόθυνον τοῦ λάκκου, ὃν ὠρύξατε.» Ἔοικεν ὁ λόγος διὰ τούτων αἰνίττεσθαι αὐτὴν ἐκείνην τὴν τὸ σῶμα τοῦ Σωτῆρος ὑποδεξαμένην πέτραν, ἐν ᾗ Ἰωσὴφ τὸ σπήλαιον ὤρυξεν ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ.

Στίχ. β΄ «Ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ εἰς Σάρραν τὴν ὠδίνουσαν ὑμᾶς· ὅτι εἷς ἦν, καὶ ἐκάλεσα αὐτόν, καὶ εὐλόγησα αὐτόν, καὶ ἠγάπησα αὐτόν, καὶ ἐπλήθυνα αὐτόν.»

Ὥσπερ οὖν ἐπὶ τὸν Ἀβραὰμ πεποίηκα, οὕτως μὴ ἀπογινώσκετε, ὡς καὶ ἀπὸ τῆς πέτρας ταύτης, ἣν ὑμεῖς αὐτοὶ ἐλατομήσατε, ἔσται τις ἐλπὶς ἁπάσης ἀνθρώποις σωτηρίας, ὡς μὴ ἀπολειφθῆναι τῆς πρὸς τὸν Ἀβραὰμ ἐπαγγελίας τὴν δοθησομένην ἅπασι τοῖς ἔθνεσιν ἐξ ἐμοῦ διὰ τῆς εἰρημένης πέτρας χάριν. Ἦν μὲν οὖν πέτρα καὶ τὸ σπήλαιον ὃ ἐλατόμησεν ὁ Ἰωσὴφ εἰς μνημεῖον· ἀλλὰ καὶ τὸν Χριστὸν αὐτὸν οἶδεν ὁ Θεῖος Ἀπόστολος πέτραν ὀνομάζειν, λέγων, «Ἡ δὲ πέτρα ἦν ὁ Χριστός.[1]» Ἐπειδὴ χεῖρας ἐπιβαλόντες τὸ σῶμα τοῦ Χριστοῦ ἐλωβήσαντο κατὰ τὸ πάθος οἱ τὸν θάνατον αὐτοῦ τυρεύσαντες, εἰκότως πρὸς αὐτοὺς εἴρηται τό, «Ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν, ἣν ἐλατομήσατε, καὶ εἰς τὸν βόθυνον τοῦ λάκκου, ὃν ὠρύξατε.» Μήποτε βόθυνον λάκκου ἠνίξατο τὴν τρωθεῖσαν τοῦ σώματος αὐτοῦ πλευράν, ἐξ ἧς αἷμα καὶ ὕδωρ προῆλθεν.

Στίχ. γ΄. «Καὶ σὲ νῦν παρακαλέσω, Σιών, καὶ παρεκάλεσα πάντα τὰ ἔρημα αὐτῆς· καὶ θήσω τὰ ἔρημα αὐτῆς ὡς παράδεισον, καὶ τὰς πρὸς δυσμὰς αὐτῆς ὡς παράδεισον Κυρίου. Εὐφροσύνην καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ, ἐξομολόγησιν καὶ φωνὴν αἰνέσεως.»

Ὡς ἐν παραθέσει δὲ τῆς πάλαι ἐχούσης τὸν ἄνδρα, νῦν ἡ ἐξ ἐθνῶν Ἐκκλησία πάλιν ἔρημος ὠνομάσθη· ὥσπερ οὖν καὶ αὐτὸς ὁ προφήτης θεσπίζει, λέγων· «Εὐφράνθητι στεῖρα, ἡ οὐ τίκτουσα· ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.» Τίς δὲ ἦν ἡ τὸν ἄνδρα ἔχουσα ἀλλ' ἢ ἡ τὸ βιβλίον τοῦ ἀποστασίου ποιησαμένη;

Στίχ. δ΄. «Ἀκούσατέ μου, ἀκούσατέ μου, λαός μου, καὶ οἱ βασιλεῖς, πρὸς μὲ ἐνωτίσασθε.»

Ἔδει γὰρ καινῷ λαῷ καὶ ἐξ ἐθνῶν στησομένῳ, καὶ νόμον δοθῆναι καινόν. Ὁ γὰρ διὰ Μωσέως δοθεὶς ἀκατάλληλος ἦν τῇ τῶν ἐθνῶν

1. Α΄ Κορ. 10, 4.

πολιτείᾳ, πᾶσαν περιγράφων τὴν σωματικὴν θρησκείαν εἰς ἕνα τόπον τοῖς Ἱεροσολύμοις· διόπερ ἀναγκαίως αἰνιττόμενος τὴν Καινὴν Διαθήκην, καὶ τὸ εὐαγγελικὸν κήρυγμα φάσκει, «Ὅτι νόμος παρ' ἐμοῦ ἐξελεύσεται καὶ ἡ κρίσις μου εἰς φῶς ἐθνῶν·» πάλιν ἐνταῦθα φῶς τοῖς ἔθνεσιν ὑπισχνούμενος, οὐ μὴν τῷ Ἰσραήλ.

Στίχ. ε'. «Ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου, καὶ ἐξελεύσεται ὡς φῶς τὸ Σωτήριόν μου καὶ εἰς τὸν βραχίονά μου ἔθνη ἐλπιοῦσιν· ἐμὲ νῆσοι ὑπομενοῦσι, καὶ εἰς τὸν βραχίονά μου ἐλπιοῦσι.»

Δευτεροῖ τὸν λόγον εἰς βεβαίωσιν τῆς ἐπαγγελίας· δικαιοσύνης γὰρ πεπλήρωτο ἡ πᾶσι τοῖς ἔθνεσιν ἐξ ἴσου δωρουμένη χάρις· τοῦτο δὲ ἦν ὁ Χριστὸς τοῦ Θεοῦ, ὃν λαβὼν Συμεὼν ἐν ἀγκάλαις ἀναγέγραπται εἰρηκώς, «Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ Σωτήριόν σου[1]», καὶ τὰ ἑξῆς.

Στίχ· ς'. «Ἄρατε εἰς τὸν οὐρανὸν τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἐμβλέψατε εἰς τὴν γῆν κάτω· ὅτι ὁ οὐρανὸς ὡς καπνὸς ἐστερεώθη, ἡ δὲ γῆ ὡς ἱμάτιον παλαιωθήσεται· οἱ δὲ κατοικοῦντες ὥσπερ ταῦτα ἀποθανοῦνται· τὸ δὲ Σωτήριόν μου εἰς τὸν αἰῶνα ἔσται· ἡ δὲ δικαιοσύνη μου οὐ μὴ ἐκλείψῃ·»

τὴν θεότητα τοῦ Λόγου σημαινούσης τῆς προφητείας· ὡς γὰρ τὴν ἀνθρωπότητα ἐδήλου διὰ τοῦ «Σωτηρίου», οὕτω καὶ τὴν θεότητα τοῦτον ᾐνίξατο τὸν τρόπον.

Στίχ. ζ'. «Ἀκούσατέ μου, οἱ εἰδότες κρίσιν, λαός, οὗ νόμος μου ἐν τῇ καρδίᾳ ὑμῶν.»

Ἑώρα γάρ, ὅτι οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ διωχθήσονται καὶ ὀνειδισθήσονται, καὶ φαυλισθήσονται ὑπὸ ἀνθρώπων, διωγμούς τε παντοίους καὶ πειρασμοὺς ὑπομενοῦσι. Διὸ περιφράττων αὐτοὺς ἐντεῦθεν ἤδη παραγγέλλει λέγων· «Μὴ φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε.» Χρὴ γὰρ ἀφορᾶν, φησί, ἐπὶ τὸ διαδεξόμενον αὐτοὺς τέλος.

Στίχ. η', θ'. «Ὡς γὰρ ἱμάτιον βρωθήσεται ὑπὸ χρόνου, καὶ ὡς ἔρια βρωθήσεται ὑπὸ σητός· ἡ δὲ δικαιοσύνη μου εἰς τὸν αἰῶνα ἔσται· τὸ δὲ Σωτήριόν μου εἰς γενεὰς γενεῶν. Ἐξεγείρου, ἐξεγείρου, Ἱερουσαλήμ, καὶ ἔνδυσαι τὴν ἰσχὺν τοῦ βραχίονός σου. Ἐξεγείρου ὡς ἐν ἀρχῇ ἡμέρας, ὡς γενεὰ αἰῶνος.»

Ἡ προσθήκη, «Ἱερουσαλήμ», ὡς ἐν τῇ Ἑβραϊκῇ ἀναγνώσει, οὔτε ἐν τοῖς λοιποῖς ἑρμηνευταῖς φέρεται, ἀλλὰ πάντες οὕτως ἐξέδωκαν· «Ἐξεγείρου, ἐξεγείρου, ἔνδυσαι κράτος, βραχίων Κυρίου.» Κατὰ πάντας τοίνυν οὐ τῇ Ἱερουσαλὴμ ὁ λόγος προσφωνεῖ, ἀλλὰ τῷ βραχίονι Κυρίου· ἀκόλουθον δ' ἂν εἴη καὶ ἡμᾶς εἰς τὸν βραχίονα Κυρίου τὴν τοῦ Κυρίου προσφώνησιν ἀναφέρειν, περὶ οὗ ἀνωτέρω εἴρηται, «Καὶ ἐπὶ τὸν βραχίονά μου ἔθνη ἐλπιοῦσιν.»

---

1. Λουκ. 2, 29.

Στίχ. ι', ια'. «Οὐ σὺ εἶ ἡ ἐρημοῦσα θάλασσα, ὕδωρ ἀβύσσου πλῆθος; ἡ θεῖσα τὰ βάθη τῆς θαλάσσης ὁδὸν διαβάσεως ῥυομένοις καὶ λελυτρωμένοις; Ὑπὸ γὰρ Κυρίου ἀποστραφήσονται, καὶ ἥξουσιν εἰς Σιὼν μετ' εὐφροσύνης καὶ ἀγαλλιάματος αἰωνίου. Ἐπὶ κεφαλῆς γὰρ αὐτῶν αἴνεσις, καὶ εὐφροσύνη καταλήψεται αὐτούς· ἀπέδρα ὀδύνη καὶ λύπη, καὶ στεναγμός·»

ὅτε καί, παντὸς φόβου ἐκτὸς γενόμενοι, οὐκέτι πολεμίους οὐδὲ ἐχθροὺς φοβήσονται.

Στίχ. ιβ'. «Ἐν» γὰρ «τῇ ἐπουρανίῳ Σιὼν ἀπέδρα ὀδύνη καὶ λύπη, καὶ στεναγμός. Ἐγώ εἰμι, ἐγώ εἰμι, ὁ παρακαλῶν σε. Γνῶθι τίς οὖσα, ἐφοβήθης ἀπὸ ἀνθρώπου θνητοῦ, καὶ ἀπὸ υἱοῦ ἀνθρώπου, οἳ ὡσεὶ χόρτος ἐξηράνθησαν.»

Αὐτὸς γάρ ἐστιν ὁ ἱλασμὸς ἡμῶν, καὶ ὁ παρακαλῶν τοὺς ταπεινούς. Σὺ μὲν γὰρ κατ' εἰκόνα γενομένη παρ' ἐμοῦ, μεγίστης ἠξίωσαι τιμῆς, ὡς παρακαλεῖσθαι ὑπ' ἐμοῦ· διό φημι, «Ἐγώ εἰμι ὁ παρακαλῶν σε.» Οὐκ οἶδα δὲ ὅπως ἐπιλαθομένη τῆς σαυτῆς ἀξίας, δειλίᾳ ὑπήχθης καὶ ἐφοβήθης. Λέγει δὲ ταῦτα ὡς πρὸς τοὺς δειλοτέρους καὶ ἀσθενεστέρους τῆς Ἐκκλησίας· οἱ γὰρ τελειωθέντες, καὶ τοῖς ἐν μαρτυρίῳ στεφάνοις κατακοσμηθέντες, ἔτυχον τῆς παρ' αὐτοῦ δόξης. Δέον γὰρ ἄφοβόν σε καὶ ἀτάραχον διαμένειν, ὡς ἂν ἐμὸν ὄντα λαόν, εἰς τὸ τέλος ἀφορῶντα τῆς φθαρτῆς τῶν ἀνθρώπων φύσεως, καὶ τοῦ μέλλοντος ὀλέθρου διαδέξασθαι τούτους αὐτούς, οὓς ἐφοβήθης· σὺ δὲ τούτους μὲν ἐφοβήθης.

Στίχ. ιγ'. «Ἐπελάθου δὲ Θεὸν τὸν ποιήσαντά σε, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ θεμελιώσαντα τὴν γῆν· καὶ ἐφοβοῦ ἀεὶ πάσας τὰς ἡμέρας τὸ πρόσωπον τοῦ θυμοῦ τοῦ θλίβοντός σε.»

Διὸ καὶ τοὺς κατὰ τῆς Ἐκκλησίας τῆς ἐμῆς διωγμοὺς εἰς δοκιμὴν τῶν ἐμῶν ἀθλητῶν ἀφίημι καὶ συγχωρῶ γίνεσθαι.

Στίχ. ιδ'-ις'. «Ὃν τρόπον γὰρ ἐβουλεύσατο τοῦ ἆραί σε, καὶ νῦν ποῦ ὁ θυμὸς τοῦ θλίβοντός σε; Ἐν γὰρ τῷ σῴζεσθαί σε, οὐ στήσεται, οὐδὲ χρονιεῖ· ὅτι ἐγὼ ὁ Θεός σου, ὁ ταράσσων τὴν θάλασσαν, καὶ ἠχῶν τὰ κύματα αὐτῆς, Κύριος Σαβαὼθ ὄνομά μοι. Θήσω τοὺς λόγους μου εἰς τὸ στόμα σου, καὶ ὑπὸ τὴν σκιὰν τῆς χειρός μου σκεπάσω σε, ἐν ᾗ ἔστησα τὸν οὐρανὸν καὶ ἐθεμελίωσα τὴν γῆν.»

Ὡς ἂν μή τι πάθοις τῶν ἐναντίων ὑπὸ τῶν πολεμούντων, ἵνα δὲ ἔτι μᾶλλον θαρσαλέα γένῃ καὶ ἀτρεμής, καὶ ἄπτωτος, μάνθανε, ὡς ἐν τῇ ἐμῇ χειρί, ἐν ᾗ ἔστησα τὸν οὐρανὸν καὶ ἐθεμελίωσα τὴν γῆν, καὶ τὸν σύμπαντα κόσμον ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγον, ἐν ταύτῃ σκεπάσειν σε ἐπαγγέλλομαι. Τί οὖν χρὴ ἀγωνιᾶν ἢ φοβεῖσθαι φόβον ἀνθρώπινον, δέον ὑποτρέχειν τὴν ἐμὴν σκιάν, μηδὲ ἀναχωρεῖν αὐτῆς, ἀλλὰ καὶ τοὺς λόγους μου πάντοτε φέρειν διὰ στόματος;

Στίχ. ιζ'. «Καὶ ἐρεῖ Σιών, Λαός μου εἶ σύ. Ἐξεγείρου, ἐξεγείρου, ἀνάστηθι Ἱερουσαλήμ, ἡ πιοῦσα ἐκ χειρὸς Κυρίου τὸ ποτήριον τοῦ θυ-

μου αὐτοῦ· τὸ ποτήριον γὰρ τῆς πτώσεως, τὸ κόνδυ τοῦ θυμοῦ ἐξέπιες καὶ ἐξεκένωσας.»

Ἔοικε σημαίνειν διὰ τούτων τὴν ἐσχάτην αὐτῆς πτῶσιν, ἣν πέπονθε μετὰ τὰ τολμηθέντα ἐν αὐτῇ κατὰ τοῦ Σωτῆρος ἡμῶν· διὸ καὶ τῆς ὀργῆς τοῦ Θεοῦ ἐπειράθη. Χρηστὸς δὲ ὢν ὁ λόγος καὶ φιλάνθρωπος, καὶ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὴν μετάνοιαν αὐτοῦ, παραινεῖ αὐτοῖς σπεύδειν εἰς μετάνοιαν, ὑπογράφων ἀγαθὰς ἐλπίδας εἰ μετανοήσειεν. Οὐκοῦν Ἱερουσαλήμ ἐστιν ἡ πιοῦσα τὸ ποτήριον τῆς ὀργῆς. Καὶ ἔστιν ἑτέρα Ἱερουσαλήμ, περὶ ἧς τὰ μάλιστα θεσπίζει. Διόπερ οὐ χρὴ συγχεῖσθαι, οὐδὲ νομίζειν περὶ τῆς αὐτῆς λέγεσθαι, οὐδὲ ἐναντία. Ἡ μὲν γάρ ἐστιν ἐν οὐρανῷ, ἧς καὶ βασιλεύειν λέγεται ὁ Θεός, ἧς οὔτ' ὀργὴ οὔτε θυμὸς ἅπτεται· ἀπέδρα γὰρ ὀδύνη καὶ λύπη, καὶ στεναγμὸς ἐξ αὐτῆς· ἡ δέ ἐστι συνεστῶσα ἐπὶ γῆς τοῦ Θεοῦ πόλις, δι' ἧς ἀπεδείκνυμεν σημαίνεσθαι τὸ θεοσεβὲς ἐν ἀνθρώποις πολίτευμα· ἑτέρα δὲ παρὰ ταύτας ἐστὶ ἡ τοῦ θυμοῦ τοῦ Θεοῦ πεπειραμένη διὰ τῆς τῶν οἰκητόρων παρανομίας.

Στίχ. ιη', ιθ'. «Καὶ οὐκ ἦν ὁ παρακαλῶν σε ἀπὸ πάντων τῶν τέκνων σου, ὧν ἔτεκες· καὶ οὐκ ἦν ὁ ἀντιλαμβανόμενος τῆς χειρός σου, οὐδὲ ἀπὸ πάντων τῶν υἱῶν σου, ὧν ὕψωσας. Διὸ ταῦτα ἀντικείμενά σοι· τίς συλλυπηθήσεταί σοι; Πτῶμα καὶ σύντριμμα, λιμὸς καὶ μάχαιρα· τίς παρακαλέσει σε;»

Πίνει δέ τις τὸ ποτήριον θυμοῦ καὶ πτώσεως, καὶ πίνων ἐκστραγγίζει, ὅτε πάσας ὑφίσταται τὰς τιμωρίας καὶ τὰς κολάσεις τὰς ἐπαγομένας ὑπὲρ ὧν ἔπραξεν ἀτοπημάτων. Ὡς δὲ ἰατρῶν παῖδες τοῖς καχεκτοῦσι πικρὰς προσάγουσιν ἀντιδόσεις, ὑπὲρ τοῦ καθᾶραι τὴν ἐν τῷ σώματι προκειμένην κάκωσιν· οὕτω καὶ περὶ τοῦ Θεοῦ λέλεκται, «Ποτήριον ἐν χειρὶ Κυρίου, οἴνου ἀκράτου[1]», καὶ τὰ ἑξῆς. Ἀναλόγως γὰρ τοῖς ὑποκειμένοις τῇ ψυχῇ πάθεσιν ὁ τῶν ψυχῶν ἰατρὸς τὰς τιμωρίας αὐτῇ προσάγει, ὥσπερ τινὰς ἀντιδότους θεραπευτικὰς ἐπὶ καθάρσει τῆς προκειμένης κακίας.

Στίχ. κ'. «Οἱ υἱοί σου οἱ ἀπορούμενοι, οἱ καθεύδοντες ἐπ' ἄκρου πάσης ἐξόδου, ὡς σεύτλιον ἡμίεφθον, οἱ πλήρεις θυμοῦ Κυρίου, ἐκλελυμένοι διὰ Κυρίου τοῦ Θεοῦ.»

Κατὰ τοὺς λοιποὺς ἑρμηνευτὰς ἀντὶ τοῦ, «ὡς σεύτλιον ἡμίεφθον», — «ὡς ὄρυξ», εἴρηται «ἠμφιβληστρευμένος.» Ὄρνεον δέ ἐστιν ὄρυξ, οὕτω καλούμενον, ᾧ παραβάλλει τοὺς υἱοὺς τῆς Ἱερουσαλήμ, ἀμφιβλήστρῳ τοῦ διαβόλου περιβληθέντας· διὸ καὶ τῷ θυμῷ παρεδόθησαν.

Στίχ. κα', κβ'. «Διὰ τοῦτ' ἄκουε, τεταπεινωμένη καὶ μεθύουσα οὐκ ἀπὸ οἴνου· οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ κρίνων τὸν λαὸν αὐτοῦ·»

«Ἰδοὺ εἴληφα ἐκ τῆς χειρός σου τὸ ποτήριον τῆς πτώσεως, τὸ κόνδυ τοῦ θυμοῦ μου, καὶ οὐ προσθήσῃ ἔτι πιεῖν αὐτό.» Ἐπαγγέλλεται

---

1. Ψαλμ. 74, 9.

δὲ τῇ Ἱερουσαλὴμ ὁ λόγος λήψεσθαι ἀπ' αὐτῆς ποτήριον τοῦ θυμοῦ, εἰ μετανοήσειε. Τὸ γὰρ, «Ἰδοὺ ἦρα», ἀντὶ τοῦ, «λήψομαι», εἴρηται.

Στίχ. κγ'. «Καὶ δώσω αὐτὸ εἰς τὰς χεῖρας τῶν ἀδικησάντων σε καὶ τῶν ταπεινωσάντων σε, οἳ εἶπαν τῇ ψυχῇ σου· Κῦψον, ἵνα παρέλθωμεν· καὶ ἔθηκας ἴσα τῇ γῇ τὰ μέσα σου ἔξω τοῖς παραπορευομένοις.»

Εἰκὸς δὲ ταῦτα λέγεσθαι καὶ περὶ ἀντικειμένων δυνάμεων, αἷς ὑποτάσσει ἑαυτὴν πᾶσα ψυχὴ ἡ τοῦ Θεοῦ ἀποστᾶσα. Ἡ μὲν γὰρ τῷ Θεῷ προσιοῦσα ὄρθιός ἐστι καὶ ἄνω βλέπουσα, καὶ πρὸς αὐτὸν ἐπηρμένη· ἡ δὲ συνάψασα ἑαυτὴν δαίμοσι πονηροῖς, τούτοις δηλονότι καὶ ὑποτέτακται.

ΚΕΦΑΛΑΙΟΝ ΝΒ'.

Στίχ. α'. «Ἐξεγείρου, ἐξεγείρου, Σιών· ἔνδυσαι τὴν ἰσχύν σου, Σιών· καὶ σὺ ἔνδυσαι τὴν δόξαν σου, Ἱερουσαλήμ, πόλις ἡ ἁγία. Οὐκέτι προστεθήσεται διελθεῖν διὰ σοῦ ἀπερίτμητος καὶ ἀκάθαρτος.»

Ἔχει γάρ τινα μεγίστην δύναμιν καὶ ἰσχὺν ἡ λογικὴ ψυχή, καὶ δόξαν ἔχει μεγάλην, ἅτε κατ' εἰκόνα τοῦ Θεοῦ πεποιημένη, καὶ ἐπαναλαβεῖν αὐτὴν βούλεται καὶ γενέσθαι πόλιν ἁγίαν· ὡς μηκέτι διαβαίνειν δι' αὐτῆς ἀπερίτμητον, μηδὲ ἀκάθαρτον. Διὰ μὲν οὖν τοῦ ἀπεριτμήτου τὸν ἀλλόφυλον καὶ ἀλλογενῆ σημαίνει, διὰ δὲ τοῦ ἀκαθάρτου, τὸν εἰδωλολάτρην.

Στίχ. β'. «Ἐκτίναξαι τὸν χοῦν, καὶ ἀνάστηθι· κάθισον, Ἱερουσαλήμ, ἔκδυσαι τὸν δεσμὸν τοῦ τραχήλου σου, ἡ αἰχμάλωτος θυγάτηρ Σιών.»

Ἐπ' αὐτῇ γὰρ ἦν τὸ ἀποτρίψασθαι τὸν περιπλασθέντα αὐτῇ χοῦν, καὶ διαναστῆναι τῆς ἐπισυμβάσης αὐτῇ πτώσεως, καὶ τὸ ἐκλῦσαι τὸν ἐπιτεθέντα αὐτῇ δεσμὸν τοῦ τραχήλου· ᾧ τὴν ψυχὴν ὥσπερ βρόχῳ κατέδησαν σειραῖς ἁμαρτιῶν αἱ ἀντικείμεναι δυνάμεις.

Στίχ. γ', δ'. «Ὅτι τάδε λέγει Κύριος· Δωρεὰν ἐπράθητε, καὶ οὐ μετὰ ἀργυρίου λυτρωθήσεσθε. Οὕτως λέγει Κύριος· Εἰς Αἴγυπτον κατέβη ὁ λαός μου τὸ πρότερον, παροικῆσαι ἐκεῖ, καὶ εἰς Ἀσσυρίους βίᾳ ἤχθησαν.»

Οὐ γὰρ ἦν σωματικὴ αὕτη αἰχμαλωσία, ἵνα διὰ λύτρων σωματικῶν τύχωσι τῆς ἐλευθερίας, ἐπειδὴ τὰς ψυχὰς ἦσαν πεπραμένοι. Διὰ τοῦτο οὐκ ἐν ἀργυρίῳ λυτροῦσθαι ἔμελλον, ἀλλὰ δηλονότι τοῦ Χριστοῦ τῷ τιμίῳ αἵματι.

Στίχ. ε'. «Καὶ νῦν τί ἐστε ὧδε; Τάδε λέγει Κύριος· Ὅτι ἐλήφθη ὁ λαός μου δωρεάν, θαυμάζετε καὶ ὀλολύζετε. Τάδε λέγει Κύριος· Δι' ὑμᾶς διὰ παντὸς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι.»

Σημαίνει δὲ διὰ τούτων ἡ προφητεία τὰς κατὰ Χριστοῦ βλασφημίας, ἃς δι' ἡμέρας ἁπάσας καὶ διὰ παντὸς ποιοῦνται οἱ ἄρχοντες τοῦ Ἰουδαίων ἔθνους.

Στίχ. ς΄. «Διὰ τοῦτο γνώσεται ὁ λαός μου τὸ ὄνομά μου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι ἐγώ εἰμι· αὐτὸς ὁ λαλῶν πάρειμι.»

Ποίᾳ δὲ ταύτῃ, ἀλλ' ὅταν ἐγώ, φησίν, αὐτός, ὁ νῦν διὰ τῶν προφητῶν ταῦτα φθεγγόμενος, τὴν ἐμαυτοῦ ποιήσομαι παρουσίαν εἰς ἀνθρώπους;

Στίχ. ζ΄. «Ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς πόδες εὐαγγελιζομένου ἀκοὴν εἰρήνης, ὡς εὐαγγελιζόμενος ἀγαθά, ὅτι ἀκουστὴν ποιήσω τὴν σωτηρίαν σου, λέγων· Σιών, βασιλεύσει σου ὁ Θεός»

Τοὺς μακαρισμοὺς καταγγέλλοντες, οὓς ὁ Σωτὴρ ἐδίδου διὰ τῆς εὐαγγελικῆς διδασκαλίας. Ἐλέγετο δὲ τὸ κήρυγμα τῇ Σιών, δηλαδὴ τῷ θεοσεβεῖ πολιτεύματι, καὶ τῷ χορῷ τῷ ἀποστολικῷ. Διὸ τὴν βασιλείαν τῶν οὐρανῶν ἅπασι κατήγγελλον ἀνθρώποις.

Στίχ. η΄. «Ὅτι φωνὴ τῶν φυλασσόντων σε ὑψώθη, καὶ τῇ φωνῇ ἅμα εὐφρανθήσονται· ὅτι ὀφθαλμοὶ πρὸς ὀφθαλμοὺς ὄψονται, ἡνίκα ἂν ἐλέησε Κύριος τὴν Σιών.»

Κατὰ δὲ τὸν Θεοδοτίωνα, «Φωνὴ τῶν σκοπῶν σου ἐπῆρε φωνήν· ἐπὶ τὸ αὐτὸ ἀγαλλιάσονται, ὅτι ὀφθαλμὸν ἐν ὀφθαλμοῖς ὄψονται·» σκοποὺς ἐνταῦθα τοὺς μαθητὰς καὶ ἀποστόλους τοῦ Σωτῆρος ἡμῶν ὀνομάζοντος τοῦ λόγου. Ὥσπερ γὰρ ἐκαλοῦντο σκοποὶ τοῦ ἐκ περιτομῆς λαοῦ οἱ παρ' αὐτοῖς γενόμενοι προφῆται, οὕτω καὶ νῦν τῆς νέας καὶ καινῆς Σιών, δηλαδὴ τῆς Ἐκκλησίας αὐτοῦ τοῦ Θεοῦ, καὶ τοῦ θεοσεβοῦς πολιτεύματος οἱ τοῦ Σωτῆρος ἡμῶν ἀπόστολοι γεγόνασι σκοποὶ καὶ φύλακες· οἵ, καὶ ὀφθαλμοφανῶς αὐτόπται καὶ αὐτήκοοι τοῦ Σωτῆρος γενόμενοι, ὕψωσαν τὴν ἑαυτῶν φωνήν, ὡς ἐξάκουστον αὐτὴν γενέσθαι πᾶσι τοῖς ἔθνεσιν. Οἱ δ' αὐτοὶ πάσης πνευματικῆς εὐφροσύνης ἐπληροῦντο, ἠλεημένης ὑπὸ τοῦ Θεοῦ τῆς ἀποδοθείσης ἡμῖν Σιών, καὶ τῶν πάλαι ἐρήμων αὐτῆς σῳζομένων διὰ τῆς σωτηρίου ἀπολυτρώσεως· διό φησι·

Στίχ. θ΄, ι΄. «Ῥηξάτω εὐφροσύνην ἅμα, τὰ ἔρημα Ἱερουσαλήμ· ὅτι ἠλέησε Κύριος αὐτήν, καὶ ἐρρύσατο Ἱερουσαλήμ. Καὶ ἀποκαλύψει Κύριος τὸν βραχίονα τὸν ἅγιον αὐτοῦ ἐνώπιον πάντων τῶν ἐθνῶν, καὶ ὄψονται πάντα τὰ ἄκρα τῆς γῆς τὴν σωτηρίαν τὴν παρὰ τοῦ Θεοῦ ἡμῶν.»

Ὁρᾷς ὅπως καὶ διὰ τούτων τοῖς ἔθνεσι τὰ εὐαγγελικὰ κηρύγματα ἐπαγγελλόμενος ὑπισχνεῖται; Τὸν γὰρ βραχίονα τὸν ἅγιον αὐτοῦ, οὗτος δὲ ἦν ὁ τοῦ Θεοῦ Λόγος, ἀποκαλύπτειν τὸν Θεόν φησι πᾶσι τοῖς ἔθνεσιν. Οὐκοῦν, ἐπειδὰν προσφωνῇ τῇ Σιὼν καὶ Ἱερουσαλήμ, τὰ λεγόμενα ἐπὶ τὴν τῶν ἐθνῶν κλῆσιν ἀναφέρεται.

Στίχ. ια΄. «Ἀπόστητε, ἀπόστητε, ἐξέλθετε ἐκεῖθεν, καὶ ἀκαθάρτου μὴ ἅψησθε· ἐξέλθετε ἐκ μέσου αὐτῆς·»

δῆλον δὲ ὅτι ἐκ τοῦ ἀπίστου λαοῦ καὶ ἀκαθάρτου. «Ἀφορίσθητε, οἱ φέροντες τὰ σκεύη Κυρίου.» Σκεύη Κυρίου ἦν τὰ ἐκλεχθέντα ὑπὸ τοῦ Κυρίου σώματα αὐτῶν, ἐν ἁγιωσύνῃ καὶ τιμῇ τῷ Θεῷ ἀφωρισμένα·

ἢ καὶ σκεύη Κυρίου ἐτύγχανε τὰ τῆς Καινῆς Διαθήκης Εὐαγγέλια· ἅπερ ἐπικομιζομένους ἀπαλλάττεσθαι τῆς ἀπιστίας τοῦ Ἰουδαίων λαοῦ, καὶ ἀφορίζεσθαι αὐτῶν προστάττει.

Στίχ. ιβ΄. «Ὅτι οὐ μετὰ ταραχῆς ἐξελεύσεσθε, οὐδὲ φυγῇ πορεύσεσθε· προπορεύσεται γὰρ πρότερος ὑμῶν Κύριος, καὶ ὁ ἐπισυνάγων ὑμᾶς Ἰσραήλ.»

Οὐ γὰρ ὡς ἐλαυνόμενοι προσῆλθον εἰς τὴν περίοδον τῶν ἐθνῶν οἱ ἀπόστολοι, ἀλλὰ προθυμίᾳ πάσῃ καὶ προαιρέσει αὐτεξουσίῳ, κελευσθέντες μαθητεῦσαι πάντα τὰ ἔθνη ἐν τῷ ὀνόματι αὐτοῦ.

Στίχ. ιγ΄. «Ἰδοὺ συνήσει ὁ παῖς μου καὶ ὑψωθήσεται καὶ δοξασθήσεται σφόδρα.»

Δι᾽ ὧν τὴν μετὰ τὸν θάνατον ἀνάστασιν, καὶ τὴν εἰς οὐρανοὺς ἀνάληψίν τε καὶ ὕψωσιν σημαίνει. Δοῦλον δὲ αὐτόν, κατὰ τὸν Ἀκύλαν, εἰκότως ἀποκαλεῖ διὰ τὴν μορφὴν τοῦ δούλου, ἣν ἀνείληφε. «Ἑαυτὸν» γὰρ «ἐκένωσεν ἐν μορφῇ δούλου ὑπάρχων Θεὸς Λόγος», κατὰ τὸν ἱερὸν Ἀπόστολον, «μορφὴν δούλου λαβών, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος.[1]» Ἀλλ᾽ αὐτὸς ὁ παῖς τοῦ Θεοῦ καὶ δοῦλος πάσης ἐπληροῦτο σοφίας καὶ ἐπιστήμης, τὸν Θεοῦ Λόγον εἰς αὐτὸν χωρήσας.

Στίχ. ιδ΄, ιε΄. «Ὃν τρόπον ἐκστήσονται ἐπὶ σὲ πολλοί, οὕτως ἀδοξήσει ἀπὸ τῶν ἀνθρώπων τὸ εἶδός σου, καὶ ἡ δόξα σου ἀπὸ τῶν υἱῶν ἀνθρώπων. Οὕτω θαυμάσονται ἔθνη πολλὰ ἐπ᾽ αὐτῷ, καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν· ὅτι οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι.»

Τοῦτο γὰρ ἦν τὸ κινῆσαν τοὺς βασιλεῖς, λέγω δὴ τὸ διαδραμεῖν αὐτοῦ τὸν εὐαγγελικὸν λόγον καὶ ἐπὶ τὰ πορρωτάτω ἔθνη. Καὶ ταῦτα μὲν λόγοις ἐθεσπίζετο πάλαι· ἔργοις δὲ ἐπληροῦτο, ἐπὶ τῆς εἰς αὐτοὺς τοῦ Σωτῆρος ἡμῶν παρόδου· ὃν ὀφθαλμοῖς ἰδόντες Ἰουδαίων παῖδες, φωνῆς τε αὐτοῦ ὑπακούσαντες, οὔτε συνῆκαν, οὔτε λαλοῦντι παρέσχον τὴν ἀκοήν· ὥστε καὶ τὴν ἔμπροσθεν προφητείαν εἰς αὐτοὺς πεπληρῶσθαι, τὴν φήσασαν, «Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε.»

ΚΕΦΑΛΑΙΟΝ ΝΓ΄.

Στίχ. α΄. «Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;»

Ἀποθαυμαστικῶς οἱ τοῦ Θεοῦ προφῆται, τὴν ἀπιστίαν ὁρῶντες τοῦ Ἰουδαίων ἔθνους, τήν τε τῶν ἐθνῶν ἐπιστροφὴν καὶ ὑπακοὴν θεώμενοι, ταῦτ᾽ ἔλεγον. Βραχίονα δὲ τοῦ Θεοῦ λέγεσθαι τὸν μονογενῆ Υἱόν, πολλάκις ἀπεδείξαμεν· ὃς πᾶσι τοῖς εἰς αὐτὸν πεπιστευκόσιν ἔθνεσιν ἐγνώσθη τοῖς προφήταις ἀκολούθως. «Ἀνηγγείλαμεν· ὡς παιδίον

1. Φιλιπ. 2, 6.

αὐτοῦ· ὡς ῥίζα ἐν γῇ διψώσῃ. Οὐκ ἔστιν εἶδος αὐτῷ, οὐδὲ δόξα· καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος, οὔτε κάλλος.» Γῆν μὲν ἄβατον αἰνιττόμενος τὴν Παρθένον, ἧς οὐδεὶς ἐπιβέβηκεν· ῥίζαν δὲ τὴν ἐκείνην, περὶ ἧς ἐλέγετο, «Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται.[1]» Κἀκεῖ γὰρ ἀναβήσεσθαι ἐδηλοῦτο, ἀλλ' ἐκεῖ μὲν ἐκ τῆς ῥίζης Ἰεσσαί, ἐνταῦθα δὲ ἀπὸ τῆς ἀβάτου γῆς τῆς δηλωθείσης.

Στίχ. γ', δ'. «Ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη, καὶ οὐκ ἐλογίσθη. Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται· καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ, καὶ ἐν κακώσει.»

Κοινοποιεῖ δὲ ὁ προφήτης συγκαταλέγων καὶ ἑαυτὸν διὰ φιλανθρωπίαν τοῖς μὴ λογισαμένοις τὸν Σωτῆρα· Οὐκ ἐλογισάμεθα αὐτόν, οὐδὲ προσεποιησάμεθα, οὐδὲ ἐννοήσαμεν τίς ποτε ἦν. Ὁ δὲ ἦν ἄρα ὁ τῶν ἡμετέρων ψυχῶν Σωτήρ, ἰατρεύων αὐτῶν, καὶ καθαίρων πάσης ἁμαρτίας. Ἀλλ' ἡμεῖς μὲν οἷα νήπιοι ταύτην εἴχομεν περὶ αὐτοῦ τὴν δόξαν· ὁ δὲ ταῦτα πάντα ἔπασχε δι' ἡμῶν, ἵνα ἡμᾶς ἐλευθερώσῃ πάσης ἁμαρτίας.

Στίχ. ε'. «Αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. Παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτόν· τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν.»

Τότε γοῦν καὶ συνετρίβη καὶ ἐβεβηλώθη, κατὰ τὸν Ἀκύλαν, καὶ πάντα τὰ χείριστα ὑπέμεινε, οὐ διά τινος οἰκείας ἁμαρτίας, διὰ δὲ τὰς ἡμετέρας. Καὶ γέγονεν ἡ παιδεία τῆς εἰρήνης ἡμῶν ἐπ' αὐτόν· ἅπερ γὰρ ἐχρῆν ἡμᾶς παθεῖν παιδευομένους διὰ τὰς ἁμαρτίας τὰς ἡμετέρας, ταῦτ' ἐπ' αὐτὸν ἦλθεν ὑπὲρ τῆς ἡμετέρας εἰρήνης τῆς πρὸς Θεόν. Ἐπεὶ καὶ μώλωπας εἰκὸς ἦν αὐτὸν φέρειν κατὰ τοῦ σώματος καὶ τραύματα, τυπτόμενον καὶ μαστιγούμενον, καὶ τὰς ὄψεις ῥαπιζόμενον, τήν τε κεφαλὴν καλάμῳ παιόμενον. Πλὴν οἱ μώλωπες οὗτοι σωτῆρες ἦσαν ἡμῶν. «Τῷ» γὰρ «μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν.» Τίνες δὲ ἡμεῖς ἀλλ' ἢ οἱ πάλαι πλανηθέντες, καὶ μὴ λογισάμενοι αὐτόν, μηδὲ συνιέντες τίς ποτε ἦν;

Στίχ. ς', ζ'. «Πάντες ὡς πρόβατα ἐπλανήθημεν· ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη. Καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν· καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα.»

Ἄλλος γὰρ ἄλλην ὁδὸν ὥδευσε πλάνης, διάφορα περὶ αὐτοῦ καὶ ἐναντία δοξάσης· τῷ δὲ ἄρα οὐκ ἀθεεὶ ἐγίνετο τὰ γινόμενα. Αὐτὸς

1. Ἠσ. 11, 1.

γὰρ ἑαυτὸν παρεδίδου ὁ Κύριος ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ἵνα γένηται ἀντίψυχον καὶ ἀντίλυτρον ἡμῶν. Οὕτω γὰρ καὶ Ἀμνὸς τοῦ Θεοῦ γέγονεν, αἴρων καὶ περικαθαίρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Ὁ δὲ Σύμμαχος, «Προσηνέχθη», φησί, «καὶ αὐτὸς ὑπήκουσε.» Τίνι δὲ προσηνέχθη ἀλλ' ἢ τῷ Πιλάτῳ; Καὶ ἐπειδὴ κατηγορούμενος ἐσιώπα, καὶ ψευδομαρτυρούμενος οὐδὲν ἀπεκρίνατο.

Στίχ. η'. «Ἐν τῇ κακώσει ἡ κρίσις αὐτοῦ ἤρθη. Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον.»

Διελθὼν αὐτοῦ τὰ πάθη, ἀναπέμπει τὴν τῶν ἀκουόντων διάνοιαν ἐπὶ τὴν τῆς γενέσεως αὐτοῦ φαντασίαν, ἐπιλέγων, «Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;» Τότε γὰρ μάλιστά τις μεῖζον λοιπὸν λήψεται θαῦμα τῆς τῶν τοσούτων ὑπομονῆς, ὅταν εἰς ἔννοιαν ἔλθῃ τίς ὢν καὶ ὁποῖος, καὶ ἐκ Θεοῦ γεγεννημένος μονογενὴς ταῦτα πάντα ὑπέστη.

Στίχ. θ'. «Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ· ὅτι ἀνομίαν οὐκ ἐποίησε, οὐδὲ δόλον, ἐν τῷ στόματι αὐτοῦ.»

Τίς δὲ δώσει ἢ ὁ τῶν ὅλων κριτής; καὶ τίνας ἢ τοὺς τὰ εἰρημένα δεδρακότας, οὓς καὶ παρέδωκεν αὐτίκα καὶ οὐκ εἰς μακρὰν ἐχθροῖς, καὶ πολεμίοις, καὶ πολιορκηταῖς; Ὃ δὴ καὶ αὐτὸ παραχρῆμα συνέβη, ἐξ ἀνθρώπων ἀφανισθῆναι τὸ μνημόσυνον αὐτῶν πάλαι παρὰ Ἰουδαίων πολλὰ δεδυνημένων, Φαρισαίων καὶ γραμματέων, καὶ Σαδδουκαίων· καὶ ἔτι πρὸς τούτοις, ἱερέων τε καὶ ἀρχιερέων, καὶ τῶν παρ' αὐτοῖς βασιλικῇ ἀξίᾳ τετιμημένων. Οὗτοι γὰρ ἦσαν οἱ ἐνταῦθα λεγόμενοι πλούσιοι· οὓς μετῆλθεν οὐκ εἰς μακρὰν ἡ ὀργὴ τοῦ Θεοῦ, διότι ἀναμάρτητον ὄντα τὸν Χριστὸν τοιαύτῃ κολάσει ὑποβεβλήκασιν. «Ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ δόλον ἐν τῷ στόματι αὐτοῦ.» Λέγω δὴ τὸ δι' ὅλης τῆς τοῦ βίου ζωῆς ἀναμάρτητον ἐν λόγῳ καὶ ἔργῳ. «Οὐδεὶς οὖν καθαρὸς γέγονεν ἀπὸ ῥύπου, οὐδ' εἰ μία ἡμέρα ἦν ἡ ζωὴ αὐτοῦ [1]», ἢ μόνος αὐτός.

Στίχ. ι'. «Καὶ Κύριος βούλεται καθαρίσαι αὐτὸν τῆς πληγῆς.» Οὐκοῦν ὑπὲρ πάντων αὐτὸς ἀπέθανεν, ἵνα καθάρῃ καὶ περιέλῃ τὴν ἁμαρτίαν τοῦ κόσμου· διὸ καὶ ἔκρινεν ὁ Θεὸς καὶ Πατὴρ αὐτοῦ καθαρίσαι αὐτὸν τῆς πληγῆς, τουτέστι τοῦ ἐπενεχθέντος αὐτῷ πάθους. «Ἐὰν δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον.» Ὃ δὲ λέγει τοιοῦτόν ἐστι. Μετὰ τὰ προλεχθέντα πάντα, εἴ τις τῶν εἰς αὐτὸν ἠσεβηκότων βουληθείη θυσίαν ἀνενεγκεῖν ὑπὲρ τῆς ἑαυτοῦ ἁμαρτίας, τουτέστιν ἐξομολόγησιν καὶ μετάνοιαν τῶν ἡμαρτημένων ἐνδείξασθαι, οὐκ ἀποτεύξεται εἰς αὐτὸν ἀγαθῆς ἐλπίδος. Εἰ γὰρ καὶ τὰ μάλιστα εἴρηται, ὅτι «Δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ·» ἀλλ' ὅμως ἐὰν

1. Πρβλ. Ἰὼβ 14, 4-5.

δῶτε ὑμεῖς τὰ τοιαῦτα τολμήσαντες τὸ ὑπὲρ ἁμαρτίας δῶρον, τεύξεσθε ἀφέσεως, ἡ ψυχὴ ὑμῶν σωθήσεται· ἀλλὰ καὶ ὄψεται μακρόβιον σπέρμα· τοῦτο δὲ ἦν τὸ ὑπ' αὐτοῦ καταβληθὲν εἰς ἀνθρώπους, περὶ οὗ ἐν παραβολαῖς διδάσκων ἔλεγεν· «Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι·[1]» καὶ πάλιν· «Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ ἰδίῳ ἀγρῷ.[2]»

Στίχ. ια'. «Καὶ βούλεται Κύριος ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς, καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς.»

Τοῦτο δὲ ἐπὶ μόνου τοῦ Σωτῆρος ἡμῶν λέγεσθαι ἁρμόζει· διὰ παντὸς γὰρ τὸ τοῦ Πατρὸς θέλημα ἐν τῇ χειρὶ αὐτοῦ κατευωδοῦτο. Ἔδωκε δὲ αὐτῷ καὶ φῶς εἰς τὸ φωτίζεσθαι τοὺς δι' αὐτοῦ δικαιουμένους· σύνεσιν δὲ αὐτῷ ἐδωρήσατο· ἐπανεπαύσατο γὰρ ἐπ' αὐτὸν πνεῦμα σοφίας καὶ συνέσεως εἰς τὸ συνετοὺς ἀπεργάζεσθαι, καὶ δικαιοῦν τοὺς ἀξίους τοῦ δικαιοῦσθαι.

Στίχ. ιβ'. «Καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει. Διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλούς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα· ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη· καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε, καὶ διὰ τὰς ἀνομίας αὐτῶν παρεδόθη.»

Ἀναλαμβάνων γὰρ τὸ μέτρον τῶν πάλαι ἁμαρτωλῶν, καὶ ἀσεβῶν εἰς ἑαυτὸν τὰς ἀσεβείας, καὶ ἀποδιδύσκων αὐτοὺς τὸν τῆς ἁμαρτίας χιτῶνα, δικαίους αὐτοὺς ἀπεργάζεται. Διὰ τοῦτο γὰρ ἐπειδὴ εἰς ἑαυτὸν τὰς τῶν πολλῶν ἀνέλαβεν ἁμαρτίας, τούτου χάριν καὶ δεδύνηται κλῆρον ἑαυτῷ ποιήσασθαι τοὺς πάντας. Εἰ γὰρ μὴ οἷός τε ἦν ἀφιέναι ἁμαρτίας, διέμειναν ἐν τοῖς ἑαυτῶν πλημμελήμασι, καὶ οὐκ ἂν ἔτυχον σωτηρίας. Νῦν δὲ ἐπειδὴ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνέλαβε, διὰ τοῦτο καὶ κληρονόμους αὐτοὺς εἴληφε παρὰ τοῦ Πατρός· τῶν ἀντικειμένων δηλαδὴ δυνάμεων τῶν τε πονηρῶν δαιμονίων ἐξαρπάσας τὰς αἰχμαλώτους ὑπ' αὐτῶν γεγενημένας ψυχάς, σκῦλα ἑαυτῷ ἐποιήσατο· ἅπερ σκῦλα τοῖς ἑαυτοῦ μαθηταῖς διένειμε, διαφόρους ἐξ αὐτῶν συστησάμενος Ἐκκλησίας· ὥσπερ τινὰ μισθὸν παρὰ τοῦ Πατρὸς τοῦτ' εἰληφώς, λέγω δὴ τὸ ἀφιέναι ἁμαρτίας τοῖς προημαρτηκόσι, καὶ ὑπὸ τὸν αὐτοῦ κλῆρον ὑπάγειν αὐτούς. Πῶς δὲ ἐν ἀνόμοις ἐλογίσθη, διδάσκει τὸ Εὐαγγέλιον· καθ' ὃν καιρὸν συνεσταύρωντο αὐτῷ παρ' ἑκάτερα οἱ λησταί, πεπληρῶσθαι λέγω τὴν προφητείαν.

ΚΕΦΑΛΑΙΟΝ ΝΔ'.

Στίχ. α'. «Εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα· ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.»

---

1. Λουκ. 8, 5. 2. Ματθ. 13, 37.

Διὰ τῶν προκειμένων ὁ λόγος εὐαγγελίζεται τὴν δι' αὐτοῦ καθ' ὅλης τῆς οἰκουμένης ἱδρυθεῖσαν Ἐκκλησίαν, πάλαι οὖσαν ἔρημον, καὶ ἄγονον καὶ ἄκαρπον, διὸ καὶ στεῖραν αὐτὴν ὀνομάζει. Ἐπειδὴ τοιαῦταί τινες ἦσαν πάλαι αἱ τῶν ἀπίστων ψυχαί. Καὶ γὰρ ἦν πάλαι ἡ ἐξ ἐθνῶν Ἐκκλησία ἠφανισμένη καὶ ἔρημος, ἅτε μηδέπω τὸν ἐπουράνιον κεκτημένη νυμφίον. Πλὴν πολυκαρπίαν αὐτῇ καὶ πολυπαιδίαν ἐπαγγέλλεται πλείονα τῆς ἐχούσης τὸν ἄνδρα. Τίς δὲ ἦν αὕτη ἢ τὸ Ἰουδαίων ἔθνος, καὶ ἡ παρ' αὐτοῖς πάλαι τετιμημένη ὡς Θεοῦ πόλις Ἱερουσαλήμ; Ἥτις ἔχουσα τὸν ἄνδρα, τὸν ἐπουράνιον λόγον, ἠλέγχετο ἀποστασίου βιβλίον αὐτῷ δεδωκυῖα. Ἐν παραθέσει τοίνυν τῆς πάλαι τὸν ἄνδρα κεκτημένης, ἡ ἐν τοῖς ἔθνεσιν ἔρημος οὖσα τὸ πρὶν Θεοῦ ψυχὴ ἐπαγγελίας ἀξιοῦται χρηστῆς, πολυπαιδίαν καὶ πολυτεκνίαν αὐτῇ εὐαγγελιζομένου τοῦ λόγου· ὡς ἐν παραθέσει τοῦ ἐκ περιτομῆς λαοῦ τὰ τέκνα ταύτης πολυπλασιάζεσθαι.

Στίχ. β'. «Εἶπε γὰρ Κύριος· Πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου, καὶ τὰς δέρρεις τῶν αὐλαιῶν σου πῆξον· μὴ φείσῃ· μάκρυνον τὰ σχοινίσματά σου, καὶ τοὺς πασσάλους σου κατίσχυσον.»

Λέλεκται δὲ ταῦτα ὡς ἂν καὶ ἐπὶ τῆς σκηνῆς τῆς ὑπὸ Μωϋσέως κατασκευασθείσης· ἐκείνῃ γὰρ χρησάμενος ὁ λόγος εἰκόνι, τῇ ἐξ ἐθνῶν Ἐκκλησίᾳ προσφωνεῖ μὴ κατ' ἐκείνην σμικρῦναι τὴν ἑαυτῆς οἰκοδομήν, ἀλλὰ πλατῦναι τὴν σκηνοπηγίαν ἑαυτῆς, ἐκτείνασαν εἰς ἄφατον μῆκός τε καὶ πλάτος. Ἡ μὲν γὰρ ὑπὸ Μωϋσέως κατασκευασθεῖσα, πήχεων ἦν ρ' μῆκος· πλάτος δὲ ν'. Ἐνταῦθα δέ φησι, Μὴ φείσῃ τούτου, μηδὲ στενοχωρήσῃς σευατὴν τοῖς μέτροις· ἀλλ' ἐκτείνασα μακράν, καὶ κτίσασα, καὶ τὰ ἑξῆς. Νοήσεις δὲ τὸ μῆκος καὶ τὸ πλάτος, καὶ τὸ μέγεθος τῆς νέας ταύτης σκηνῆς, ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος, ἐπὶ νοῦν λαβών, ὅση μὲν ὑπῆρχε τοῖς μέτροις ἡ ἐπὶ Μωϋσέως κατασκευασθεῖσα, ὅση ἦν Ἱερουσαλὴμ τὸν νεὼν ἔχουσα, μήκους ἦν πηχῶν μ', πλάτους κ'. Ὡς εἴπερ ἦν θαύματος ἄξιος ὅ τε νεὼς ἐν μιᾷ πόλει τῆς Παλαιστίνης ἱδρυμένος, πόσῳ μᾶλλον τὸ πλῆθος καὶ τὰ μεγέθη, καὶ τὰ κάλλη τῶν κατὰ πάντα τόπον ἀνεγηγερμένων ἐκκλησιῶν τοῦ Θεοῦ· μεστὴ γὰρ ἐκκλησιῶν ἡ ὑπ' οὐρανόν.

Στίχ. γ'. «Ἔτι εἰς τὰ δεξιὰ καὶ τὰ ἀριστερά σου ἐκπέτασον, καὶ τὸ σπέρμα σου ἔθνη κληρονομήσει, καὶ πόλεις ἠρημωμένας κατοικιεῖς.»

Σπέρμα δὲ τῆς Ἐκκλησίας τοῦ Θεοῦ εἴη ἂν καὶ ὁ εὐαγγελικὸς λόγος, περὶ οὗ λέγεται· «Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι [1]», καί, «Οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ ἀγρῷ; [2]» Καὶ πάλιν δύναται δὲ σπέρμα εἶναι τῆς Ἐκκλησίας καὶ ἡ τῶν ἀποστόλων καὶ μαθητῶν τοῦ Κυρίου ἡμῶν διδαχή· δι' ὧν ἡ θεοσεβὴς πολιτεία ἐν ταῖς πάλαι ἠφανισμέναις καὶ Θεοῦ ἐρήμοις ἐκκλησίαις συνέστη.

---

1. Ματθ. 13, 3. 2. Ματθ. 13, 27.

Στίχ. δ'. «Μὴ φοβοῦ, ὅτι κατῃσχύνθης, μηδὲ ἐντραπῇς, ὅτι ὠνειδίσθης· ὅτι αἰσχύνην αἰώνιον ἐπιλήσῃ, καὶ ὄνειδος τῆς χηρείας σου οὐ μὴ μνησθήσῃ ἔτι.»

Ὅτε μὲν γὰρ ἦν στεῖρα, καὶ οὐ τίκτουσα, οὐδὲ ὠδίνουσα, μηδὲ τὸν ἄνδρα ἔχουσα, ἐπονείδιστος ἦν καὶ αἰσχύνης ἔμπλεος· ἀλλὰ νῦν φησι πρὸς αὐτήν· Εἰ καὶ πάλαι ποτὲ αἰσχύνης καὶ ὀνείδους ἔπραττες ἄξια, θάρσει· «Ὅτι αἰσχύνην αἰώνιον ἐπιλήσῃ, καὶ ὄνειδος τῆς χηρείας σου οὐ μὴ μνησθήσῃ.» Χηρείαν δὲ ἀποκαλεῖ καὶ ἐνταῦθα τὴν στέρησιν τοῦ νυμφίου Λόγου· ἧς οὐ μνησθήσῃ, φησίν·

Στίχ. ε'. «Ὅτι Κύριος τῶν δυνάμεών ἐστιν ὁ ποιῶν σε, Κύριος ὄνομα αὐτῷ, καὶ ῥυσάμενός σε· αὐτὸς Θεὸς Ἰσραὴλ πάσῃ τῇ γῇ κληθήσεται.»

Οὐ γὰρ ἐξ ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου τὰ τῆς συστάσεως γέγονεν, ἀλλὰ δι' αὐτοῦ τοῦ Κυρίου.

Στίχ. ς'-ι'. «Οὐχ ὡς γυναῖκα καταλελειμμένην καὶ ὀλιγόψυχον κέκληκέ σε ὁ Κύριος, οὐδ' ὡς γυναῖκα ἐκ νεότητος μεμισημένην Εἶπεν ὁ Θεός σου· Χρόνον μικρὸν κατέλιπόν σε, καὶ μετ' ἐλέους μεγάλου ἐλεήσω σε, εἶπεν ὁ ῥυσάμενός σε Κύριος. Ἀπὸ τοῦ ὕδατος τοῦ ἐπὶ Νῶε τοῦτό μοί ἐστι, καθότι ὤμοσα αὐτῷ ἐν τῷ χρόνῳ ἐκείνῳ τῇ γῇ μὴ θυμωθήσεσθαι ἐπὶ σοὶ ἔτι, μηδὲ ἐν ἀπειλῇ σου τὰ ὄρη μεταστήσεσθαι, οὐδ' οἱ βουνοί μου μετακινηθήσονται. Οὕτως οὐδὲ τὸ παρ' ἐμοῦ σοι ἔλεος ἐκλείψει, οὐδὲ ἡ διαθήκη τῆς εἰρήνης σου οὐ μὴ μεταστῇ· εἶπε γάρ· Ἵλεώς σοι Κύριος.»

Θᾶττον γὰρ τὰ ὄρη μεταστήσονται τῶν οἰκείων τόπων, καὶ οἱ βουνοὶ ταραχθήσονται, ἢ τὸ ἐμὸν ἔλεος ἀπὸ σοῦ κινηθήσεται. Καὶ ταῦτα δὲ τῷ θεοσεβεῖ πολιτεύματι ἐπαγγέλλεται ὁ λόγος, καὶ πάλαι μὲν ἦν παρὰ Ἰουδαίοις, διαπεσὸν δὲ παρ' αὐτοῖς, ἐπὶ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν μεταβέβηκεν.

Στίχ. ια'. «Ταπεινὴ καὶ ἀκατάστατος, οὐ παρεκλήθης. Ἰδοὺ ἐγὼ ἑτοιμάζω σοι ἄνθρακα τὸν λίθον σου, καὶ τὰ θεμέλιά σου σάπφειρον.»

Ἦν γὰρ παρὰ Ἰουδαίοις τῷ ὄντι ἡ ταπεινὴ σωματικὴ θρησκεία, ἡ ἐν σώματι περιτομή, καὶ ἐν οὐσίαις ζῴων καὶ ταῖς τούτων θυσίαις, καὶ τοῖς ἄλλοις παραπλησίοις ἐξεταζομένη· διό ταπεινὴν καὶ ἀκατάστατον αὐτὴν ὠνόμασεν. Εἶτ' ἐπιλέγει· «Οὐ παρεκλήθης·» οὐδεὶς γὰρ ἦν τῶν προφητῶν, οὐδὲ τῶν θεοφιλῶν ἀνδρῶν τοσοῦτος, ὡς ἀναλαβεῖν αὐτὴν καὶ ἀνακτήσασθαι.

«Ἰδοὺ ἐγὼ ἑτοιμάζω σοι ἄνθρακα τὸν λίθον σου, καὶ τὰ θεμέλιά σου σάπφειρον.» Ἀνθ' οὗ ὁ Σύμμαχος, «Ἰδοὺ ἐγώ», φησί, «συντίθημι στιμμίᾳ τοὺς λίθους σου·» ὁ Θεοδοτίων, «Ἰδοὺ ἐγώ εἰμι ἐμβαλῶν στιμμῇ τοὺς λίθους σου.» Ὡς γὰρ ἂν γυνὴ καλλωπιζομένη στιμμίζοιτο τοὺς ὀφθαλμούς· οὕτως αὐτὸς ἐγώ, φησίν, ὑπὲρ πάντα ὡραϊσμὸν καὶ καλλωπισμὸν τοὺς τῆς σῆς οἰκοδομῆς λίθους διαθήσω.

Στίχ. ιβ'. «Καὶ θήσω τὰς ἐπάλξεις σου ἴασπιν, καὶ τὰς πύλας σου λίθους κρυστάλλου, καὶ τὸν περίβολόν σου λίθους ἐκλεκτούς.»

Τοιοῦτοι δ' ἂν εἶεν ἐν τῇ 'Εκκλησίᾳ Θεοῦ οἱ λογικῇ παρασκευῇ τὴν πίστιν ὠχυρωμένοι, ὥστε προμαχῶνες ὄντες τοῦ θεοσεβοῦς πολιτεύματος, διὰ τὸ δύνασθαι πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ καθαιρεῖν, καὶ διελέγχειν πάντα λόγον ψευδῆ τὸν τῆς ἀληθείας πολέμιον. Ὥσπερ γὰρ ἐπὶ τῶν τειχῶν αἱ ἐπάλξεις προμαχῶνές εἰσιν ἐπὶ παρασκευῇ τῇ πρὸς τοὺς πολεμίους παρατάξεως παρεσκευασμένοι· οὕτω καὶ τῆς 'Εκκλησίας οἱ ἐν λόγῳ καὶ ἐν σοφίᾳ δυνατοί, λεχθεῖεν ἂν εἰκότως ἐπάλξεις. «Καὶ τὰς πύλας σου λίθους κρυστάλλου·» δι' ὧν τὰς πύλας τῆς πόλεως συστήσας, θεσπίζει τὸ διαυγὲς καὶ καθαρὸν τῆς ὑγιοῦς πίστεως, παριστὰς τῶν πεπιστευμένων τὴν πρώτην καὶ στοιχειώδη, καὶ εἰσακτικὴν διδασκαλίαν. «Καὶ τὸν περίβολόν σου λίθους ἐκλεκτούς.» Τοιοῦτοι δ' ἂν εἶεν οἱ περιφράττοντες, καὶ ἀντὶ παντὸς ἕρκους ἀσφαλιζόμενοι διὰ τῶν πρὸς τὸν Θεὸν εὐχῶν τὴν πᾶσαν οἰκοδομὴν τῆς πόλεως, μεγάλα καὶ πολυτελῆ, καὶ ἔντιμα οἰκοδομήματα.

Στίχ. ιγ'. «Καὶ πάντας τοὺς υἱούς σου διδακτοὺς Θεοῦ, καὶ ἐν πολλῇ εἰρήνῃ τὰ τέκνα σου.»

Διδακτοὺς Θεοῦ ἀποκαλεῖ τοὺς υἱοὺς τῆς πάλαι στείρας· ἀλλὰ καὶ ἐν πολλῇ εἰρήνῃ ἔσεσθαι αὐτῆς τὰ τέκνα· τοῦτο γὰρ αὐτοῖς ἐπηγγείλατο εἰπών· «Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν.[1]»

Στίχ. ιδ'. «Καὶ ἐν δικαιοσύνῃ οἰκοδομηθήσῃ. 'Απέχου ἀπ' ἀδίκου, καὶ οὐ φοβηθήσῃ, καὶ τρόμος οὐκ ἐγγιεῖ σοι.»

Τὰ μὲν γὰρ ἀνθρώπινα ἐπισκευάσματα, καὶ ἐξ ἀθνρωπίνης σπουδῆς συνιστάμενα, τοιαῦτά τινα τυγχάνει· διὸ καὶ εἰς φθορὰν χωρεῖ καὶ εἰς ἀπώλειαν· τὸ δὲ ἐμὸν ἔργον ἀδιάφθορον πέφυκε· καὶ οὐδὲ τοιοῦτον εὑρεθήσεται ἐπὶ τοῦ ἐμοῦ ἔργου, ὡς διαφθεῖραι καὶ ἀπολέσαι αὐτό.

Στίχ. ιε'-ιζ'. «'Ιδοὺ προσήλυτοι προσελεύσονταί σοι δι' ἐμοῦ, καὶ παροικήσουσί σοι, καὶ ἐπὶ σὲ καταφεύξονται. 'Ιδοὺ ἐγὼ ἔκτισά σε, οὐχ ὡς χαλκεὺς φυσῶν ἄνθρακας, καὶ ἐκφέρων σκεῦος εἰς ἔργον· ἐγὼ δ' ἔκτισά σε, οὐκ εἰς ἀπώλειαν φθεῖραι. Πᾶν σκεῦος σκευαστὸν ἐπὶ σέ, οὐκ εὐοδώσω· καὶ πᾶσα φωνὴ ἀναστήσεται ἐπὶ σὲ εἰς κρίσιν. Πάντας αὐτοὺς ἡττήσεις· οἱ δὲ ἔνοχοί σου ἔσονται ἐν αὐτῇ.»

Εἴποις δ' ἂν προσηλύτους μετὰ τὰ προλεχθέντα τῆς 'Εκκλησίας πράγματα, τοὺς οὐ γνησίους, οὐδὲ καθαρῶς προβάλλοντας ἐν τοῖς πλήθεσιν· οὓς καὶ παροικήσειν, ἀλλ' οὐ κατοικήσειν φησὶν αὐτήν, διὰ τὸ ὡς ἐν παρόδῳ ποιεῖσθαι αὐτοὺς τὴν εἴσοδον. «Ἔστι κληρονομία τοῖς θεραπεύουσι Κύριον, καὶ ὑμεῖς ἔσεσθέ μοι δίκαιοι, λέγει Κύριος·»

σφόδρα ἀκολούθως· μετὰ γὰρ τὰ προλεχθέντα πάντα, ἐχρῆν ὑπομνῆσαι καὶ τῆς ἐγκειμένης ἐν τῷ μέλλοντι αἰῶνι κληρονομίας. Τίς δ' ἂν γένοιτο αὕτη ἀλλ' ἡ βασιλεία τῶν οὐρανῶν καὶ ζωὴ αἰώνιος;

---

1. 'Ιω. 14, 27.

ΚΕΦΑΛΑΙΟΝ ΝΕ'.

Στίχ. α'-γ'. «Οἱ διψῶντες, πορεύεσθε ἐφ' ὕδωρ, καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε, καὶ φάγετε ἄνευ ἀργυρίου οἶνον καὶ στέαρ. Ἵνα τί τιμᾶσθε ἀργυρίου, καὶ τὸν μόχθον ὑμῶν οὐκ εἰς πλησμονήν; Ἀκούσατέ μου. καὶ ζήσεται ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν, καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, τὰ ὅσια Δαυῒδ τὰ πιστά.»

Περὶ ἕτερα ἀσχολούμενοι, ἐξ ὧν οὐκ ἔστι ψυχὴν τραφῆναι, οὐδὲ εἰς πλησμονὴν ἀπολαῦσαι τροφῆς. Πρὸς γὰρ τοῖς προτέροις καὶ τῶν ἔργων ἀγαθῶν ἐλπίδα, καὶ τροφὴν ἔνθεον τεταμιεῦσθαί φησι ταῖς τῶν ὑπηκόων ψυχαῖς. Οὐ γὰρ τοῖς σώμασι, διαρρήδην δὲ ταῖς ψυχαῖς τὴν τῶν μελλόντων ἀγαθῶν δόσιν προβάλλεται.

Στίχ. δ', ε'. «Ἰδοὺ μαρτύριον ἐν ἔθνεσιν ἔδωκα αὐτόν, ἄρχοντα καὶ προτάσσοντα ἔθνεσιν. Ἔθνη ἃ οὐκ οἴδασί σε, ἐπικαλέσονταί σε, καὶ λαοὶ οἳ οὐκ ἐπίστανταί σε, ἐπὶ σὲ καταφεύξονται, ἕνεκεν Κυρίου τοῦ Θεοῦ σου, τοῦ ἁγίου Ἰσραήλ, ὅτι ἐδόξασέ σε.»

Καὶ τίς οὐκ ἂν ἐκπλαγείη τοῦ λόγου τὸ ἀποτέλεσμα, ὁρῶν καθ' ὅλης τῆς οἰκουμένης ἀπὸ Χριστοῦ τοῦ Θεοῦ Χριστιανοὺς προσαγορευομένους; Καὶ τοῦτο αὐτοῖς ἔσεσθαι σημεῖον αἰώνιον τῆς παρὰ Θεῷ σωτηρίας τὸ ἐπιγράφεσθαι τὸ τοῦ Κυρίου ὄνομα, ὅπερ αὐτοῖς εἰς αἰῶνα παραμένει, καὶ οὐκ ἐκλείψει πώποτε· ἀμεταμέλητα γὰρ τὰ χαρίσματα τοῦ Θεοῦ τυγχάνει.

Στίχ. ς'-ιβ'. «Ζητήσατε τὸν Κύριον, καὶ ἐν τῷ εὑρίσκειν αὐτόν, ἐπικαλέσατε. Ἡνίκα δ' ἂν ἐγγίζῃ ὑμῖν, ἀπολειπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ, καὶ ἀνὴρ ἄνομος τὰς βουλὰς αὐτοῦ, καὶ ἐπιστραφήτω ἐπὶ Κύριον, καὶ ἐλεηθήσεται· ὅτι ἐπὶ πολὺ ἀφήσει τὰς ἁμαρτίας ὑμῶν. Οὐ γάρ εἰσιν αἱ βουλαί μου, ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδ' ὥσπερ αἱ ὁδοὶ ὑμῶν, αἱ ὁδοί μου, λέγει Κύριος. Ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου. Ὡς γὰρ ἂν καταβῇ ὁ ὑετὸς ἐκ τοῦ οὐρανοῦ, καὶ οὐ μὴ ἀποστραφῇ ἕως ἂν μεθύσῃ τὴν γῆν, καὶ ἐκτέκῃ, καὶ ἐκβλαστήσῃ, καὶ δῷ σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν· οὕτως ἔσται τὸ ῥῆμά μου, ὃ ἐὰν ἐξέλθῃ ἐκ τοῦ στόματός μου, οὐ μὴ ἀποστραφῇ, ἕως ἂν τελεσθῇ ὅσα ἂν ἠθέλησα. Καὶ εὐοδώσω τὰς ὁδούς σου, καὶ τὰ ἐντάλματά μου. Ἐν γὰρ εὐφροσύνῃ ἐξελεύσεσθε, καὶ ἐν χαρᾷ διδαχθήσεσθε. Τὰ γὰρ ὄρη καὶ οἱ βουνοὶ ἐξαλοῦνται προσδεχομενοι ὑμᾶς ἐν χαρᾷ.»

Δι' ὧν οἶμαι δυνάμεις συγχαιρούσας τοῖς ἐπὶ γῆς μετανοοῦσι δηλοῦσθαι. «Καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ ἐπικροτήσει τοῖς κλάδοις.» Ξύλα δὲ τοῦ ἀγροῦ ἐπικροτοῦντα κλάδοις τάχα που αἱ καρποφόροι εἶεν ἂν ψυχαί, συγχαίρουσαι ταῖς τῶν ἀνόμων ψυχαῖς ἐπιστρεφούσαις πρὸς Κύριον.

Στίχ. ιγ'. «Καὶ ἀντὶ τῆς στοιβῆς ἀναβήσεται κυπάρισσος, ἀντὶ

δὲ τῆς κονύζης ἀναβήσεται μυρσίνη. Καὶ ἔσται Κύριος εἰς ὄνομα, καὶ σημεῖον αἰώνιον, καὶ οὐκ ἐκλείψει.»

Ἀλληγορικῶς δὲ διὰ τούτων ᾐνίττετο τὴν ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττω τῶν ψυχῶν καρποφορίαν· αἳ πᾶσαι μὲν ἦσαν ἐν ἀθεότητι, οὐδὲν γόνιμον οὐδὲ τρόφιμον ἔφερον· ὡς ἐν ἐρήμῳ δὲ καὶ χέρσῳ, καὶ ἀγεωργήτῳ χώρᾳ, στοιβὴν ὕλης ἀχρήστου καὶ κόνυζαν τὴν δυσσεβεστάτην, καὶ ἄχρηστον παντελῶς βοτάνην ἔφυον. Νῦν δ' ὅτε τῆς θείας μετέσχον χάριτος, μυρσίνην εὐωδεστάτην, καὶ μὲν ὑψηλοτάτην καὶ πάλιν εὐώδη κυπάρισσον ἐκαρποφόρουν· κατὰ δὲ τὸν Σύμμαχον, «Ἀντὶ στοιβῆς», φησίν, «ἀναβήσεται βράθυ, ἀντὶ δὲ κνιδὸς ἀναβήσεται μυρσίνη·» ὡς εἰ σαφέστερον ἐλέγετο, Ἀντὶ κακίας ἀναβήσεται δικαιοσύνη, καὶ ἀντὶ ἀκολασίας σωφροσύνη, καὶ ἀντὶ θράσους ἀνδρεία, καὶ ἀντὶ ἀφροσύνης φρόνησις, καὶ ἁπαξαπλῶς ἀντὶ πονηρίας ἀρετή.

ΚΕΦΑΛΑΙΟΝ ΝΣΤ'.

Στίχ. α', β'. «Τάδε λέγει Κύριος· Φυλάσσεσθε κρίσιν, καὶ ποιήσατε δικαιοσύνην· ἤγγικε γὰρ τὸ σωτήριόν μου παραγίνεσθαι καὶ τὸ ἔλεός μου ἀποκαλυφθῆναι. Μακάριος ἀνὴρ ὁ ποιῶν ταῦτα.»

Πῶς οὐ μακάριος τοιαύτας εἰληφὼς τὰς ἐπαγγελίας; «Καὶ ἄνθρωπος ὁ ἀντεχόμενος αὐτῶν, καὶ φυλάσσων τὰ Σάββατα μὴ βεβηλοῦν, καὶ διατηρῶν τὰς χεῖρας αὐτοῦ μὴ ποιεῖν ἄδικα.» Ὁ γὰρ ταῦτα ποιῶν τοῦ παρὰ Θεοῦ μακαρισμοῦ γένοιτ' ἂν ἄξιος. Σὺν τούτοις καὶ τὰ Σάββατα μὴ βεβηλοῦν ἀναγκαῖον· ὅπερ ἔσται εἰ τὰς ἑαυτῶν χεῖρας καθαρὰς πάσης ἀτόπου πράξεως διατηρήσητε· εἰ δὲ ταῦτα μὴ ποιήσητε, ἐπὶ σχολῆς καὶ ἀργίας διάγοντες τὴν τοῦ Σαββάτου ἡμέραν, ἴστε τὸ μηθὲν ποιοῦντες.

Στίχ. γ'. «Μὴ λεγέτω ὁ ἀλλογενὴς ὁ προσκείμενος πρὸς Κύριον· Ἀφοριεῖ με ἄρα Κύριος ἀπὸ τοῦ λαοῦ αὐτοῦ;»

διδάσκων μὴ μέγα φρονεῖν Ἰουδαίων παῖδας ἐπὶ τῷ γένει, μηδὲ ἐπὶ τοῖς προπάτορσι σεμνύνεσθαι. «Καὶ μὴ λεγέτω ὁ εὐνοῦχος, ὅτι Ξύλον ἐγώ εἰμι ξηρόν.»

Στίχ. δ', ε'. «Τάδε λέγει Κύριος τοῖς εὐνούχοις· Ὅσοι ἂν φυλάξωνται τὰ Σάββατά μου καὶ ἐκλέξωνται ἃ ἐγὼ θέλω, καὶ ἀντέχωνται τῆς Διαθήκης μου, δώσω αὐτοῖς ἐν τῷ οἴκῳ μου, καὶ ἐν τῷ τείχει μου τόπον ὀνομαστόν, κρείττω υἱῶν καὶ θυγατέρων· ὄνομα αἰώνιον δώσω αὐτοῖς· καὶ οὐκ ἐκλείψει.»

Ἐπειδὴ δὲ καὶ τὴν πολυπαιδίαν εὐλογίαν Θεοῦ ἡγοῦντο εἶναι Ἰουδαῖοι, μισθόν τε καὶ καρπὸν θεοσεβείας τὴν πολυτεκνίαν ὑπολαμβάνοντες, ἀναστέλλων αὐτῶν καὶ ταύτην τὴν δόξαν, ἐσφαλμένην τε οὖσαν ἐλέγχων, τοῖς ἀγόνοις καὶ μὴ δυνατοῖς παιδοποιεῖν, διὰ τὸ ἐκτετμῆσθαι, τὴν ἴσην ὑπισχνεῖται ἐπαγγελίαν, μηδὲν ἐμποδὼν ἔσεσθαι τοῖς εὐνούχοις φάσκων πρὸς τὸ τυχεῖν τῶν παρὰ Θεοῦ ἀγαθῶν, εἰ

ζῆν κατὰ Θεὸν προέλοιντο. Εἰ γὰρ πολλαὶ μοναὶ παρὰ τῷ Πατρί, καὶ ἔστι πόλις Θεοῦ Ἱερουσαλὴμ ἡ ἐπουράνιος, καὶ τόπος αὐτοῖς εἴσω τοῦ οἴκου τοῦ Θεοῦ ἐν ταῖς πολλαῖς μοναῖς, καὶ μοναὶ δοθήσονται, καὶ μερὶς ἐν τῷ τείχει τῆς ἐπουρανίου τοῦ Θεοῦ πόλεως.

Στίχ. ς', ζ'. «Καὶ τοῖς ἀλλογενέσι τοῖς προκειμένοις Κυρίῳ δουλεύειν αὐτῷ καὶ ἀγαπᾶν τὸ ὄνομα Κυρίου, τοῦ εἶναι αὐτῷ εἰς δούλους καὶ δούλας· καὶ πάντας τοὺς φυλασσομένους τὰ Σάββατά μου μὴ βεβηλοῦν καὶ ἀντεχομένους τῆς Διαθήκης μου, εἰσάξω αὐτοὺς εἰς τὸ ὄρος τὸ ἅγιόν μου.»

Τὸν γὰρ οἶκον αὐτοῦ μὴ τῶνδε μὲν ὑπάρχειν, τῶν δὲ μή, ἀνεῷχθαι δὲ πᾶσι τοῖς ἔθνεσιν ὑπερβολῇ φιλανθρωπίας· ὡς καὶ εὐνούχους παραδέχεσθαι καὶ παραλύτους. «Καὶ εὐφρανῶ αὐτοὺς ἐν τῷ οἴκῳ τῆς προσευχῆς μου. Τὰ ὁλοκαυτώματα αὐτῶν, καὶ αἱ θυσίαι αὐτῶν ἔσονται δεκταὶ ἐπὶ τὸ θυσιαστήριόν μου. Ὁ γὰρ οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσι τοῖς ἔθνεσιν.» Οἶμαι δὲ διὰ τούτων ὡς πρὸς τὴν λέξιν διὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπιστροφὴν τοῦ λαοῦ τὴν ἐπὶ Κύρου καὶ Δαρείου καὶ Ἀρταξέρξου γενομένην τὸν Θεὸν ἂν εἰρῆσθαι συνάγειν· διὸ ἐπιλέγει·

Στίχ. η'. «Εἶπε Κύριος ὁ συνάγων τοὺς διεσπαρμένους Ἰσραήλ, ὅτι Συνάξω ἐπ' αὐτὸν συναγωγήν.»

Καθ' οὓς δὲ χρόνους εἰκὸς καὶ πλῆθος αὐτοῖς ἀλλοφύλων ἐθνῶν προσηλυτεῦσαι· οὓς διὰ τὴν προτέραν κατάστασιν, καὶ διὰ τὸ ἀλλογενὲς καὶ ἀλλότριον τοῦ τρόπου, ἀγροῦ θηρία ὠνόμασεν ὁ λόγος.

Στίχ. θ'. «Πάντα τὰ θηρία τὰ ἄγρια, δεῦτε, φάγετε, πάντα τὰ θηρία τοῦ δρυμοῦ.»

Τὰ δὲ θηρία τὰ μετὰ τοῦ Ἰσραὴλ συναγόμενα οἱ ἐξ ἐθνῶν προσιόντες τῷ λόγῳ εἶεν ἄν, οὓς ἀνακαλεῖται λέγων· «Δεῦτε, φάγετε, πάντα τὰ θηρία τοῦ δρυμοῦ.» Δρυμὸν δὲ πολλάκις τετηρήκαμεν τὸ πλῆθος τῶν ἀλλοφύλων ἐθνῶν λελέχθαι. Ταῦτ' οὖν τὰ θηρία τῆς τοῦ Θεοῦ κλήσεως καταξιοῖ, καὶ εἰς ἑστίασιν ἀνακαλεῖται.

Στίχ. ι'. «Ἴδετε, ὅτι ἐκτετύφλωνται πάντες· οὐκ ἔγνωσαν· κύνες ἐνεοὶ οὐ δυνήσονται ὑλακτεῖν, ἐνυπνιαζόμενοι κοίτην, φιλοῦντες νυστάξαι.»

Καὶ τοιοῦτοι μὲν ἦσαν οἱ τῶν Ἰουδαίων ἄρχοντες πρὸς τοὺς ἐκτός, πρὸς οὓς ἔδει ἐγρηγορέναι καὶ νήφειν, καὶ κατὰ τῶν ἐχθρῶν ὑλακτεῖν· πρὸς δὲ τοὺς οἰκείους ἀναιδεῖς τινες ὑπῆρχον, κατεσθίοντες τὰ ὑπ' αὐτοῖς ποιμαινόμενα θρέμματα.

Στίχ. ια'. «Καὶ οἱ κύνες ἀναιδεῖς τῇ ψυχῇ, οὐκ εἰδότες πλησμονήν. Καί εἰσι πονηροὶ οὐκ εἰδότες σύνεσιν· πάντες ταῖς ὁδοῖς αὐτῶν ἐξηκολούθησαν, ἕκαστος κατὰ τὸ ἑαυτοῦ·»

οὐ ταῖς ὁδοῖς τοῦ Θεοῦ, ἀλλὰ ταῖς ἑαυτῶν διὰ τοῦ τὰ καταθύμια αὐτοῖς πράττειν.

ΚΕΦΑΛΑΙΟΝ ΝΖʹ.

Στίχ. αʹ. «Ἴδετε, ὡς δίκαιος ἀπώλετο, καὶ οὐδεὶς ἐνδέχεται τῇ καρδίᾳ· καὶ ἄνδρες δίκαιοι αἴρονται, καὶ οὐδεὶς κατανοεῖ. Ἀπὸ γὰρ προσώπου ἀδικίας ἦρται ὁ δίκαιος.»

Καὶ πῶς ἔμελλον κατανοεῖν οἱ τὰς ψυχὰς τυφλοί; εἰ γὰρ μὴ οὕτως εἶχον, κἂν ἑώρων τὸν δίκαιον, καὶ συνίεσαν τὴν ἑαυτῶν οἰκονομίαν· ἀλλ' οἱ μὲν τυφλοὶ ὄντες καὶ κύνες ἀναιδεῖς τοιαῦτα κατὰ τῶν δικαίων ἐτόλμων· οἱ δὲ ἐν εἰρήνῃ ὑπὸ τοῦ Θεοῦ παρελαμβάνοντο.

Στίχ. βʹ. «Ἔσται ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ, ἦρται ἐκ τοῦ μέσου.»

Εἴποι δ' ἄν τις δύνασθαι ταῦτα ἁρμόττειν καὶ τῷ Σωτῆρι καὶ τοῖς μαθηταῖς αὐτοῦ τοῖς ὑπὸ τοῦ Ἰουδαίων ἔθνους ἐπιβεβουλευμένοις· ἀλλὰ καὶ τὴν ἀνάστασιν τοῦ Σωτῆρος ἡμῶν αἰνίττεσθαι τὸ λόγιόν φησι· τοῦ μὲν θανάτου διὰ τῆς ταφῆς αὐτοῦ δηλουμένου, τῆς δ' ἀναστάσεως διὰ τοῦ, «Ἤρθη ἐκ τοῦ μέσου ἡ ταφὴ αὐτοῦ.» Ἀφανὴς γέγονε διὰ τὸ μὴ ἀπομεῖναι αὐτὸν ἐν τῷ τῆς ταφῆς τόπῳ· ὅθεν ὁ ἄγγελος ἐπιστὰς ταῖς γυναιξὶν ἔλεγε· «Τίνα ζητεῖτε; Ἰησοῦν; Οὐκ ἔστιν ὧδε· δεῦτε, ἴδετε τὸν τόπον αὐτοῦ.»

Στίχ. γʹ, δʹ. «Ὑμεῖς δὲ προσαγάγετε ὧδε, υἱοὶ ἄνομοι, σπέρμα μοιχῶν καὶ πόρνης. Ἐν τίνι ἐνετρυφήσατε; καὶ ἐπὶ τίνα ἠνοίξατε τὸ στόμα ὑμῶν; καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν γλῶσσαν ὑμῶν; Οὐχ ὑμεῖς ἐστε τέκνα ἀπωλείας, σπέρμα ἀνόμων;»

Οὐ γὰρ ἄξιον τοῦ Ἀβραὰμ καὶ τῆς Σάρρας τέκνα ὑμᾶς καλεῖν· εἰ γὰρ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε. Μοιχοὺς δ' οἶδεν ὁ λόγος καλεῖν τοὺς πάλαι εἰδωλολατροῦντας, περὶ ὧν εἴρηται· «Καὶ ἐμοίχευσαν τὸ ξύλον καὶ τὸν λίθον·» πόρνην δὲ τὴν Ἱερουσαλὴμ ἐδήλου διὰ τῶν ἔμπροσθεν ὁ παρὼν προφήτης. Μάλιστα γὰρ αὐτῶν τὴν γλῶσσαν καὶ τὸ στόμα καταιτιᾶται διὰ τὰς τοῦ Σωτῆρος φωνάς, καὶ ἃς εἰσέτι καὶ νῦν κατ' αὐτοῦ ποιοῦνται βλασφημίας. Διό φησιν· «Ἐπὶ τίνα ἠνοίξατε τὸ στόμα ὑμῶν; καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν γλῶσσαν ὑμῶν; Οὐχ ὑμεῖς ἐστε τέκνα ἀπωλείας;»

Στίχ. εʹ, ϛʹ. «Οἱ παρακαλοῦντες εἴδωλα ὑπὸ δένδρα δασέα, σφάζοντες τὰ τέκνα αὐτῶν ἐν ταῖς φάραγξιν ἀνὰ μέσον τῶν πετρῶν. Ἐκείνη σου ἡ μερίς, οὗτός σου ὁ κλῆρος· κἀκείνοις ἐξέχεας σπονδὰς καὶ τούτοις ἀνήνεγκας θυσίας. Ἐπὶ τούτοις οὖν οὐκ ὀργισθήσομαι;»

Σαφῶς δὲ διὰ τούτων δείκνυται ἡ παροῦσα προφητεία τοῖς κατὰ τοὺς χρόνους Ἡσαΐου τοῦ προφήτου εἰδωλολάτραις ἁρμόττουσα.

Στίχ. ζʹ. «Ἐπ' ὄρος ὑψηλὸν καὶ μετέωρον, ἐκεῖ σου ἡ κοίτη, καὶ ἐκεῖ ἀνεβίβασας θυσίας σου.»

Κατὰ ταῦτα, φησίν, ἔπραττες, οὐδὲ κεκρυμμένως ἀσεβῶν, ἀλλὰ πεπαρρησιασμένως· οὕτως ὡς καὶ ἐπ' αὐτῶν τῶν ὑψηλοτάτων ὀρῶν ἐπιτελεῖν τὰς δαιμονικὰς θυσίας.

Στίχ. ηʹ, θʹ. «Καὶ ὀπίσω τῶν σταθμῶν τῆς θύρας σου ἔθηκας

μνημόσυνά σου. Ὤου ὅτι, ἐὰν ἀπ' ἐμοῦ ἀποστῇς πλεῖόν τι ἕξεις. Ἠγάπησας τοὺς κοιμωμένους μετὰ σοῦ, καὶ ἐπλήθυνας τὴν πορνείαν σου μετ' αὐτῶν, καὶ πολλοὺς ἐποίησας τοὺς μακρὰν ἀπὸ σοῦ.»

Πολλοὶ γὰρ ἔφυγον τὴν Ἱερουσαλὴμ οἱ τῷ Θεῷ ἀνακείμενοι ἄνδρες διὰ τὰς ἐν αὐτῇ συντελουμένας ἀθέους πράξεις. «Καὶ ἀπέστειλας πρέσβεις ὑπὲρ τὰ ὅριά σου καὶ ἐταπεινώθης ἕως ᾅδου.» Ταῦτα πάντα προσωποποιεῖ ὡς πρὸς ἑταίραν καλλωπιζομένην, καὶ πάντα πράττουσαν ἐφ' ἡδονῇ τῶν προσόντων αὐτῇ.

Στίχ. ι'. «Τὰς πολυοδίας σου ἐκοπίασας, καὶ οὐκ εἶπας, Παύσομαι.»

Οὐ γὰρ μίαν ὥδευες τὴν βασιλικὴν ὁδόν, ἀλλὰ πολλὰς καὶ πεπλανημένας. «Ἐνίσχυσας, ὅτι ἔπραξας ταῦτα· διὰ τοῦτο οὐ κατεδεήθης μου σύ·» ἀλλ' ὥσπερ ἰσχύουσα καὶ νεανιευομένη, χείρονα τούτων ἔπραξας ἐπιμένουσα ταῖς οἰκείαις ἀτοπίαις.

Στίχ. ια'-ιγ'. «Τίνα εὐλαβηθεῖσα ἐφοβήθης, καὶ ἐψεύσω με, καὶ οὐκ ἐμνήσθης μου, οὐδ' ἔλαβές με εἰς τὴν διάνοιαν, οὐδ' εἰς τὴν καρδίαν σου; Καὶ ἐγώ σε ἰδὼν παρορῶ καὶ ἐμὲ οὐκ ἐφοβήθης. Καὶ ἐγὼ ἀπαγγελῶ τὴν δικαιοσύνην μου καὶ τὰ κακά σου, καὶ οὐκ ὠφελήσει σε. Ὅταν ἀναβοήσῃς, ἐξελέσθωσάν σε ἐν τῇ θλίψει σου· τούτους γὰρ πάντας ἄνεμος λήψεται, καὶ ἀποίσει καταιγίς. Οἱ δὲ ἀντεχόμενοί μου κτήσονται γῆν, καὶ κληρονομήσουσι τὸ ὄρος τὸ ἅγιόν μου.»

Πάντας μὲν οὖν τοὺς κατηγορηθέντας λήψεται ἄνεμος καὶ ἀποίσει καταιγίς. Καὶ τοιοῦτο τέλος διαλήψεται τοὺς ἐπὶ τοῖς εἰρημένοις διαβληθέντας· τοὺς δὲ τὴν καλὴν ἐκλεξαμένους μερίδα, ἐμὲ δηλαδὴ τὸν Θεὸν καὶ τοὺς γνησίους καὶ καθαρῶς ἀντεχομένους, ἡ παρ' ἐμοῦ ἀμοιβὴ διαδέξεται.

Στίχ. ιδ'. «Καὶ ἐροῦσι· Καθαρίσατε ἀπὸ προσώπου αὐτοῦ ὁδούς, καὶ ἄρατε σκῶλα ἀπὸ τῆς ὁδοῦ τοῦ λαοῦ μου.»

Οὐ γὰρ μόνης τῆς σωτηρίας πρόνοιαν ποιήσεται ὁ παρὰ τῷ Θεῷ κατορθώσας, ἀλλ' ἤδη καὶ τῷ λαῷ Θεοῦ χρήσιμον ἑαυτὸν παρέξει προστάττων ἐξομαλίζειν αὐτῷ τὴν ὁδὸν τῆς θεοσεβείας, καὶ τὰ δοκοῦντα προσκόμματα.

Στίχ. ιε'. «Τάδε λέγει ὁ Ὕψιστος, ὁ ἐν ὑψηλοῖς κατοικῶν εἰς τὸν αἰῶνα, Ἅγιος ἐν ἁγίοις ὄνομα αὐτῷ· Ὕψιστος ἐν ἁγίοις ἀναπαυόμενος, καὶ ὀλιγοψύχοις διδοὺς μακροθυμίαν καὶ διδοὺς ζωὴν τοῖς συντετριμμένοις τὴν καρδίαν.»

Πρὸς τοὺς ἐν τῷ λαῷ εὐλαβεῖς καὶ φόβον Θεοῦ κεκτημένους, καὶ μετανοοῦντας ἐφ' οἷς ἥμαρτον, οὓς ἡ παροῦσα λέξις συντετριμμένους τὴν καρδίαν καὶ ὀλιγοψύχους ὀνομάζει, παράκλησιν καὶ παραμυθίαν προσάγει. Ἦσαν γὰρ ἐν αὐτοῖς, εἰ καὶ βραχεῖς καὶ ἀριθμῷ ληπτοί. Πλὴν ὅμως ἦσαν ἄνδρες ἀνακείμενοι τῷ Θεῷ· οὐχ οἱ προφῆται μόνον, ἀλλὰ καὶ ἕτεροι τούτων ζηλωταί, μαθητευόμενοι τοῖς προφήταις καὶ ταῖς διδασκαλίαις αὐτῶν προσανέχοντες.

Στίχ. ις'. «Οὐκ εἰς τὸν αἰῶνα ἐκδικήσω ὑμᾶς, οὐδὲ διὰ παντὸς ὀργισθήσομαι ὑμῖν. Πνεῦμα γὰρ παρ' ἐμοῦ ἐξελεύσεται καὶ πνοὴν πᾶσαν ἐγὼ ἐποίησα.»

Μέλει γάρ μοι τοῦ πνεύματος, ὅπερ ἐξ ἐμοῦ προελθόν, εἰς ὑμᾶς κατῴκησεν· ἐπειδὴ καὶ ποιητὴς τυγχάνων πάσης πνοῆς τῆς δυναμένης με αἰνεῖν, κατὰ τό, «Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον[1]», καὶ ἐν τῇ κοσμοποιΐᾳ δὲ ἐμφυσήσαντος τοῦ Θεοῦ ἐγένετο ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.

Στίχ. ιζ'-κα'. «Δι' ἁμαρτίαν βραχύ τι ἐλύπησα αὐτὸν καὶ ἐπάταξα αὐτόν, καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτοῦ, καὶ ἐλυπήθη καὶ ἐπορεύθη στυγνὸς ἐν ταῖς ὁδοῖς αὐτοῦ. Τὰς ὁδοὺς αὐτοῦ ἑώρακα, καὶ ἰασάμην αὐτὸν καὶ παρεκάλεσα αὐτὸν καὶ ἔδωκα αὐτῷ παράκλησιν ἀληθινήν, εἰρήνην ἐπ' εἰρήνη τοῖς μακρὰν καὶ τοῖς ἐγγὺς οὖσι. Καὶ εἶπε Κύριος· Ἰάσομαι αὐτούς. Οἱ δὲ ἄδικοι κλυδωνισθήσονται καὶ ἀναπαύσασθαι οὐ δυνήσονται. Οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσιν, εἶπεν ὁ Θεός.»

Εἰ καὶ πρὸς βραχύν τινα καιρὸν διά τινας ἐξ ἀνθρωπίνης ἀσθενείας ἐπιγενομένας ἁμαρτίας ἐλύπησα τοὺς ἡμαρτηκότας καὶ ἐπάταξα, οἷα πατὴρ υἱοὺς παιδεύων· «Ὃν» γὰρ «ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται·[2]» ἀλλ' ἐπειδή, συναίσθησιν λαβόντες τῆς ἐμῆς παιδείας, ἐλυπήθητε τὴν κατὰ Θεὸν λύπην, καὶ ἐπορεύθητε στυγνοὶ μεταμεληθέντες· τούτου χάριν, τὴν ἐπιστροφὴν καὶ τὴν μετάνοιαν ὑμῶν θεασάμενος καὶ τὰς μετὰ ταῦτα πράξεις, καὶ τοῦ βίου τὰς ὁδούς, ἰασάμην ὑμᾶς καὶ παρεκάλεσα δοὺς παράκλησιν ἀληθινήν· πάντα γὰρ παρ' ἐμοῦ εἰς τοὺς ἐμοὺς οἰκείους χορηγούμενα ἀληθινὰ τυγχάνει. Διόπερ τοῖς ἐκ τῆς ἐμῆς παιδείας σωφρονισθεῖσι παράκλησιν ἀληθινὴν δέδωκα καὶ εἰρηνικήν, οὐχ ἁπλῆν τινα καὶ πρόσκαιρον, ἀλλὰ πολυπλασιαζομένην· ὡς καὶ ἀπὸ τῶν ἐγγὺς ἔχειν αὐτήν, καὶ ἀπὸ τῶν πόρρω καὶ μακρὰν ἀπῳκισμένοις.

ΚΕΦΑΛΑΙΟΝ ΝΗ'.

Στίχ. α'. «Ἀναβόησον ἐν ἰσχύϊ καὶ μὴ φείσῃ, ὡς σάλπιγγι ὕψωσον τὴν φωνήν σου, καὶ ἀνάγγειλον τῷ λαῷ μου τὰ ἁμαρτήματα αὐτῶν καὶ τῷ οἴκῳ Ἰακὼβ τὰς ἀνομίας αὐτῶν.»

Τοῖς μὲν οὖν εὐαγγελισταῖς τοῦ σωτηρίου λόγου διὰ τῶν ἔμπροσθεν ἐλέγετο· «Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ· ὑψώσατε, μὴ φοβεῖσθε·» ἐνταῦθα δὲ οὐκ ἐπ' ὄρος ὑψηλὸν ἀναβαίνειν ὁ προφήτης κελεύεται· οὐδὲ γὰρ ἦσαν ἐν ὕψει, οἷς ταῦτα προεφώνει· τὸ διαβοῆσαι μόνον ἐν ἰσχύϊ καὶ μὴ φείσασθαι, οἷα εἰς ὦτα κωφῶν λαλοῦντα προστάττεται, καὶ δίκην σάλπιγγος ὑψῶσαι

1. Ψαλμ. 150, 6. 2. Ἑβρ. 12, 6.

τὴν φωνήν. Σάλπιγξ δὲ πολέμου σημεῖον· διὸ ὡς πρὸς πολέμιον τὸν ἀσεβῆ καὶ ἁμαρτωλὸν τῇ βοῇ χρήσασθαι κελεύει, ὡς ἂν καθάψοιτο τῆς τῶν ἀκουόντων διανοίας, καὶ τρώσειν αὐτὴν τῷ πληκτικωτάτῳ λόγῳ.

Στίχ. β'. «Ἐμὲ ἡμέραν ἐξ ἡμέρας ζητοῦσι καὶ γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμοῦσι, ὡς λαὸς δικαιοσύνην πεποιηκώς, καὶ κρίσιν Θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς. Αἰτοῦσί με νῦν κρίσιν δικαίαν, καὶ ἐγγίζειν Θεῷ ἐπιθυμοῦσι.»

Εἰς κατάκρισιν λαὸν αὐτοῦ ὀνομάζων τὸν ἁμαρτωλόν, ὃν ἐγὼ μέν, φησίν, εἰσεποιησάμην, καὶ ὃν κατηξίωσα λαὸν ἐμὸν χρηματίζειν· οἱ δὲ ἐμάκρυνον ἑαυτοὺς ἐμοῦ, ταῖς ἑαυτῶν ἔκδοτοι δεδομένοι κακίαις.

Στίχ. γ'. «Λέγοντες· Τί ὅτι ἐνηστεύσαμεν καὶ οὐκ εἶδες; ἐταπεινώσαμεν τὰς ψυχὰς ἡμῶν καὶ οὐκ ἔγνως;»

Ἐπειδὴ τοιαῦτα λέγειν ἀναιδῶς τολμῶσι, μεγάλῃ βοῇ χρησάμενος σὺ ὁ ἐμὸς προφήτης, ἀπόκριναι αὐτοῖς, καὶ ἀπέλεγχε, ὅπως ἐμὴν κρίσιν καταλελοίπασι, καὶ πάνθ' ὅσα φάσκουσιν, οὐκ ἀληθῶς διαβεβαιοῦνται. «Ἐν γὰρ ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν εὑρίσκετε τὰ θελήματα ὑμῶν καὶ πάντας τοὺς ὑποχειρίους ὑμῶν ὑπονύσσετε.» Εἰ τοίνυν ἐπὶ τοιαύτῃ σεμνύνονται νηστείᾳ, πολὺ κρεῖττον ἦν αὐτοῖς τροφῇ σχολάζειν, καὶ μὴ τοιαῦτα τολμᾶν. Διὰ ταῦτα γοῦν κατ' ἀρχῆς τῆς προφητείας πρὸς αὐτοὺς ἐλέγετο· «Νηστείαν καὶ ἀργίαν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου.» Τὴν γὰρ τῆς νηστείας σχολὴν οὐκ ἀφορμὴν ποιεῖσθε μεταμελείας· ἀλλὰ ταύτην εἰς τὴν τῶν ὀφειλόντων εἴσπραξιν ἀναλίσκετε.

Στίχ. δ'. «Εἰ εἰς κρίσεις καὶ μάχας νηστεύετε, καὶ τύπτετε πυγμαῖς ταπεινόν, ἵνα τί μοι νηστεύετε;»

Ἔοικε καὶ κατ' αὐτὸν τὸν τῆς προφητείας καιρὸν τοιοῦτό τι γεγενῆσθαι· τοῦτο γὰρ αἰνίττεται ὁ λόγος· «Ὡς σήμερον ἀκουσθῆναι ἐν κραυγῇ τὴν φωνὴν ὑμῶν.»

Στίχ. ε'. «Οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, καὶ ἡμέραν ταπεινοῦν ἄνθρωπον τὴν ψυχὴν αὐτοῦ. Οὐδ' ἂν κάμψῃς ὡς κρίκον τὸν τράχηλόν σου, καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃ, οὐδ' οὕτω καλέσετε νηστείαν δεκτήν.»

Εἰ δὲ δὴ ἐθέλοι τις τρόπον ἀληθοῦς καὶ ἐμοὶ τῷ Θεῷ ἀρεστῆς νηστείας διδάσκεσθαι, ταῦτα πραττέτω· Φαιδρὸν τὸ πρόσωπον καταστήσας καὶ τὴν κεφαλὴν ἀλείψας ἐλαίῳ κατὰ τὴν σωτήριον παρακέλευσιν, τὴν μὲν νηστείαν ἐν τῷ κρυπτῷ φυλαττέτω, καὶ τῷ Πατρὶ τῷ βλέποντι τὰ κρυπτὰ μόνῳ τὴν ταπείνωσιν τῆς ψυχῆς δεικνύτω· εἰς δὲ τὸ φανερὸν δι' ἔργων τοὺς καρποὺς τῆς κατὰ ψυχὴν εὐλαβείας τοῖς πᾶσιν ὁρῶσι παρεχέτω, διὰ τοῦ λύειν πάντα σύνδεσμον ἀδικίας. Διό φησιν·

Στίχ. ς'. «Οὐχὶ τοιαύτην νηστείαν ἐξελεξάμην, λέγει Κύριος· ἀλλὰ λῦε πάντα σύνδεσμον ἀδικίας· διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων· ἀπόστελλε τεθραυσμένους ἐν ἀφέσει· καὶ πᾶσαν συγγραφὴν ἄδικον διάσπα·»

αὐτὸ δὴ τὸ λελεγμένον ὑπὸ τοῦ Σωτῆρος ἔργῳ πληρῶν, τό· «Ἐὰν προσφέρῃς τὸ δῶρόν σου, κἀκεῖ μνησθῇς, ὅτι ἔχει ὁ ἀδελφός σού τι κατὰ σοῦ· ἄφες ἐκεῖ τὸ δῶρόν σου, καὶ ὕπαγε πρῶτον, διαλλάγηθι τῷ ἀδελφῷ σου· καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου.[1]»

Στίχ. ζ΄. «Διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἴσαγε εἰς τὸν οἶκόν σου. Ἐὰν ἴδῃς γυμνόν, περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει.»

Οὐ γὰρ λείπουσιν ἐν ἀνθρώποις οἱ τροφῆς ἐνδεεῖς· καὶ οὕτω γάρ σοι γένηται οὐ πρὸς κέρδους ἡ ἀσιτία, ἀλλ' ἑτέρῳ τρόπῳ τραφήσῃ τὴν ψυχὴν τῷ σαυτοῦ ἄρτῳ τὸν ἐνδεῆ καὶ τροφῆς δεόμενον ἀνακτώμενος.

Στίχ. η΄, θ΄. «Τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ· καὶ προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε. Τότε βοήσῃ καὶ ὁ Θεὸς εἰσακούσεταί σου· ἔτι λαλοῦντός σου ἐρεῖ· Ἰδοὺ πάρειμι.»

«Ἐὰν ἀφέλῃς ἀπὸ σοῦ σύνδεσμον, καὶ χειροτονίαν, καὶ ῥῆμα γογγυσμοῦ.» Ὁ γὰρ τῶν ὅλων Θεὸς τοὺς μὲν εὐπορεῖν τροφῆς καὶ χρημάτων, τοὺς δὲ ἐνδεεῖς καὶ πένητας ὑπεστήσατο εἰς δοκιμὴν ἑκατέρων· ἵν' οἱ μὲν ἔχοιεν καρπὸν τῆς ἑαυτῶν εὐπορίας διὰ τῆς εἰς τοὺς ἐνδεεῖς παροχῆς· οἱ δὲ ἐγγυμναζόμενοι τῇ πενίᾳ ἀντὶ πολυκάρπου χώρας τὴν ἀπὸ τῶν εὐπόρων διεποιοῦντο χορηγίαν.

Στίχ. ι΄. «Καὶ δῷς πεινῶντι τὸν ἄρτον ἐκ ψυχῆς σου, καὶ ψυχὴν τεταπεινωμένην ἐμπλήσῃς· τότε ἀνατελεῖ ἐν τῷ σκότει τὸ φῶς σου, καὶ τὸ σκότος σου ὡς μεσημβρία.»

Μάλιστα μὲν γὰρ τὰ πρῶτα τοῖς πᾶσι δεήσει κοινωνεῖν ἀφθόνως· τὰ δὲ ἐξαίρετα τοῖς οἰκείοις τῆς πίστεως ἀπονέμειν. Τοῦτο γὰρ καὶ ἡ ἀποστολικὴ διάταξις παρεκελεύσατο, φήσασα δεξιοὺς εἶναι πρὸς πάντας.

Στίχ. ια΄. «Καὶ ἔσται ὁ Θεός σου μετὰ σοῦ διὰ παντός· καὶ ἐμπλησθήσῃ καθάπερ ἐπιθυμεῖ ἡ ψυχή σου καὶ τὰ ὀστᾶ σου πιανθήσεται· καὶ ἔσται ὡς κῆπος μεθύων καὶ ὡς πηγὴ ἣν μὴ ἐξέλιπεν ὕδωρ.»

Δηλαδὴ τῆς ψυχῆς αὐτῆς αἱ δυνάμεις πιανθήσονται ὑπὸ τῆς πνευματικῆς καὶ ἐνθέου τροφῆς. Καὶ κῆπος ἀειθαλὴς τὰς ἐξ ἁγίου Πνεύματος καρποφορῶν φυτείας, καὶ τὰ πάλαι δὲ τῆς ψυχῆς ἔρημα οἰκοδομηθήσεται ἐν σοὶ καὶ ἀναπληρωθήσεται διὰ μαθημάτων καὶ λόγων θείων· ὡς καὶ οἰκοδόμον σε γενέσθαι ἑαυτοῦ, διδασκαλίαις ἐνθέοις οἰκοδομοῦντα τοὺς ἐν τῇ αὐτοῦ διανοίᾳ λογισμούς. Ἤδη δὲ καὶ φραγμὸν περιβαλεῖς τῇ σαυτοῦ ψυχῇ, περιφράττων αὐτὴν πανταχόθεν καὶ ἀσφαλιζόμενος ἀπὸ τῶν ἔξωθεν ὀχληρῶν. Ὀστᾶ δὲ τοῦ λαοῦ εἶεν ἂν οἱ ἐν αὐτῷ δυνατοί, τὸ πᾶν σῶμα ὑποβαστάζοντες.

Στίχ. ιβ΄. «Καὶ οἰκοδομηθήσονταί σου αἱ ἔρημοι αἰώνιοι, καὶ

1. Ματθ. 5, 23.

ἔσται τὰ θεμέλιά σου αἰώνια γενεῶν γενεαῖς. Καὶ κληθήσῃ οἰκοδόμος φραγμῶν, καὶ τὰς τρίβους σου ἀνὰ μέσον παύσεις.»

Φραγμοὺς δὲ οἰκοδομεῖ ὁ περιφράττων καὶ περιτειχίζων διαλεκτικαῖς ἀποδείξεσι τὰ ἐκκλησιαστικὰ δόγματα· ὁ δὲ τὰ δοκοῦντα προσκόμματα ἐκ τῶν θείων ἀναγνωσμάτων περιαιρῶν διὰ τοῦ σαφηνίζειν τὰ λεγόμενα, οὗτός ἐστιν ὁ τοὺς ἀνὰ μέσον τῶν τρίβων λίθους περιαιρῶν. Τῆς γὰρ πλάνης τὰς ἀτραποὺς ἀποφράττων, καὶ τὰς τοιαύτας ἀποτειχίζων διακοπὰς καὶ πάντοθεν ἑαυτὸν τειχίζων καὶ περιφράττων, εἰκότως οἰκοδόμος φραγμῶν ὀνομάζεται.

Στίχ. ιγʹ, ιδʹ. «Ἐὰν ἀποστρέψῃς τὸν πόδα σου ἀπὸ τῶν Σαββάτων, τοῦ μὴ ποιεῖν τὰ θελήματά σου ἐν τῇ ἡμέρᾳ τῇ ἁγίᾳ· καὶ καλέσεις τὰ Σάββατα τρυφερά, ἅγια τῷ Θεῷ· οὐκ ἀρεῖς τὸν πόδα σου ἐπ' ἔργῳ, οὐδὲ λαλήσεις λόγον ἐν ὀργῇ ἐκ τοῦ στόματός σου. Καὶ ἔσῃ πεποιθὼς ἐπὶ Κύριον· καὶ ἀναβιβάσει σε ἐπὶ τὰ ἀγαθὰ τῆς γῆς καὶ ψωμιεῖ σε τὴν κληρονομίαν Ἰακὼβ τοῦ πατρός σου. Τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα.»

Ὑποβάλλει δ' ὁ λόγος μὴ θελήματα πράττειν, ὡς ἑαυτοὺς μέθαις καὶ κραιπάλαις σχολάζοντας· ἐν ἁγιασμῷ δὲ καὶ καθαρότητι διάγοντας, οὕτω καὶ τὴν ἡμέραν ἁγιάζειν, τρυφεράν τε αὐτὴν καὶ ἄλυπον διὰ τῆς ἐν αὐτῇ κατὰ Θεὸν ἐπιτελουμένης σχολῆς φυλάττειν, μηδὲ μέχρι τοῦ τυχόντος κινοῦντα τὸν πόδα ἐπὶ πράξεσιν ἑτέραις, μηδὲ μέχρι λόγου μολύνειν τὰ χείλη· μόνῃ δὲ τῇ σχολῇ τῶν θείων διὰ πάσης προσανέχειν τῆς ἡμέρας.

ΚΕΦΑΛΑΙΟΝ ΝΘʹ.

Στίχ. αʹ. «Μὴ οὐκ ἰσχύει ἡ χεὶρ Κυρίου τοῦ σῶσαι; Ἢ ἐβάρυνε τὸ οὖς αὐτοῦ τοῦ μὴ εἰσακοῦσαι;»

Ὡς πρὸς τὸν τῶν Ἰουδαίων λαὸν διαστειλάμενος ὁ λόγος ἐν τοῖς πρὸ τούτου τὰ πρακτέα, καὶ τοῖς μὲν τὰ πρακτέα δι' ἔργων ἐπιτελέσασι τὰς πρεπούσας ἐπαγγελίας παραθείς, τοῖς δὲ τἀναντία ἑλομένοις τὰς καταλλήλους ἀπειλήσας τιμωρίας· διὰ τῶν προκειμένων ἔλεγχον αὐτοῖς προσφέρει, ὥς τινα ἐναντία ἑλομένοις τῇ τοῦ Θεοῦ βουλῇ· οὗ χάριν καὶ τοῖς κακοῖς περιπεπτώκασι. Φησὶν οὖν πρὸς αὐτούς· Οὐκ ἦν ἀδύνατον ἐμοὶ τῷ Θεῷ, καὶ ἀπολλυμένους ὑμᾶς ἀνακτήσασθαι, οὐδὲ ἀσθενεῖ ἡ ἐμὴ χεὶρ καὶ ἀναξίους ὄντας ὑμᾶς διασῶσαι· καὶ τὸ οὖς δὲ τὸ ἐμὸν τὸ πάντων ἀκουστικὸν οὐχ οὕτως ἦν βαρυήκοον, ὡς μὴ δύνασθαι ὑμῶν εἰσακοῦσαι βοώντων.

Στίχ. βʹ. «Ἀλλὰ τὰ ἁμαρτήματα ὑμῶν διιστῶσιν ἀνὰ μέσον ὑμῶν καὶ ἀνὰ μέσον τοῦ Θεοῦ· καὶ διὰ τὰς ἁμαρτίας ὑμῶν ἀπέστρεψε τὸ πρόσωπον ἀφ' ὑμῶν, τοῦ μὴ ἐλεῆσαι.»

Ὁ παράνομος ὑμῶν βίος οὐκ ἐᾷ τῆς θείας ὑμᾶς ἀπολαῦσαι προνοίας, διὰ τὸ βδελύττεσθαι ὥσπερ δυσώδη καὶ αἰσχρὰν καὶ ἄτιμον τὴν

ἁμαρτίαν. Τὸ μὲν οὖν αἴτιον τῆς ἀποπτώσεως τοῦ λαοῦ καὶ τῆς πορρωτάτω τοῦ Θεοῦ ἀποβολῆς αὐτοῦ οὐδὲν ἕτερον εἶναι ἐδίδαξεν ἢ τὰς ἁμαρτίας· τὸ δὲ τούτων εἶδος ἑξῆς καταριθμεῖται.

Στίχ. γ'. «Αἱ γὰρ χεῖρες ὑμῶν μεμολυσμέναι αἵματι καὶ οἱ δάκτυλοι ὑμῶν ἐν ἁμαρτίαις· τὰ χείλη ὑμῶν ἐλάλησαν ἀνομίαν καὶ ἡ γλῶσσα ὑμῶν ἀδικίαν μελετᾷ.»

Καὶ θέα, ὡς οὐκ ἐπιμέμφεται αὐτοῖς ἐν τούτοις εἰδωλολατρείαν, οὐδ' ἑτέραν τινὰ παράνομον πρᾶξιν· ἀλλὰ τὴν διὰ χειλέων μιαιφονίαν, καὶ τὴν διὰ στόματος παρανομίαν. Δι' ὧν ᾐνίξατο τὴν κατὰ τοῦ Σωτῆρος ἐπανάστασιν αὐτῶν, καὶ τὴν κατὰ τῶν δικαίων ἀνδρῶν ἐπιβουλήν. Εἰ δὲ καὶ μὴ αὐτόχειρες γεγόνασι τοῦ Σωτῆρος, ἀλλὰ τὸ αἷμα αὐτοῦ ἐπ' αὐτοὺς καὶ ἐπὶ τὰ τέκνα αὐτῶν αἰτησάμενοι, καὶ βοαῖς ἀθέοις χρησάμενοι, ἔργῳ παρέστησαν τὰς χεῖρας ἔχειν μεμολυσμένας αἵματι, τά τε χείλη αὐτῶν λελαληκέναι ἀνομίαν καὶ τὴν γλῶσσαν αὐτῶν μεμελετηκέναι. Ἐξαπατῶντες γὰρ ἑαυτοὺς ἕτερον προσδοκῶσι Χριστόν, ἀνθρώπινά τινα περὶ αὐτοῦ μυθολογοῦντες.

Στίχ. δ', ε'. «Οὐδεὶς λαλεῖ δίκαια, οὐδέ ἐστι κρίσις ἀληθινή. Πεποίθησιν ἐπὶ ματαίοις καὶ λαλοῦσι κενά, ὅτι κύουσι πόνον καὶ τίκτουσιν ἀνομίαν. Ὠὰ ἀσπίδων ἔρρηξαν καὶ ἱστὸν ἀράχνης ὑφαίνουσι· καὶ ὁ μέλλων τῶν ᾠῶν αὐτῶν φαγεῖν, συντρίψας οὔριον εὗρε, καὶ ἐν αὐτῷ βασιλίσκον.»

Τῶν ἀντικειμένων δυνάμεων τὰ σπέρματα ἐν αὐτοῖς κυήσαντες· διὸ τοῖς τῆς κακίας καὶ πονηρίας αὐτῶν υἱοῖς ἐλέγετο· «Ὄφεις, γεννήματα ἐχιδνῶν.» Ἀναλόγως δὲ τῷ σπέρματι τῷ θείῳ τὸν τῶν ἀντικειμένων δυνάμεων σπόρον ᾠὰ ὠνόμασε διὰ τὸ παράδειγμα τοῦ ἑρπυστικοῦ γένους· ἀσπίδες καὶ ὄφεις, καὶ τὰ τοιαῦτα τῶν ᾠοτόκων ἐστίν. Ἐπειδὴ μετὰ τοσαύτην κακίαν ἐπαγγέλλονται μὲν τὰς ἀπὸ θείων Γραφῶν διδασκαλίας, ἐκπίπτουσι δὲ εἰς γραώδεις μύθους καὶ εἰς παραδόσεις ἀνθρώπων, οὐδὲν ὑγιὲς μηδὲ ὠφέλιμον περιεχούσας· εἰκότως ἐπιλέγει· «Καὶ ἱστὸν ἀράχνης ὑφαίνουσι», τὸ σαθρὸν καὶ ἄτιμον τῆς τοιαύτης αὐτῶν σπουδῆς τῷ τῆς ἀράχνης ὑφάσματι παραβάλλων. Ποίων δὲ ᾠῶν μνημονεύει, ἢ περὶ ὧν εἴρηται· «Τὰ ᾠὰ ἀσπίδων ἔρρηξαν;» Οἱ μὲν οὖν ἐν κακίᾳ τέλειοι, διαρρήξαντες τούτων τῶν ᾠῶν, τὰ τελεσφορηθέντα εἰς ἑαυτοὺς ὑπεδέξαντο· οἱ δὲ ἀτελέστεροι, πρὶν διαρραγῆναι καὶ τελεσφορηθῆναι ἐμφαγόντες αὐτῶν, ἀπόλλυνται. Διὸ κατὰ τοὺς λοιποὺς ἑρμηνευτὰς εἴρηται· «Ὁ ἐσθίων ἐκ τῶν ᾠῶν αὐτῶν ἀποθανεῖται.» Εἰ δέ τις εὑρεθείη συνετὸς ἀνὴρ ὁ συντρίβειν αὐτὰ δυνάμενος ἀνατρεπτικῷ καὶ ἐλεγκτικῷ λόγῳ, οὗτος εὕροι ἂν τὸ ἐν αὐτοῖς ἀνεμιαῖον καὶ οὔριον καὶ δυσῶδες καὶ φθοριμαῖον, καὶ ἐν τούτοις πᾶσιν ἰλυσπώμενον καὶ ἐγκρυπτόμενον, τὸν πάντων ἑρπετῶν καὶ ἐξ αὐτοῦ τοῦ βλέμματος θανατοποιόν, τὸν βασιλίσκον λέγω.

Στίχ. ς'-η'. «Ὁ ἱστὸς αὐτῶν οὐκ ἔσται εἰς ἱμάτιον, οὐδὲ μὴ

περιβάλωνται ἀπὸ τῶν ἔργων αὐτῶν· τὰ ἔργα αὐτῶν ἔργα ἀνομίας· οἱ δὲ πόδες αὐτῶν ἐπὶ πονηρίαν τρέχουσι, ταχινοὶ ἐκχέαι αἷμα, καὶ οἱ διαλογισμοὶ αὐτῶν, διαλογισμοὶ ἀπὸ φόνων. Σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν καὶ ὁδὸν εἰρήνης οὐκ οἴδασιν.»

Οὐ γὰρ παρεδέξαντο τὸν τῆς εἰρήνης πρύτανιν, περὶ οὗ εἴρηται· «Αὐτὸς γάρ ἐστιν εἰρήνη ἡμῶν·[1]» διὸ τοῖς αὐτοῦ μαθηταῖς ταύτην προξενεῖ λέγων· «Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν.[2]» — «Καὶ οὐκ ἔστι κρίσις ἐν ταῖς ὁδοῖς αὐτῶν. Αἱ γὰρ τρίβοι αὐτῶν διεστραμμέναι, ἃς διοδεύουσι· καὶ οὐκ οἴδασιν εἰρήνην.» Ψηλαφῶντες γὰρ τὰς θείας Γραφάς, οὐ συνίασι τὸν ἐν βάθει τῶν λέξεων ἀποκεκρυμμένον νοῦν· περὶ δὲ δὴ μόνην τὴν λέξιν ἀσχολούμενοι, ὥσπερ τινὰ τοῖχον ἐοίκασι ψηλαφᾶν.

Στίχ. θ', ι'. «Διὰ τοῦτο ἀπέστη ἡ κρίσις ἀπ' αὐτῶν, καὶ οὐ μὴ καταλάβῃ αὐτοὺς δικαιοσύνη· ὑπομεινάντων αὐτῶν φῶς, ἐγένετο αὐτοῖς σκότος· μείναντες αὐγήν, ἐν ἀωρίᾳ περιεπάτησαν. Ψηλαφήσουσιν ὡς τυφλοὶ τοῖχον καὶ ὡς οὐχ ὑπαρχόντων ὀφθαλμῶν ψηλαφήσουσι. Καὶ πεσοῦνται ἐν μεσημβρίᾳ ὡς ἐν μεσονυκτίῳ, ὡς ἀποθνήσκοντες στενάξουσι.»

Κατὰ δὲ τὸν καιρὸν τοῦ τῶν ἐθνῶν μεσημβρινοῦ φωτός, ταῖς σωτηρίοις καὶ εὐαγγελικαῖς αὐγαῖς τῆς Ἐκκλησίας τοῦ Θεοῦ καταλαμπομένης, μόνοι αὐτοί, ὡς ἂν τὰ πρὸς θάνατον ἡμαρτηκότες, πεπτώκασι, καὶ ὥσπερ ἐν μεσονυκτίῳ διάγουσιν.

Στίχ. ια', ιβ'. «Ὡς ἄρκτος ἢ ὡς περιστερὰ ἅμα πορεύσονται. Ἀνεμείναμεν κρίσιν καὶ οὐκ ἔστι σωτηρία· μακρὰν ἀφέστηκεν ἀφ' ἡμῶν. Πολλὴ γὰρ ἡμῶν ἡ ἀνομία ἐναντίον σου καὶ αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν· αἱ γὰρ ἀνομίαι ἡμῶν ἐν ἡμῖν καὶ τὰ ἀδικήματα ἡμῶν ἔγνωμεν.»

Οἱ γὰρ στεναγμοὶ αὐτῶν, εἰ μὲν κατὰ λόγον ἐγίνοντο ὑπὲρ ὧν τετολμήκασι κατὰ τοῦ Σωτῆρος, ἐπωφελεῖς ἐγένοντο ἄν. Χρὴ γὰρ αὐτοὺς καὶ πενθεῖν καὶ στενάζειν, καὶ ἀποδύρεσθαι, καὶ δακρύειν, ὧν ἐξέχεον αἱμάτων ἕνεκα. Ἐπεὶ δὲ τοῦτο μὲν οὐ προσποιοῦνται, τὴν δὲ πόλιν τὴν αἰσθητήν, λέγω δὴ τὴν Ἱερουσαλήμ, ἀποκλαίονται, καὶ τὴν πτῶσιν αὐτῆς στενάζουσιν ἀλόγως· εἰκότως ἀγρίῳ θηρίῳ παρεβλήθησαν. Διὸ λέλεκται· «Καὶ στενάξουσιν ὡς ἄρκτος·» καὶ ἐν ἄλλοις δὲ εἴρηται· «Ὡς ἄρκτος ἀτεκνουμένη.» Ἄρκτος μὲν οὖν διὰ τὸ ἀνθρωποβόρον τοῦ θηρὸς ὠνομάσθησαν. Ἐπεὶ καὶ αὐτοὶ ἀνθρώπους ἔφαγον μιαιφονοῦντες, καὶ τοὺς προφήτας ἀναιροῦντες· ἀτεκνουμένῃ δὲ ἄρκτῳ παρωμοιώθησαν διὰ τὴν ἀπώλειαν τῶν τέκνων αὐτῶν.

Στίχ. ιγ'. «Ἠσεβήσαμεν, καὶ ἐψευσάμεθα, καὶ ἀπέστημεν ὄπισθεν τοῦ Θεοῦ ἡμῶν. Ἐλαλήσαμεν ἄδικα, καὶ ἠπειθήσαμεν. Ἐκύομεν, καὶ ἐμελετήσαμεν ἀπὸ καρδίας ἡμῶν λόγους ἀδίκους.»

---

1. Ἐφ. 2, 14. 2. Ἰω. 14, 27.

Λέγει δὲ ταῦτα ὁ προφήτης ἐκ προσώπου τοῦ λαοῦ, διδάσκων αὐτοὺς ἐξομολογεῖσθαι τῷ Θεῷ τὰς ἁμαρτίας καὶ κατηγορεῖν αὐτοὺς ἑαυτῶν, ἵνα κἂν οὕτως, πληγέντες τὴν ψυχήν, ἀνανεύσωσι καὶ ἐπιστρέψωσι, μετανοεῖν διδαχθέντες.

Στίχ. ιδʹ-κʹ. «Καὶ ἀπεστήσαμεν ὀπίσω τὴν κρίσιν καὶ ἡ δικαιοσύνη μακρὰν ἀφέστηκεν· ὅτι κατηναλώθη ἐν ταῖς ὁδοῖς αὐτῶν ἡ ἀλήθεια, καὶ δι' εὐθείας οὐκ ἐδύναντο διελθεῖν. Καὶ ἡ ἀλήθεια ἦρται καὶ μετέστησαν τὴν διάνοιαν τοῦ συνιέναι. Καὶ εἶδε Κύριος, καὶ οὐκ ἤρεσεν αὐτῷ, ὅτι οὐκ ἦν κρίσις. Καὶ εἶδε, καὶ οὐκ ἦν ἀνήρ· καὶ κατενόησε, καὶ οὐκ ἦν ἀντιληψόμενος· καὶ ἠμύνατο αὐτοὺς τῷ βραχίονι αὐτοῦ, καὶ τῇ ἐλεημοσύνῃ ἐστηρίσατο. Καὶ ἐνεδύσατο δικαιοσύνην ὡς θώρακα καὶ περιέθετο περικεφαλαίαν σωτηρίου ἐπὶ τῆς κεφαλῆς καὶ περιεβάλετο ἱμάτιον ἐκδικήσεως· καὶ τὸ περιβόλαιον αὐτοῦ, ὡς ἀνταποδώσων ἀνταπόδοσιν, ὄνειδος τοῖς ὑπεναντίοις. Καὶ φοβηθήσονται οἱ ἀπὸ δυσμῶν τὸ ὄνομα Κυρίου καὶ οἱ ὑπ' ἀνατολῶν ἡλίου τὸ ὄνομα τὸ ἔνδοξον. Ἥξει γὰρ ὡς ποταμὸς βιαῖος ἡ ὀργὴ παρὰ Κυρίου· ἥξει μετὰ θυμοῦ, καὶ ἥξει ἕνεκεν Σιὼν ὁ ῥυόμενος καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ.»

Πάλιν δὲ καὶ ἐνταῦθα τὸ θεοσεβὲς πολίτευμα σημαίνεται διὰ τῆς Σιών, ἥτις διαφόρως ἀπεδείκνυτο οὖσα ἡ Ἐκκλησία τοῦ Θεοῦ. Ταύτης οὖν ἕνεκεν τῆς τοῦ Θεοῦ πόλεως ἥξειν λέγεται ὁ ῥυόμενος ὁ ἀγχιστεύων. Καὶ τί ποιήσει; Συγχωρήσει τὰς ἀδικίας τοῖς προσιοῦσιν αὐτῷ.

Στίχ. καʹ. «Καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ Διαθήκη, εἶπε Κύριος. Τὸ Πνεῦμα τὸ ἐμόν, ὅ ἐστιν ἐπὶ σοί, καὶ τὰ ῥήματα ἃ ἔδωκα εἰς τὸ στόμα σου· καὶ οὐ μὴ ἐκλίπῃ ἐκ τοῦ στόματός σου, καὶ ἐκ τοῦ στόματος τοῦ σπέρματός σου. Εἶπε γὰρ Κύριος ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα.»

Τοῦτο γοῦν τὸ Πνεῦμα ἡ Διαθήκη ἐτύγχανε· διόπερ ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῖς ἑαυτοῦ μαθηταῖς ἐδίδου τὸ Πνεῦμα λέγων· «Λάβετε Πνεῦμα ἅγιον, ἐάν τινος ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτῷ.[1]» Αὕτη τοίνυν ἡ Καινὴ Διαθήκη, καὶ τὸ κεφάλαιον τοῦ μυστηρίου, τὸ Πνεῦμα τὸ ἅγιον. «Καὶ τὰ ῥήματα ἃ ἔδωκα εἰς τὸ οὖς σου, καὶ οὐ μὴ ἐκλίπῃ.» Μένει γὰρ καὶ εἰς τὸν παρόντα αἰῶνα καὶ εἰς τὸν μέλλοντα ταῦτα πάντα, κατὰ τὰ ῥήματα, ἃ ἐδίδαξεν αὐτὸς ὁ Σωτὴρ ἐν Εὐαγγελίοις εἰπών· «Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν.[2]»

ΚΕΦΑΛΑΙΟΝ Ξʹ.

Στίχ. αʹ. «Φωτίζου, φωτίζου, Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν.»

Ἐπεὶ τοίνυν ὁ Χριστὸς αὐτὸς ἦν τὸ φῶς καὶ ἡ ἀλήθεια καὶ

1. Ἰω. 20, 23. 2. Ματθ. 24, 35.

ἡ ζωή, καὶ φῶς τοῖς εἰς τὸν κόσμον· εἰκότως τῆς τούτου παρουσίας ἀπολαύειν ὁ λόγος τῇ Ἱερουσαλὴμ προσεφώνει λέγων· «Φωτίζου, φωτίζου, Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ φῶς.» Αὐτῆς δὲ εἶναι φάσκει τὸ φῶς, διὰ τὸ αὐτῇ τὰς περὶ τοῦ Χριστοῦ ἐπαγγελίας ὑπὸ τῶν προφητῶν κεκηρύχθαι. Εἰ μὲν οὖν πεισθεῖσα τῷ παραγγέλματι, τοῦ φωτὸς μετειλήφει, τὸν Χριστὸν τοῦ Θεοῦ παραδεξαμένη, διέμεινεν ἂν ἐν εἰρήνῃ μέχρι τέλους. Τὸ γὰρ πάλαι σοι διὰ τῶν προφητῶν κατηγγελμένον φῶς ἰδοὺ νῦν ἐλήλυθε. Διὸ μὴ μέλλε, φωτίζου δέ, φωτίζου, καὶ τῆς χάριτος μεταλάμβανε· ἔστι γάρ σοι φωτισθείσῃ τάδε καὶ τάδε.

Στίχ. β'. «Ἰδοὺ σκότος καλύψει γῆν καὶ γνόφος ἐπ' ἔθνη. Ἐπὶ δὲ σὲ φανήσεται Κύριος, καὶ ἡ δόξα αὐτοῦ ἐπὶ σὲ ὀφθήσεται.»

Ὡς κατὰ τὴν πρώτην παρουσίαν τοῦ Σωτῆρος ἡμῶν δύνασθαι ταῦτα πληροῦσθαι· οὐ μὴν ἀλλὰ καὶ κατὰ τὴν δευτέραν καὶ ἔνδοξον αὐτοῦ θεοφάνειαν τέλους αὐτὰ τεύξεσθαι.

Στίχ. γ'. «Καὶ πορεύσονται βασιλεῖς ἐν τῷ φωτί σου καὶ ἔθνη τῇ λαμπρότητί σου.»

Οὐ γὰρ ἐπὶ πάντας ἀνατελεῖ, ἀλλ' ἐπὶ μόνους τοὺς ἀξίους. Τοὺς γὰρ μὴ τοιούτους διαλήψεται τὸ ἐξώτερον σκότος καὶ τὸ πῦρ τὸ αἰώνιον, καὶ ὅσα ἄλλα τοῖς ἀσεβέσιν ἠπείληται. Δεῖ δὲ πρότερον φωτὸς καὶ ἀνατολῆς τοῖς μέλλουσιν αὐτοῦ ὄψεσθαι τὴν δόξαν· ὅπως, ἐν ἡμέρᾳ θεϊκοῦ φωτὸς γενόμενοι, θεωροὶ τῆς δόξης τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ καταστῶσιν.

Στίχ. δ'. «Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου.»

Διὸ πάντες οἱ ἐξ ἐθνῶν εἰς τὸν Θεὸν διὰ τοῦ Χριστοῦ πεπιστευκότες ἐπαγγελίαν εἰλήφασιν ἀναπαύεσθαι εἰς κόλπους Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, τοῦτο τοῦ Σωτῆρος αὐτοῦ διδάξαντος. Καὶ ἐν ἑτέροις δὲ πλείοσιν ἡ ἐξ ἐθνῶν Ἐκκλησία θυγάτηρ ἀνηγόρευται Σιὼν καὶ θυγάτηρ Ἱερουσαλήμ. «Ἥκασι πάντες οἱ υἱοί σου μακρόθεν καὶ αἱ θυγατέρες σου ἐπ' ὤμων ἀρθήσονται.» Ἦμεν γὰρ πόρρω που καὶ μακρὰν τῆς πολιτείας τοῦ Ἰσραὴλ καὶ ξένοι τῶν δικαίων, τῆς ἐπαγγελίας ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ. Αἵ τε γὰρ ἁπαλαὶ οὖσαι ψυχαὶ καὶ ἔτι νήπιαι, ὡς ἀρτιγέννητα βρέφη, τὸ λογικὸν καὶ ἄδολον γάλα ἐπιποθοῦσι· διά τε τῆς ἐν Χριστῷ ἀναγεννήσεως γενόμεναι τέκνα τοῦ Ἀβραάμ, ὑποβαστάζονται ἐπ' ὤμων, αἰρόμεναι καὶ ὑποκουφιζόμεναι ὑπὸ τῶν χειραγωγούντων αὐτὰς διδασκάλων· οἷος ἦν ὁ Παῦλος λέγων· «Ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα, οὕτως ἱμειρόμενοι ὑμῶν[1]», καὶ τὰ ἑξῆς.

Στίχ. ε'. «Τότε ὄψῃ, καὶ φοβηθήσῃ, καὶ ἐκστήσῃ τῇ καρδίᾳ, ὅτι μεταβαλεῖ εἰς σὲ πλοῦτος θαλάσσης καὶ ἐθνῶν καὶ λαῶν.»

---

1. Α' Θεσσ. 2, 7.

Καὶ ἐνταῦθα δὲ τήρει ὅπως τὴν πολλὴν πολυπληθίαν τῶν σωζομένων πλήθει θαλάσσης ἀπείκασε. Δύναμις δὲ τῶν ἐθνῶν οἱ κατορθοῦντες εἶεν ἂν μηδ' ἐξασθενήσαντες πρὸς τὸν τόνον τοῦ νοητοῦ βίου.

Στίχ. ς', ζ'. «Καὶ ἥξουσί σοι ἀγέλαι καμήλων, καὶ καλύψουσί σε κάμηλοι Μαδιὰμ καὶ Γεφάρ. Πάντες ἐκ Σαβὰ ἥξουσι, φέροντες χρυσίον, καὶ λίβανον οἴσουσι, καὶ τὸ Σωτήριον Κυρίου εὐαγγελιοῦνται. Καὶ πάντα τὰ πρόβατα Κηδὰρ συναχθήσονται καὶ κριοὶ Ναβαιὼθ ἥξουσι καὶ ἀνενεχθήσεται δεκτὰ ἐπὶ τὸ θυσιαστήριόν σου.»

Αἰνίττεσθαι δὲ οἶμαι διὰ τούτων τοὺς ἐν τῇ Ἐκκλησίᾳ εὐπόρους καὶ πλοῦτον περιρρεομένους· οὕτω γοῦν καὶ ὁ Σωτὴρ τὸν πλούσιον καμήλῳ παραβάλλων ἔλεγεν, «Εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.[1]» Πλὴν ἀλλὰ τὸ θαῦμα τοῦτ' ἦν, ὅτι τὸ παρὰ ἀνθρώποις ἀδύνατον, τοῦτο δυνατὸν γίνεται τῷ Θεῷ. Διὸ καὶ ἐξίσταται Ἱερουσαλὴμ διὰ τοῦ χαρᾶς πληροῦσθαι· καμήλοις δὴ παραβεβλημένας ψυχὰς θεωμένη μεταβαλούσας, καὶ ὥσπερ διὰ τρυμαλιᾶς ῥαφίδος διὰ τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ εἰς τὴν αἰώνιον ζωὴν εἰσιούσας. Οὐ δίχα δὲ φορτίου προσίεσαν αὗται, δῶρα δὲ τῷ Θεῷ προσφέρουσαι εἰκότως τὰ λύτρα τῆς αὐτῶν ψυχῆς. Οὐκοῦν αἱ κάμηλοι τὸ Σωτήριον Κυρίου εὐαγγελιοῦνται μετὰ τοῦ δῶρα προσφέρειν τὰ προλεχθέντα· λίβανον δὲ τὴν τῆς θεολογίας πνευματικὴν εὐωδίαν, χρυσὸν δὲ τὴν σωματικὴν εὐπορίαν. Ἡ δὲ Μαδιὰμ καὶ Γεφὰρ γόνιμοι καμήλων εἰσὶ χῶραι βαρβάρων, ὡς καὶ ἡ Σαβά, ὑπὲρ τὴν Ἀραβίαν κειμένη, παρ' οἷς πολυπληθεῖ τὸ τῶν καμήλων γένος· διὸ τῇ τούτων κέχρηται ὁ λόγος εἰκόνι. Καί μοι δοκεῖ διὰ τούτων ὁ λόγος θέλγειν καὶ ἐγγλυκαίνειν τὰς ἀκοὰς τὰς νηπιώδεις τῶν σωματικῶν Ἰουδαίων εἰς τὸ ἐφελκύσασθαι αὐτάς, καὶ προτρέψαι σπεύδειν εἰς τὸν κατὰ Θεὸν βίον καὶ πολιτείαν.

«Καὶ πάντα τὰ πρόβατα Κηδάρ·» τὸ ἀλλογενὲς καὶ ἀλλόφυλον τῶν τοιούτων δὴ ψυχῶν αἰνιττόμενος. Διὰ μὲν οὖν τῶν καμήλων οἱ εὔποροι καὶ πλούσιοι τῶν ἐν ἀνθρώποις ἐδηλοῦντο· διὰ δὲ τῶν προβάτων οἱ ἡμερώτατοι καὶ ἁπλούστατοι· διὰ δὲ τῶν κριῶν, οἱ ἀρχικώτατοι τῶν ἐξ ἐθνῶν ἐπιστρεφόντων· οὓς ἀνενεχθήσεσθαι δῶρα ἐπὶ τὸ θυσιαστήριον τοῦ Θεοῦ φησιν ὁ λόγος. Καὶ ἔστι τὸ λόγιον πληρούμενον θεάσασθαι· ἐπειδὰν ἐκ τῆς τῶν ἐθνῶν ἐπιστροφῆς τοιάσδε ψυχὰς ἴδοι τις ἀναθείσας ἑαυτὰς τῷ τῆς θεοσεβείας λόγῳ καὶ τῆς λειτουργίας τοῦ θυσιαστηρίου τοῦ Θεοῦ προσεδρευσάσας. Τότε γὰρ μάλιστα διὰ τῆς τῶν τοιούτων ἐπιστροφῆς καὶ σωτηρίας ἡ Ἐκκλησία τοῦ Θεοῦ δοξάζεται· διὸ λέλεκται καὶ ἑξῆς· «Καὶ ὁ οἶκος τῆς προσευχῆς μου δοξασθήσεται.»

Στίχ. η'. «Τίνες οἵδε; ὡς νεφέλαι πέτανται καὶ ὡσεὶ περιστεραὶ σὺν νεοσσοῖς ἐπ' ἐμέ.»

---

1. Ματθ. 19, 24.

Καὶ τοῦτο δὲ νοήσομεν ἐπιστήσαντες τῇ Παύλου φωνῇ διδασκούσῃ, ὡς ἄρα, «Ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Χριστοῦ, ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτως πάντοτε σὺν Κυρίῳ ἐσόμεθα·[1]» συναφθέντες δηλαδὴ καὶ συγκαταλεγέντες τῷ χορῷ τῶν ἐν τῷ προτέρῳ λαῷ κατωρθωκότων. Διὸ ἀποθαυμάζοντες τὴν εἰς ἀνθρώπους χυθεῖσαν τοῦ Χριστοῦ χάριν καὶ τῶν ἐξ ἐθνῶν σῳζομένων τὸ πλῆθος, τήν τε εἰς οὐρανοὺς αὐτῶν ἀνάπτησιν, τὴν μετὰ τὴν ἔξοδον τοῦ βίου φασί· «Τίνες οἵδε; ὡς νεφέλαι πέτανται, καὶ ὡς περιστεραὶ σὺν νεοσσοῖς ἐπ' ἐμέ.»

Στίχ. θ'. «Ἐμὲ αἱ νῆσοι ὑπέμειναν, καὶ πλοῖα Θαρσεῖς ἐν πρώτοις, ἀγαγεῖν τὰ τέκνα σου μακρόθεν, καὶ τὸν ἄργυρον καὶ τὸν χρυσὸν αὐτῶν μετ' αὐτῶν, καὶ διὰ τὸ ὄνομα Κυρίου τὸ ἅγιον, καὶ διὰ τὸ τὸν ἅγιον τοῦ Ἰσραὴλ ἔνδοξον εἶναι.»

Τὰς ἐκκλησίας δὲ νήσους καὶ διὰ τῶν ἔμπροσθεν ὁ λόγος ᾐνίττετο σημαίνων. Ἐπεὶ τοίνυν τὰς ἐπηγγελμένας πρὸς τοὺς πατέρας ἐπαγγελίας αἱ ἐκκλησίαι τοῦ Θεοῦ τὰς προφητείας διερχόμεναι προσεδόκων, εἰκότως φησίν· «Ἐμὲ νῆσοι ὑπέμειναν. Πλοῖα Θαρσεῖς·» αἰνίττεται τὰ σώματα οἷς ἐπενήξαντο κατὰ τὸν θνητὸν βίον αἱ ψυχαί. Θαρσεῖς δὲ ἀλλοφύλων πάλιν ἐτύγχανε χώρα· διὸ περὶ ἀλλοφύλων ἀπίστων εἴρηταί που· «Ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσεῖς.[2]» Ἀλλ' ἐκεῖνο μὲν συνετρίβετο· ἐνταῦθα δὲ τὰ τέκνα τῆς παλαιᾶς Ἱερουσαλὴμ τὰ ἐξ ἐθνῶν αὐτῇ προσγενόμενα αὐτοῖς πλοίοις μακρόθεν πρὸς αὐτὴν ἥξει· τουτέστιν, αὐτοῖς σώμασιν ἐπὶ τὸ κρεῖττον μεταβληθεῖσι. Ἥξουσι τοίνυν αὐτοῖς τοῖς σώμασιν οἱ προλεχθέντες τὰς κατ' ἀρετὴν πράξεις ἄργυρον καὶ χρυσὸν ὀνομαζομένας ἐπαγόμενοι. Πράξεις δὲ οἶδε τὸν χρυσὸν καὶ τὸν ἄργυρον ὁ Ἀπόστολος.

Στίχ. ι', ια'. «Καὶ οἰκοδομήσουσιν ἀλλογενεῖς τὰ τείχη σου καὶ οἱ βασιλεῖς αὐτῶν παραστήσονταί σοι. Διὰ γὰρ ὀργήν μου ἐπάταξά σε καὶ διὰ ἔλεον ἠγάπησά σε. Καὶ ἀνοιχθήσονται αἱ πύλαι σου διὰ παντός, ἡμέρας καὶ νυκτὸς οὐ κλεισθήσονται, εἰσαγαγεῖν πρὸς σὲ δύναμιν ἐθνῶν, καὶ βασιλεῖς αὐτῶν ἀγομένους.»

Καὶ αὐτὸ δι' ἔργων ἐπιτελούμενον ὄψει ἐπιστήσας τὸν νοῦν, ὡς ἐξ ἀλλογενῶν καὶ ἀλλοφύλων ἐθνῶν τῆς Ἐκκλησίας τοῦ Θεοῦ προεστῶτες ἄνδρες διδασκαλίαις περιφράττουσιν, ὥσπερ τισὶ περιβόλοις καὶ τείχεσιν ἀσφαλιζόμενοι τὸν τῆς θεοσεβείας λόγον, εἰς τὸ μὴ παρεισδύεσθαι τοὺς ἀλλοτρίους τῆς πίστεως, μηδὲ χώραν ἔχειν ἐπιβουλῆς κατὰ τῶν τῆς ἀληθείας δογμάτων. Οἱ γοῦν τῶν Ῥωμαϊκῶν ταγμάτων ἄρχοντες, καὶ τῶν κρατούντων βασιλέων ὁ φόβος τὰ μεγάλα συμβάλλεται πρὸς ἀνατροπὴν τῶν ἐπιβουλεύειν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ πειρωμένων. Πύλαι δὲ τῆς τοῦ Θεοῦ πόλεως τίνες ἂν εἶεν ἢ αἱ στοιχειώδεις καὶ εἰσακτικαὶ διδασκαλίαι; Διὰ νυκτὸς καὶ ἡμέρας, φησίν, ἠνεῷχθαι πᾶσιν

---

1. Α' Θεσσ. 4, 16. 2. Ψαλμ. 47, 8.

ἀνθρώποις πρὸς τὸ πάντας εἰσδέχεσθαι τοὺς ἐξ ἁπάντων τῶν ἐθνῶν θεοσεβεῖν προῃρημένους. Δυνάμεις μὲν οὖν τῶν ἐθνῶν οἱ δυνάμενοι λέγειν· «Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με·[1]» βασιλεῖς δὲ αὐτῶν οἱ ἐξαίρετοι καὶ τῆς ἐπουρανίου βασιλείας ἄξιοι. Ἤδη δὲ καὶ σωματικοὺς Ῥωμαίων αὐτοκράτορας καὶ βασιλεῖς ὁρῶν τις ὑποτρέχοντας τῆς Ἐκκλησίας τοῦ Θεοῦ τὰς πύλας, καὶ τῶν εἴσω πυλῶν μυστηρίων καταξιουμένους, πῶς οὐκ ἀλήθειαν μαρτυρήσει τῷ θεσπίσματι;

Στίχ. ιβ', ιγ'. «Τὰ γὰρ ἔθνη καὶ οἱ βασιλεῖς, οἵτινες οὐ δουλεύσουσί σοι, ἀπολοῦνται, καὶ τὰ ἔθνη ἐρημίᾳ ἐρημωθήσεται. Καὶ ἡ δόξα τοῦ Λιβάνου πρὸς σὲ ἥξει ἐν κυπαρίσσῳ, καὶ πεύκῃ καὶ κέδρῳ ἅμα, δοξάσαι τὸν τόπον τὸν ἅγιόν μου.»

Δουλεῦσαι γὰρ δεῖ τὴν σωτήριον καὶ καλλίστην δουλείαν τῇ τοῦ Θεοῦ πόλει, λέγω δὲ τῇ Ἐκκλησίᾳ, καὶ τῷ ἐν αὐτῇ θεοσεβεῖ πολιτεύματι τὰ κάλλιστα καὶ ὑψηλότατα τῶν ἐν τῷ Λιβάνῳ φυτὰ κομισθήσεται, εἰς τὸ δι' αὐτῶν δοξασθῆναι τὸν τόπον τὸν ἅγιόν μου. Τοιοῦτοι δ' ἂν εἶεν οἱ ἐξ ἐθνῶν ἐλλόγιμοι ἄνδρες καὶ σοφίας τοῦ αἰῶνος τούτου μετεσχηκότες· οὓς ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ διαπρέποντας καὶ κοσμοῦντας αὐτὴν τῇ τοῦ λόγου παρασκευῇ θεασάμενος οὐκ ἂν ἁμάρτοις αὐτοὺς εἶναι τὰ ξύλα τοῦ Λιβάνου, κυπάρισσον καὶ πεύκας καὶ κέδρους, κατὰ νόμον ἀλληγορίας εἰπών· δι' ὧν δοξάζεται ὁ τόπος ὁ ἅγιος τοῦ Θεοῦ καὶ ὁ τόπος τῶν ποδῶν αὐτοῦ, δηλαδὴ ἡ Ἐκκλησία.

Στίχ. ιδ'. «Καὶ πορεύσονται πρὸς σὲ δεδοικότες υἱοὶ ταπεινωσάντων σε, καὶ παροξυνάντων σε καὶ κληθήσῃ πόλις Σιών, ἁγίου Ἰσραήλ.»

Καὶ ἄλλως δὲ τῶν πάλαι βλασφημησάντων τὴν Ἐκκλησίαν, καὶ παροξυνάντων αὐτὴν καὶ διωξάντων, πολλοὺς ἴσμεν μεταβαλόντας καὶ ἐπὶ τὸ προσκυνεῖν τὸν ἐν αὐτῇ Θεὸν ἐληλυθότας.

Στίχ. ιε'-ιζ'. «Διὰ τὸ γεγενῆσθαί σε ἐγκαταλελειμμένην, καὶ μεμισημένην, καὶ οὐκ ἦν ὁ βοηθῶν. Καὶ θήσω σε ἀγαλλίαμα αἰώνιον, εὐφροσύνην γενεῶν γενεαῖς, καὶ θηλάσεις γάλα ἐθνῶν καὶ πλοῦτον βασιλέων φάγεσαι. Καὶ γνώσῃ, ὅτι ἐγὼ Κύριος ὁ σῴζων σε, καὶ ἐξαιρούμενός σε Θεὸς Ἰσραήλ. Καὶ ἀντὶ χαλκοῦ οἴσω σοι χρυσίον, καὶ ἀντὶ σιδήρου οἴσω σοι ἀργύριον· ἀντὶ δὲ ξύλων οἴσω σοι χαλκόν, ἀντὶ δὲ λίθων, σίδηρον. Καὶ δώσω τοὺς ἄρχοντάς σου ἐν εἰρήνῃ καὶ τοὺς ἐπισκόπους σου ἐν δικαιοσύνῃ.»

Τοῦτο δὲ τί ποτ' ἂν εἴη εἰ μὴ τὸ καινὸν μυστήριον τῆς εὐαγγελικῆς διδασκαλίας, καὶ ἡ στοιχειώδης διδασκαλία τῆς Καινῆς Διαθήκης, ἧς μετέχουσιν οἱ ἐν Χριστῷ ἀναγεννώμενοι, βελτίους μὲν ἑαυτῶν γενησόμενοι καὶ χρησιμώτεροι τῇ τοῦ Θεοῦ οἰκοδομῇ κατὰ τοὺς πρώτους, οἳ ἀντὶ χαλκοῦ καὶ σιδήρου χρυσοῦ τε καὶ ἀργύρου τιμὴν ἀντικατηλλάξαντο;

---

1. Φιλιπ. 4, 13.

Στίχ. ιη'. «Καὶ οὐκ ἀκουσθήσεται ἔτι ἀδικία ἐν τῇ γῇ σου, οὐδὲ σύντριμμα, οὐδὲ ταλαιπωρία ἐν τοῖς ὁρίοις σου· ἀλλὰ κληθήσεται Σωτήριον τὰ τείχη σου, καὶ αἱ πύλαι, γλύμμα.»

Ἀντὶ δὲ τοῦ, «Σωτηρίου», ἡ Ἑβραϊκὴ ἀνάγνωσις τὸν «Ἰησοῦν» αὐτόν τε περιέχει αὐτοῖς στοιχείοις καὶ χαρακτῆρσιν, οἵοις ὁ Σωτὴρ ἡμῶν ἀναγράφεται· ὡς τὴν αὐτοῦ δύναμιν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ ἀντὶ περιβόλου καὶ τείχους στερροῦ τοῖς ἀξίοις τοῦ Θεοῦ γενέσθαι.

Στίχ. ιθ'. «Καὶ οὐκ ἔσται ἔτι σοι ὁ ἥλιος εἰς φῶς ἡμέρας, οὐδὲ ἀνατολὴ σελήνης φωτιεῖ σου τὴν νύκτα· ἀλλ' ἔσται σοι Κύριος φῶς αἰώνιον καὶ ὁ Θεός, δόξα σου.»

Στήλη δέ τις ἔσται φῶς ἀπαστράπτουσα θεῖον, τὸ σῶμα τῆς ἀναστάσεως, τὸ λεγόμενον ἱμάτιον Σωτηρίου. Οὐκέτι γὰρ θανάτου σῶμα, οἷον ὁ Παῦλος ἐδήλου λέγων· «Τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;[1]» ἔσται κἀκεῖνο σωτήριον. Σωτήριον δὲ ἱμάτιον τῇ ψυχῇ περιθήσεται, καὶ χιτῶνα εὐφροσύνης· ἕκαστος γὰρ ταῖς ἑαυτοῦ πράξεσι ταῖς κατὰ δικαιοσύνην πεπραγμέναις τὸν ἑαυτοῦ κόσμον ἐνδύσεται.

Στίχ. κ-κβ'. «Οὐ γὰρ δύσεταί σοι ὁ ἥλιός σοι καὶ ἡ σελήνη σοι οὐκ ἐκλείψει· ἔσται γάρ σοι Κύριος φῶς αἰώνιον καὶ ἀναπληρωθήσονται αἱ ἡμέραι τοῦ πένθους σου. Καὶ ὁ λαός σου πᾶς δίκαιος, δι' αἰῶνος κληρονομήσουσι τὴν γῆν, φυλάσσων τὸ φύτευμα ἔργα χειρῶν αὐτοῦ εἰς δόξαν. Ὁ ὀλιγοστὸς ἔσται εἰς χιλιάδας καὶ ὁ ἐλάχιστος, εἰς ἔθνος μέγα. Ἐγὼ Κύριος κατὰ καιρὸν συνάξω αὐτούς.

ΚΕΦΑΛΑΙΟΝ ΞΑ'.

«Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με..»

ΚΕΦΑΛΑΙΟΝ ΞΒ'.

Στίχ. α'-γ'. «Διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη αὐτῆς· τὸ δὲ Σωτήριόν μου ὡς λαμπὰς καυθήσεται. Καὶ ὄψονται τὰ ἔθνη τὴν δικαιοσύνην σου καὶ βασιλεῖς τὴν δόξαν σου. Καὶ καλέσει σε τὸ ὄνομα τὸ καινόν, ὃ ὁ Κύριος ὀνομάσει αὐτό. Καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ Κυρίου καὶ διάδημα βασιλείας ἐν χειρὶ Θεοῦ σου.»

Ὃν ἀπολήψεται τότε λέγουσα· «Τὸν καλὸν ἠγώνισμαι ἀγῶνα, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος.[2]» Ἡ δὲ αὐτή, νύμφη τις οὖσα τοῦ νυμφίου Λόγου καὶ τὰ παρ' αὐτοῦ σπέρματα ὑποδεξαμένη, καρποὺς ὡραίους

1. Ῥωμ. 7, 24. 2. Β' Τιμ. 4, 7-8.

καὶ εὐανθεῖς ἀποδίδωσι. Πάλιν δὲ κἀνταῦθα τὸ θεοσεβὲς πολίτευμα τὸ πάλαι συνεστὸς παρὰ Ἰουδαίοις δηλοῖ. Στέφανος γὰρ ὡς ἀληθῶς Χριστοῦ πάντες οἱ δι' αὐτοῦ κατορθοῦντες τυγχάνουσι, καὶ διάδημα βασιλείας εἰσὶ τῆς αὐτοῦ οἱ τοῖς ὑπὲρ αὐτοῦ ἐνηθληκότες ἀγῶσιν, οἱ ἅγιοι μάρτυρες, οὓς τῇ ἑαυτοῦ χειρὶ ὁ Πατὴρ ἐκλεξάμενος τῷ Υἱῷ περιτίθησι, στεφανῶν αὐτὸν καὶ διαδήματι βασιλικῷ τιμῶν τὸ πλῆθος τῶν δι' αὐτοῦ καὶ ὑπ' αὐτοῦ σεσωσμένων.

«Καὶ καλέσει σε ὄνομα καινόν, ὃ ὁ Κύριος ὀνομάσει αὐτό·» τουτέστι κατὰ τὸ θέλημα τὸ ἐμὸν ὀνομασθήσεται.

Στίχ. δ', ε'. «Καὶ οὐκέτι κληθήσῃ καταλελειμμένη καὶ ἡ γῆ σου οὐ κληθήσεται ἔτι ἔρημος· σοὶ γὰρ κληθήσεται, θέλημα ἐμόν· καὶ ἡ γῆ σου, οἰκουμένη· ὅτι εὐδόκησε Κύριος ἐν σοί, καὶ ἡ γῆ σου συνοικισθήσεται. Καὶ ὡς συνοικῶν νεανίσκος παρθένῳ, οὕτω κατοικήσουσιν οἱ υἱοί σου. Καὶ ἔσται ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί.»

Ἐν τῷ καινῷ αἰῶνι τῆς Χριστοῦ βασιλείας συστήσεται, μόνους ἕξουσα οἰκήτορας τοὺς τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ καταξιωθησομένους, οἳ καὶ ἐν τοσαύτῃ θυμηδίᾳ καὶ εὐφροσύνῃ διάξουσιν, ὡς ἔοικε νεανίσκῳ ἁγίῳ ἀνδρὶ συνόντι παρθένῳ καθαρᾷ, οὐδαμῶς μὲν αὐτῆς τὴν παρθενίαν σπιλοῦντι· τῇ δὲ ἁγνείᾳ τῇ παρθενικῇ καὶ τῇ καθαρᾷ συνδιατριβῇ καὶ συνοικεὶ χαίροντι. Καὶ οἱ μὲν υἱοί σου οὕτως εὐφρανθήσονται· αὐτὸς δὲ ὁ Κύριος τὴν ἑαυτοῦ νύμφην ἀπολαβών, σὲ τὴν ἁγίαν Ἐκκλησίαν, ἐκ τελείων μελῶν συνεστῶσαν, ἔκ τε τοῦ προτέρου λαοῦ καὶ τοῦ νέου τοῦ ἐξ ἐθνῶν. Εἶτα καὶ πρὸς τὴν Ἐκκλησίαν ποιεῖται τοὺς λόγους· ταύτης γεγόνασιν υἱοὶ κατὰ σάρκα οἱ θεσπέσιοι μαθηταί, τὴν εἰς ἄκραν αὐτῆς σῴζοντες ἀγάπην· ὥστε δοκεῖν τὴν γενομένην φιλοστοργίαν, οἷά περ νεανίσκῳ συνῳκηκότι παρθένῳ. Οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί, καθάπερ ἀμέλει καὶ νυμφίος ἐπὶ νύμφῃ. Καθήκετο γὰρ ἐξ οὐρανῶν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἵν' ἔγκαρπον ἀποφήνῃ τὴν Ἐκκλησίαν, ἣν αὐτὸς ἑαυτῷ παρέστησε παρθένον ἁγνήν, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα· ἁγίαν δὲ μᾶλλον καὶ ἄμωμον. Δεξαμένη τοίνυν παρ' αὐτοῦ τῆς εὐαγγελικῆς πολιτείας τὰ σπέρματα, πνευματικαῖς θυσίαις καὶ ἁγιοπρεπέσι κατορθώμασι τὴν νύμφην ἐκλάμπουσαν ἀπέδειξεν.

Στίχ. ς'-η'. «Καὶ ἐπὶ τῶν τειχῶν σου, Ἱερουσαλήμ, κατέστησα φύλακας ὅλην τὴν ἡμέραν καὶ ὅλην τὴν νύκτα, οἳ διὰ τέλους οὐ σιωπηθήσονται, μιμνησκόμενοι Κυρίου. Οὐκ ἔστι γὰρ ὑμῖν ὅμοιος, ἐὰν διορθώσῃ, καὶ ποιήσῃ Ἱερουσαλὴμ γαυρίαμα ἐπὶ τῆς γῆς. Ὤμοσε Κύριος κατὰ τῆς δόξης αὐτοῦ, καὶ κατὰ τῆς ἰσχύος τοῦ βραχίονος αὐτοῦ.»

Πάλαι μὲν γὰρ ταῦτα ἐγένετο, ὁπηνίκα τὸν ἑαυτῶν καρπὸν βρῶμα παρεῖχον τοῖς ἐχθροῖς τοῦ Θεοῦ, τοιαῦτα πράττοντες καὶ ἐνεργοῦντες ὡς δαιμονίων γίνεσθαι τροφὴν τὰς ἑαυτῶν πράξεις· νυνὶ δὲ τοῖς

τοῦ νέου αἰῶνος καταξιωθησομένοις, καὶ τῶν ἐπηγγελμένων τευξομένοις, ὅρκῳ ὄμνυσιν ὁ Κύριος μηκέτι δώσειν ἐχθροῖς τοὺς καρποὺς αὐτῶν, ἀλλ' αὐτοὺς αὐτῶν ἀπολαύειν. Κατορθοῦντας γὰρ τὸν κατ' ἀρετὴν βίον καὶ θεοσεβῶς διάγοντας, δίκαιον τῶν οἰκείων ἀπολαύειν καρπῶν. «Εἰ ἔτι δώσω τὸν σῖτόν σου καὶ τὰ βρώματά σου τοῖς ἐχθροῖς σου καὶ ἔτι πίονται υἱοὶ ἀλλότριοι τὸν οἶνόν σου, ἐφ' ᾧ ἐμόχθησας.»

Στίχ. θ'. «'Αλλ' οἱ συναγαγόντες φάγονται αὐτά, καὶ αἰνέσουσι Κύριον, καὶ οἱ συναγαγόντες πίονται αὐτὰ ἐν ταῖς ἐπαύλεσι ταῖς ἁγίαις μου.»

Εἶεν δ' ἂν αὗται αἱ πολλαὶ μοναὶ αἱ παρὰ τῷ Πατρί.

Στίχ. ι'. «Πορεύεσθε διὰ τῶν πυλῶν μου.»

Νοεῖν δὲ ἡμῖν παρέχει διὰ τούτων τὴν ἐπουράνιον τοῦ Θεοῦ πόλιν, καὶ τὰς αὐτῆς πύλας· ἃ δὴ πάντα κατὰ τὸν ἐπηγγελμένον αἰῶνα ἀναπετασθήσεται τοῖς ἀξίοις καὶ λεχθήσεται· «Πορεύεσθε διὰ τῶν πυλῶν μου, καὶ ὁδοποιήσατε τῷ λαῷ μου, καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαρρίψατε. 'Εξάρατε σύσσημον εἰς τὰ ἔθνη.» Μηδὲν γάρ, φησίν, ἔσται κώλυμα, μηδὲ ἐμπόδιον, μηδέ τις φθόνος, μηδὲ βάσκανος, μὴ πρόφασίς τε, μηδὲ δαίμων, μὴ πνεῦμα πονηρόν, μὴ δύναμις ἀντικειμένη διακωλυέτω τὸν λαὸν τὸν ἐμὸν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσιέναι. Ταῦτα δὲ πρός τινας ἀγγελικὰς λεχθήσεται δυνάμεις.

Στίχ. ια', ιβ'. «'Ιδοὺ γὰρ Κύριος ἐποίησεν ἀκουστὸν ἕως ἐσχάτου τῆς γῆς· Εἴπατε τῇ θυγατρὶ Σιών· 'Ιδοὺ ὁ Σωτήρ σοι παραγέγονεν ἔχων τὸν ἑαυτοῦ μισθὸν καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ. Καὶ καλέσει αὐτὸν λαὸν ἅγιον, λελυτρωμένον ὑπὸ Κυρίου. Σὺ δὲ κληθήσῃ ἐπιζητουμένη πόλις καὶ οὐκ ἐγκαταλελειμμένη.»

Μὴ γὰρ νομιζέτω τις, φησίν, περὶ τοῦ 'Ιουδαίων λαοῦ ταῦτα εἰρῆσθαι· ἐπειδήπερ πάντα τὰ ἔθνη τὸ σημεῖον αἴρεσθαι προστάττει, καὶ πάντας ἕως ἐσχάτου τῆς γῆς εὐαγγελίζεται τὰ προλεχθέντα. Πάλαι μὲν οὖν κατὰ τὴν πρώτην αὐτοῦ παρουσίαν ὁ αὐτὸς ἦν Σωτὴρ δι' ὧν ἔπραξε καὶ πέπονθεν ὑπὲρ τοῦ τῶν ἀνθρώπων γένους τὴν παρὰ τοῦ Θεοῦ σωτηρίαν τοῖς εἰς αὐτὸν πιστεύουσι προξενῶν, παρ' ᾧ καὶ 'Ιησοῦς ὠνομάσθη, κατὰ τὴν τοῦ ἀγγέλου μαρτυρίαν.

ΚΕΦΑΛΑΙΟΝ ΞΓ'.

Στίχ. ια'. «Τίς οὗτος ὁ παραγενόμενος ἐξ 'Εδώμ, ἐρύθημα ἱματίων ἐκ Βοσόρ; οὕτως ὡραῖος ἐν στολῇ αὐτοῦ· βίᾳ μετὰ ἰσχύος. 'Εγὼ διαλέγομαι δικαιοσύνην καὶ κρίσιν Σωτηρίου.»

Προσωποποιεῖ ὁ λόγος ἐρωτήσεις τινῶν ὁρώντων τὸν Χριστὸν πολεμικῷ σχήματι θεωρούμενον καὶ τὴν περιβολὴν ᾑμαγμένον· οἳ καὶ πρὸς ἀλλήλους φασὶ τὸ ξένον τοῦ σχήματος ἐκπληττόμενοι· «Τίς οὗτος ὁ παραγενόμενος ἐξ 'Εδώμ, ἐρύθημα ἱματίων ἐκ Βοσόρ;»

Ἐπειδὴ γὰρ ἡ Ἐδὼμ καὶ ἡ Βοσὸρ τῆς τῶν ἀλλοφύλων χώρας καὶ ἀεὶ τῶν πολεμίων τοῦ Ἰσραὴλ τυγχάνουσιν, εἰκότως διὰ τούτων τῶν ὀνομάτων τὰς ἀντικειμένας δυνάμεις αἰνίττεται, καὶ τῶν ἀνῃρημένων, καὶ ὡσπερεὶ κατεσφαγμένων τὸν ἱματισμὸν αὐτοῦ φησι πεφοινίσθαι. Σφόδρα δὲ αὐτὸν ἀλλοῖον ὁρῶντες ἐκ τῆς κατὰ τῶν ἀσεβῶν τιμωρίας, οὐδὲ γνωρίζειν ἐοίκασιν αὐτόν, φαιδρὸν καὶ γαληνὸν καὶ ἥμερον αὐτὸν ἐπιστάμενοι· διὸ πυνθάνονται λέγοντες· «Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ, ἐρύθημα ἱματίων ἐκ Βοσόρ;»— «Ὑπερμαχῶν» γάρ, κατὰ τὸν Σύμμαχον, τῶν ἀδίκως ὑπὸ τῶν ἀντικειμένων δυνάμεων καταπονουμένων, τοὺς μὲν ὡς ἐχθροὺς μετήρχετο, τοὺς δὲ ἔσῳζεν ἐλευθερῶν τῆς ὑπὸ τοῖς ἐχθροῖς δυναστείας.

Στίχ. β΄. «Διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ; Πλήρης πεπατημένης.»

Ὅρα δὲ πῶς εἴρηται ληνὸν πεπατηκέναι μονώτατος. Μόνῳ γὰρ αὐτῷ τὴν κρίσιν δέδωκεν ὁ Πατήρ, τὴν δὲ τῶν ἁμαρτημάτων ἔκπραξιν ληνὸν εἴωθε καλεῖν· διὸ ἐν τοῖς Θρήνοις Ἱερεμίας φησί· «Ληνὸν ἐπάτησε Κύριος παρθένῳ θυγατρὶ Ἰούδα· ἐπὶ τούτοις ἐγὼ κλαίω.[1]» Ὥσπερ δὲ ἡ ἐπὶ τὸ αὐτὸ τῶν ἁμαρτημάτων εὐθύνη καὶ ὁ ἔλεγχος ἐπ' αὐτοῖς, ἥ τε ἔκπραξις καὶ ἡ τιμωρία ληνὸς ὠνόμασται, οὕτω καὶ τῶν ἀγαθῶν καρπῶν ἐκ τῆς ἀγαθῆς ἀμπέλου τρυγωμένων ληνοὶ θεοφιλεῖς καὶ Θεῷ ἀρεσταὶ γίνονται· ἐφ' αἷς καὶ «Ἐπιλήνιοι» ὕμνοι εἴρηνται ἐν τοῖς Ψαλμοῖς. «Διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ; Πλήρης πεπατημένης.» Μολύνει δὲ τὰ ἐνδύματα αὐτοῦ, ὥσπερ ἐρυθρὰ γενέσθαι αὐτὰ λέγεται προσωποποιίᾳ ἐμφατικῇ· ὥσπερ καὶ τὸ αἷμα τῶν ἐχθρῶν, περὶ οὗ φησι· «Καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν.» Οὐ γὰρ δὴ αἰσθητὸν αἷμα νοητέον εἶναι περὶ τὰς ἀντικειμένας δυνάμεις.

Στίχ. γ΄. «Καὶ τῶν ἐθνῶν οὐκ ἔστιν ἀνὴρ μετ' ἐμοῦ. Καὶ κατεπάτησα αὐτοὺς ἐν θυμῷ μου καὶ κατέθλασα αὐτοὺς ὡς γῆν καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν.»

Ἐπειδὴ γὰρ ἐδόκουν τὸ πρότερον ἀνυπότακτοί τινες εἶναι καὶ μηδὲν παραχωροῦντες τῆς νίκης, εἰκότως, τὴν ἧτταν καὶ τὴν ταπείνωσιν αὐτῶν αἰνιττόμενος, φάσκει εἰς γῆν κατενηνοχέναι τὸ νῖκος αὐτῶν. «Καὶ κατεπάτησα αὐτοὺς ὡς γῆν, καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν.»

Στίχ. δ΄. «Ἡμέρα γὰρ ἀνταποδόσεως ἐπῆλθεν αὐτοῖς καὶ ἐνιαυτὸς λυτρώσεως πάρεστι.»

Ἐν ταυτῷ γὰρ τοὺς μὲν οἰκείους λυτρώσεται, τοῖς δὲ ἀνταποδώσει, κατὰ τὸ εἰρημένον παρὰ Μωϋσῇ· «Καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσιν ἀνταποδώσει.»

Ὥσπερ τοῖς κατορθώσασι τὴν θεοσέβειαν ὁ Σωτὴρ ἐλέγετο ἐληλυθέναι, ἔχων τὸν ἑαυτοῦ μισθόν, ὡς ἂν τὰς ἀμοιβὰς ἀποδῷ καὶ τὰ

1. Θρ. Ἱερ. 1, 15.

βραβεῖα τῆς ἄνω κλήσεως τοῖς ὑπὲρ εὐσεβείας ἠγωνισμένοις· οὕτω τοῖς ἀσεβέσι καὶ τὴν ἐναντίαν ὁδὸν πορευομένοις ὁ αὐτός ἐστι φόβος καὶ τὸ τιμωρητικὸν ἥξειν θεσπίζεται. «Καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσιν ἀνταποδώσει.»

Στίχ. ε΄, ϛ΄. «Καὶ ἐπέβλεψα, καὶ οὐκ ἦν βοηθός· καὶ προσενόησα, καὶ οὐδεὶς ἀντελαμβάνετο. Καὶ ἐρρύσατο αὐτοὺς ὁ βραχίων μου καὶ ὁ θυμός μου ἐπέστη. Καὶ κατεπάτησα αὐτοὺς τῇ ὀργῇ μου, καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν.»

Νοήσομεν δὲ πῶς ὁ λόγος εἴρηται, ἐπιστήσαντες πῶς μόνος αὐτὸς ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβὼν καὶ ἐταπείνωσεν ἑαυτὸν ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Ἃ γὰρ οὐδεὶς πώποτε ἀνθρώπων, οὐδὲ ἀγγέλων, οὐδὲ τῶν θείων δυνάμεων ὑπέστη, μόνος αὐτὸς ὑπὲρ τῆς ἡμετέρας ἀναδείκνυται σωτηρίας, καὶ μόνῳ αὐτῷ ὁ Πατὴρ ἐχαρίσατο τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα καὶ τὴν κατὰ πάντων κρίσιν ἐνεχείρισεν· ὁ δέ, τὴν παρὰ Πατρὸς λαβὼν ἐξουσίαν, τοὺς μὲν ἐρρύετο, οὓς σωτηρίας ἠξίου, τοὺς δὲ πολεμίους καὶ τοὺς ἐχθροὺς ἐτροποῦτο.

Στίχ. ζ΄, η΄. «Τὸν ἔλεον Κυρίου ἐμνήσθην, τὰς ἀρετὰς Κυρίου ἐν πᾶσιν, οἷς ἡμῖν ἀνταποδίδωσι. Κύριος κριτὴς ἀγαθὸς τῷ οἴκῳ Ἰσραήλ, ἐπάγει ἡμῖν κατὰ τὸ ἔλεος αὐτοῦ καὶ κατὰ τὸ πλῆθος τῆς δικαιοσύνης αὐτοῦ. Καὶ εἶπεν· Οὐχ ὁ λαὸς λαός μου· τέκνα οὐ μὴ ἀθετήσωσι. Καὶ ἐγένετο αὐτοῖς εἰς σωτηρίαν.»

Ταῦτα τοίνυν, φησί, πάντα ἀναμνήσω τὰ πλήθη καταριθμούμενος τῆς ἀγαθωσύνης αὐτοῦ, ἐν οἷς καὶ τοῦτο μέγιστον ἐδωρήσατο χάρισμα, καταξιώσας τέκνα αὐτοῦ ὀνομάσαι τὸν λαόν, εἰ μὴ ἀθετοῖεν τὴν αὐτοῦ χάριν.

Στίχ. θ΄-ιϛ΄. «Ἐκ πάσης θλίψεως αὐτῶν οὐ πρέσβυς, οὐδὲ ἄγγελος, ἀλλ' αὐτὸς ἔσωσεν αὐτούς, διὰ τὸ ἀγαπᾶν αὐτοὺς καὶ φείδεσθαι αὐτῶν. Αὐτὸς ἐλυτρώσατο αὐτοὺς καὶ ἀνέλαβεν αὐτοὺς καὶ ὕψωσεν αὐτοὺς πάσας τὰς ἡμέρας τοῦ αἰῶνος. Αὐτοὶ δὲ ἠπείθησαν καὶ παρώξυναν τὸ Πνεῦμα τὸ ἅγιον αὐτοῦ· καὶ ἐστράφη αὐτοῖς εἰς ἔχθραν· αὐτὸς ἐπολέμησεν αὐτούς. Καὶ ἐμνήσθη ἡμερῶν αἰωνίων. Ποῦ ὁ ἀναβιβάσας ἐκ τῆς θαλάσσης τὸν ποιμένα τῶν προβάτων; Ποῦ ἐστιν ὁ θεὶς ἐν αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον; ὁ ἀγαγὼν τῇ δεξιᾷ Μωϋσῆν, ὁ βραχίων τῆς δόξης αὐτοῦ; Κατίσχυσεν ὕδωρ ἀπὸ προσώπου αὐτοῦ, ποιῆσαι ἑαυτῷ ὄνομα αἰώνιον. Ἤγαγεν αὐτοὺς δι' ἀβύσσου, ὡς ἵππον δι' ἐρήμου, καὶ οὐκ ἐκοπίασαν, καὶ ὡς κτήνη διὰ πεδίου κατέβη Πνεῦμα παρὰ Κυρίου, καὶ ὡδήγησεν αὐτούς. Οὕτως ἤγαγες τὸν λαόν σου, ποιῆσαι σευατῷ ὄνομα δόξης. Ἐπίστρεψον ἐκ τοῦ οὐρανοῦ καὶ ἴδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου. Ποῦ ἐστιν ὁ ζῆλός σου καὶ ἡ ἰσχύς σου; Ποῦ ἐστι τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ οἰκτιρμῶν σου, ὅτι ἀνέσχου ἡμῶν; Σὺ γὰρ εἶ Πατὴρ ἡμῶν, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς. Ἀλλὰ σύ, Κύριε, Πατὴρ ἡμῶν, ῥῦσαι ἡμᾶς, ἀπ' ἀρχῆς τὸ ὄνομά σου ἐφ' ἡμᾶς ἐστι.»

Ἤδη γὰρ καὶ ἄλλοτε πολλάκις ἁμαρτησάντων ἡμῶν ἀνέσχου· καὶ οὐδὲν θαυμαστόν, ἐπειδὴ ἅπαξ κατηξίωσας εἰπεῖν· «Ὁ λαός μου τέκνα, καὶ ὁ λαός μου υἱοί εἰσιν.» «Ὡς οὖν πατὴρ τέκνων καὶ πρότερον ἀνέσχου, καὶ νῦν πάλιν ἀνέσχου· οὐ γὰρ Ἀβραὰμ ἦν πατὴρ ἡμῶν, εἰ καὶ διακονεῖσθαι τῇ κατὰ σάρκα ἡμῶν ἔδοξε γενέσει. Ἀληθεῖ δὲ λόγῳ σὺ Πατὴρ ἡμῶν, οἷα πατὴρ πάντων πνευμάτων ὑπάρχων, καὶ τῶν κατ' εἰκόνα πεποιημένων ψυχῶν. Διὸ ῥύσασθαι ἡμᾶς ἀντιβολοῦμεν· «Ἀπ' ἀρχῆς τὸ ὄνομά σου ἐφ' ἡμᾶς ἐστι.»

Στίχ. ιζ'. «Τί ἐπλάνησας ἡμᾶς, Κύριε, ἀπὸ τῆς ὁδοῦ σου; ἐσκλήρυνας τὰς καρδίας ἡμῶν, τοῦ μὴ φοβεῖσθαί σε; Ἐπίστρεψον διὰ τοὺς δούλους σου, διὰ τὰς φυλὰς τῆς κληρονομίας σου.»

Ὁ προφήτης πάντα ἐπὶ τὸν Θεὸν ἀναφέρει· οὐχ ὡς τοῦ Θεοῦ αἰτίου ἡμῖν γινομένου τοῦ ἁμαρτάνειν, ἀλλ' ἐνδιδόντος καὶ συγχωροῦντος ἐκεῖνα πράττειν ἃ ἄν τις αἱρῆται· ὡς τὴν μὲν αἰτίαν ἔχειν ἐξ ἡμῶν, τὴν δὲ ἀναφορὰν ἐπὶ τὸν Θεόν. «Ἵνα μικρὸν κληρονομήσωμεν τοῦ ὄρους τοῦ ἁγίου σου·» ὡσεὶ καταλειφθέντων αὐτῶν καὶ μὴ ἀνατελλομένων διὰ πληγῶν τῶν κωλυουσῶν ἁμαρτάνειν.

Στίχ. ιθ'. «Ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδὲ ἐκλήθη τὸ ὄνομά σου ἐφ' ἡμᾶς.»

Ὡς ἐκ προσώπου τοῦ λαοῦ ταῦτά φησιν. Ὥσπερ γὰρ ἐσκλήρυνας πάντοτε τὴν καρδίαν τοῦ Φαραώ, οὕτω καὶ νῦν, φησίν, ἡμᾶς ἐσκλήρυνας, ἀναξίους εἶναι κρίνας τοῦ φόβου σου· ἀλλὰ καὶ ἐπλάνησας ἡμᾶς σὺ αὐτός, ὦ Κύριε, τοῦ μὴ γνωρίσαι τὴν ὁδόν σου. Πλὴν ἀλλ' εἰ καὶ ἡμεῖς τοιοῦτοι, σὺ γοῦν ὡς Θεός, διὰ τοὺς δούλους σου (εἰκὸς γὰρ εἶναί τινας ἐν τῷ πλήθει τοιούτους), ἐπίστρεψον. Καὶ ἐπειδὴ κλῆρός σου κατηξιώθημεν ὀνομάζεσθαι, ἱκετεύομεν «Ἐπιστρέψαι διὰ τοὺς δούλους σου, καὶ διὰ τὰς φυλὰς τῆς κληρονομίας σου.» Δυνηθῶμεν καὶ ἡμεῖς οἱ ἀνάξιοι μικρᾶς τινος ἐλπίδος τυχεῖν ἐν τῷ ἐπηγγελμένῳ ὑπὸ σοῦ ὄρει ἁγίῳ· οὗ παντελῶς νῦν ἐκπεπτώκαμεν· ἐπείπερ οἱ ὑπεναντίοι ἡμῶν κατεπάτησαν τὸ ἁγίασμά σου· καὶ τοῦτ' ἔπραξαν διὰ τὸ σὲ ἀποστραφῆναι ἡμᾶς. Οὕτω γοῦν καταλειφθέντες ἔρημοι τῆς σῆς ἐπισκοπῆς, τοιοῦτοι νῦν ἐσμεν, ὁποῖοι καὶ πρίν σε ἡμῶν ἄρξαι. Ὡς γὰρ ἦν ποτε χρόνος, ὅτε οὔτε προφήτας, οὔτε ἱερέας, οὔτε βασιλεῖς, οὔτε τι τῶν σῶν χαρισμάτων εἴχομεν· τὸν αὐτὸν τρόπον καὶ νῦν εἰς ἐκείνην κατέστημεν τὴν ἐρημίαν. Ταῦτα πάντα ἔοικεν ἀναφέρεσθαι ἐπὶ τὸν καιρὸν τὸν μετὰ τὴν παρουσίαν τοῦ Σωτῆρος ἡμῶν· ἐν ᾧ παντελῶς κατελείφθησαν διὰ τὰ κατὰ τοῦ Σωτῆρος ἡμῶν τολμηθέντα αὐτοῖς. Νῦν γὰρ ὡς ἀληθῶς τοιοῦτοι γεγόνασιν, ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρχεν αὐτῶν ὁ Θεός, ὥστε δύνασθαι λέγειν· «Ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδὲ ἐκλήθη τὸ ὄνομά σου ἐφ' ἡμᾶς.»

ΚΕΦΑΛΑΙΟΝ ΞΔ΄.

Στίχ. α΄. «Ἐὰν ἀνοίξῃς τὸν οὐρανόν, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται.»

Πλὴν ἀλλ᾽ ἴσμεν ἀκριβῶς καὶ πεπείσμεθα, ὅτι, ἐὰν θελήσῃς ἀνοῖξαι τὸν οὐρανὸν Θεὸς ὢν καὶ πάντα δυνάμενος, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, τὰς ἀντικειμένας δηλαδὴ δυνάμεις τὰς ἐπαιρομένας κατὰ τῆς γνώσεώς σου.

Στίχ. β΄. «Ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς τήκεται καὶ κατακαύσει πῦρ τοὺς ὑπεναντίους καὶ φανερὸν ἔσται τὸ ὄνομά σου τοῖς ὑπεναντίοις. Ἀπὸ προσώπου σου ἔθνη ταραχθήσονται.»

Καὶ μὴν «Θεὸν οὐδεὶς ἑώρακε πώποτε [1]», καί, «Οὐδεὶς ὄψεταί μου τὸ πρόσωπον, καὶ ζήσεται· [2]» ἀλλ᾽ ἔοικε τὸν Θεὸν διὰ τούτων αἰνίττεσθαι τὸν καὶ ἐπὶ τῆς ἐρήμου χρηματίσαντα Μωϋσῇ, τῷ τε παντὶ λαῷ ἑωραμένῳ διὰ τῆς ἐμφαινομένης τοῖς πᾶσι δόξης περὶ ἧς εἴρηται· «Καὶ ἑώρα πᾶς ὁ λαὸς τὴν δόξαν Κυρίου.[3]»

Στίχ. γ΄-ς΄. «Ὅταν ποιῇς τὰ ἔνδοξα, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη. Ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν, οὐδὲ ὀφθαλμοὶ ἡμῶν εἶδον Θεὸν πλήν σου, καὶ τὰ ἔργα σου, ἃ ποιήσεις τοῖς ὑπομένουσιν ἔλεον. Συναντήσεται γὰρ τοῖς ποιοῦσι τὸ δίκαιον, καὶ τῶν ὁδῶν σου μνησθήσονται. Ἰδοὺ σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν. Διὰ τοῦτο ἐπλανήθημεν καὶ ἐγενήθημεν ὡς ἀκάθαρτοι πάντες ἡμεῖς· ὡς ῥάκος ἀποκαθημένης πᾶσα ἡ δικαιοσύνη ἡμῶν.»

Εἰ δὲ καί τις ἐν ἡμῖν ἐνομίσθη εὑρίσκεσθαι δικαιοσύνη καὶ πρᾶξις δικαία, ἐρρυπωμένη καὶ αὐτὴ καὶ ἄτιμος ἐλήλεγκται.

Στίχ. ζ΄-ιβ΄. «Καὶ ἐξερρύημεν ὡς φύλλα διὰ τὰς ἀνομίας ἡμῶν· οὕτως ἄνεμος οἴσει ἡμᾶς· καὶ οὐκ ἔστιν ὁ ἐπικαλούμενος τὸ ὄνομά σου, καὶ ὁ μνησθεὶς ἀντιλαβέσθαι σου· ὅτι ἀπέστρεψας τὸ πρόσωπόν σου ἀφ᾽ ἡμῶν, καὶ παρέδωκας ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν. Καὶ νῦν, Κύριε, Πατὴρ ἡμῶν σύ, ἡμεῖς δὲ πηλός, ἔργα τῶν χειρῶν σου πάντες, μὴ ὀργίζου ἡμῖν σφόδρα, μὴ ἐν καιρῷ μνησθῇς ἁμαρτιῶν ἡμῶν. Καὶ νῦν ἐπίβλεψον, ὅτι λαός σου πάντες ἡμεῖς. Πόλις τοῦ ἁγίου σου ἐγενήθη ἔρημος Σιών, ὡς ἔρημος ἐγενήθη Ἱερουσαλήμ, εἰς κατάραν ὁ οἶκος, τὸ ἅγιον ἡμῶν, καὶ δόξα ἣν ηὐλόγησαν οἱ πατέρες ἡμῶν, ἐγενήθη πυρίκαυστος, καὶ πάντα ἔνδοξα ἡμῶν συνέπεσε. Καὶ ἐπὶ πᾶσι τούτοις ἀνέσχου, Κύριε, καὶ ἐσιώπησας, καὶ ἐταπείνωσας ἡμᾶς σφόδρα.»

ΚΕΦΑΛΑΙΟΝ ΞΕ΄.

Στίχ. α΄-γ΄. «Ἐμφανὴς ἐγενήθην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι, εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν. Εἶτα· Ἰδού εἰμι τῷ ἔθνει, οἳ οὐκ ἐκάλεσάν

1. Ἰω. 1, 18. 2. Ἔξ. 33, 20. 3. Ἀριθ. 16, 19.

μου τὸ ὄνομα. Ἐξεπέτασα τὰς χεῖράς μου ὅλην τὴν ἡμέραν πρὸς λαὸν ἀπειθοῦντα, καὶ ἀντιλέγοντα, τοὺς πορευομένους ὁδῷ οὐ καλῇ, ἀλλ' ὀπίσω τῶν ἁμαρτιῶν αὐτῶν. Ὁ λαὸς οὗτος ὁ παροξύνων με ἐναντίον ἐμοῦ διὰ παντός· αὐτοὶ θυσιάζουσιν ἐν τοῖς κήποις καὶ θυμιῶσιν ἐπὶ ταῖς πλίνθοις τοῖς δαιμονίοις, ἃ οὐκ ἔστιν.»

Εἴ τις θέλει φιλαλήθει λογισμῷ τὴν ἐμὴν ὁρᾶν φιλανθρωπίαν, εὕροι ἂν φθάνοντά με ταῖς εὐεργεσίαις καὶ τοὺς μακρὰν ἀφεστῶτας τῆς ἐμῆς γνώσεως. Αὐτίκα δὴ οὖν τοῖς ἐκτὸς μηδεπώποτε ἐρωτήσασί με ἐμφανῆ κατέστησα ἐμαυτὸν δι' ὑπερβάλλουσαν φιλανθρωπίαν· ὥστε ἤδη τοὺς ἀλλογενεῖς καὶ ἀλλοφύλους τὴν ἐμὴν γνῶσιν ἀνειληφέναι, καίπερ μηδὲν εἰς τοῦτο συμβαλλομένους. Ἀλλὰ καὶ τοῖς μὴ ζητήσασι τὴν ἐμὴν χάριν ταύτης μετέδωκα, φθάσας τε τὰς ἑτέρων παρακλήσεις· πρὶν καὶ εὔξασθαι, πρὶν καὶ ἱκετεῦσαι αὐτούς, εἶπον· Ἰδοὺ πάρειμι.

Στίχ. δ'-ζ'. «Ἐν τοῖς μνήμασι καὶ ἐν τοῖς σπηλαίοις κοιμῶνται διὰ ἐνύπνια οἱ ἔσθοντες κρέας ὕειον καὶ ζωμὸν θυσιῶν, μεμολυμμένα πάντα τὰ σκεύη αὐτῶν. Οἱ λέγοντες, Πόρρω ἀπ' ἐμοῦ, μὴ ἐγγίσῃς μοι, ὅτι καθαρός εἰμι. Οὗτος καπνὸς τοῦ θυμοῦ μου. Πῦρ καίεται ἐν αὐτῷ πάσας τὰς ἡμέρας. Ἰδοὺ γέγραπται ἐνώπιόν μου· Οὐ σιωπήσω ἕως ἂν ἀποδώσω εἰς τὸν κόλπον αὐτῶν τὰς ἁμαρτίας αὐτῶν καὶ τῶν πατέρων αὐτῶν, λέγει Κύριος. Οἳ ἐθυμίασαν ἐπὶ τῶν ὀρέων καὶ ἐπὶ τῶν βουνῶν ὠνείδισάν με, ἀποδώσω τὰ ἔργα αὐτῶν εἰς τὸν κόλπον αὐτῶν. Οὕτως λέγει Κύριος· Ὃν τρόπον εὑρεθήσεται ὁ ῥὼξ ἐν τῷ βότρυϊ, καὶ ἐροῦσι· Μὴ λυμήνῃ αὐτόν, ὅτι εὐλογία ἐστὶν ἐν αὐτῷ· οὕτως ποιήσω ἕνεκεν τοῦ δουλεύοντός μοι.»

Ἀλλ' εἴ πού τις ἐντὸς αὐτῶν εὑρεθείη, ὡς ἐν βότρυϊ ξηρᾷ ὑγιὴς καὶ ἐρρωμένος ῥώξ, οὐ διαπεσεῖται παρ' ἐμοὶ τῷ κριτῇ, οὐδὲ συναπολεῖται τοῖς ἀπολλυμένοις, διὰ τὸ μετέχειν αὐτὸν εὐλογίας. Οὕτω δὲ ἔσται ὁ ῥὼξ οὗτος τίμιος παρ' ἐμοί, ὅσῳ καὶ σπάνιος. Κατὰ τοῦτο δὲ τὸ παράδειγμα καὶ ἐπὶ τοῦ παντὸς ἔθνους ποιήσω, εἴπερ τις εὑρεθείη καὶ ἐν τούτοις σωτηρίας ἄξιος.

Στίχ. θ'. «Τούτου ἕνεκεν οὐ μὴ ἀπολέσω πάντας, καὶ ἐξάξω τὸ ἐξ Ἰακὼβ σπέρμα καὶ ἐξ Ἰούδα· καὶ κληρονομήσει τὸ ὄρος τὸ ἅγιόν μου· καὶ κληρονομήσουσιν οἱ ἐκλεκτοί μου καὶ οἱ δοῦλοί μου καὶ κατοικήσουσιν ἐκεῖ.»

Τὸ ἀγαθὸν καὶ σπάνιον σπέρμα, δηλαδὴ ὁ ἀποστολικὸς χορὸς τοῦ πλήθους τῶν ἀπολλυμένων ἀφορισθείς. Πάλιν κἀνταῦθα ἐκλεκτοὺς καὶ δούλους αὐτοῦ τοὺς ἀποστόλους σημαίνει, οἵτινες ὡς ῥῶγες εὕρηνται· οὓς καὶ ἐκλεξάμενος περιφυλάττει ἐκ τῶν ἑτέρων, καὶ σπέρμα ἅγιον καὶ ἐκλεκτὸν ὠνόμασεν.

Στίχ. ι'. «Καὶ ἔσονται ἐν τῷ δρυμῷ ἐπαύλεις ποιμνίων, καὶ φάραγξ Ἀχὼρ εἰς ἀνάπαυσιν βουκολίων τῷ λαῷ μου, οἳ ἐζήτησάν με.»

Δρυμὸν δὲ εἴωθεν ἡ Γραφὴ τὸ πλῆθος τῶν ἀλλοφύλων καλεῖν καὶ ἀλλογενῶν ἐθνῶν· ἐν οἷς ἐπαύλεις ποιμνίων ἔσεσθαι θεσπίζει, τὰς ἐκκλησίας τῶν τοῦ Θεοῦ προβάτων αἰνιττόμενος. Λαὸς δὲ ὁ ἐκζητήσας αὐτὸν ὁ ῥὼξ ἣν καὶ τὸ ἀνωτέρω εἰρημένον σπέρμα οἱ ἐκλεκτοὶ δοῦλοι· δι' ὧν βουκόλια βοῶν καὶ ποίμνια συστήσασθαι οὐκ ἐν τῷ Ἰσραήλ, οὐδὲ ἐν τῇ Ἰουδαίων χώρᾳ, ἀλλὰ ἐν τῷ δρυμῷ καὶ ἐν τῇ λεχθείσῃ φάραγγι Ἀχὼρ προφητεύει.

Στίχ. ι', ιβ'. «Ὑμεῖς δὲ οἱ ἐγκαταλιπόντες με καὶ ἐπιλανθανόμενοι τὸ ὄρος τὸ ἅγιόν μου καὶ ἑτοιμάζοντες τῷ δαιμονίῳ τράπεζαν καὶ πληροῦντες τῇ τύχῃ κέρασμα. Ἐγὼ παραδώσω ὑμᾶς εἰς μάχαιραν· πάντες ἐν σφαγῇ πεσεῖσθε· ὅτι ἐκάλεσα ὑμᾶς, καὶ οὐχ ὑπηκούσατε· ἐλάλησα καὶ παρηκούσατε καὶ ἐποιήσατε τὸ πονηρὸν ἐναντίον ἐμοῦ, καὶ ἃ οὐκ ἐβουλόμην ἐξελέξασθε.»

Ἐπειδὴ αὐτὸς ἐγὼ τῆς ἐμαυτοῦ παρουσίας καταξιώσας ὑμᾶς αὐτοὺς πρώτους ὑμᾶς δι' ἐμαυτοῦ κέκληκα· ὑμεῖς δὲ οὐχ ὑπηκούσατε· ὅτι καὶ πρὸ τούτου ᾐτιώμην λέγων· «Διότι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων.» Πάλιν πρὸς τὸν λαὸν τὰς προκειμένας ποιεῖται κατηγορίας, διδάσκων, ὡς δικαιοσύνης ζυγῷ πάντα πράττων, ὡς Θεός, οὐδαμῶς μὲν παρόψεται τοὺς ὅποι δήποτε αὐτῷ δουλεύοντας, ἐξ οἵου δ' ἂν ἔθνους εἶεν. Πάντας γὰρ ἁπλῶς διασώζει τοὺς δουλεύειν αὐτῷ προῃρημένους. Παραδέξεται οὖν, καὶ τούτοις παρέξει τὴν ἐπουράνιον τροφήν, τὸν Λόγον τὸν σωτήριον τὸν εἰρηκότα· «Ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς.[1]» Οὗτοι μὲν οὖν τῷ λεχθέντι ἄρτῳ τραφήσονται καὶ ἐμπλησθήσονται· ὑμεῖς δέ, φησί, οἱ μὴ τὴν ἐμὴν ὑποδεξάμενοι χάριν, ἐνδείᾳ λογικῆς τροφῆς λιμώξετε· καὶ πάλιν οἱ μὲν ἐμοὶ δουλεύοντες πότου ζωῆς ἀθανάτου πλησθήσονται. περὶ οὗ λέλεκται· «Ὃς ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον.[2]»

Στίχ. ιγ'-ιε'. «Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ οἱ δουλεύοντές μοι φάγονται, ὑμεῖς δὲ πεινάσετε· ἰδοὺ οἱ δουλεύοντές μοι πίονται, ὑμεῖς δὲ διψήσετε· ἰδοὺ οἱ δουλεύοντές μοι εὐφρανθήσονται, ὑμεῖς δὲ αἰσχυνθήσεσθε· ἰδοὺ οἱ δουλεύοντές μοι ἀγαλλιάσονται ἐν εὐφροσύνῃ, ὑμεῖς δὲ κεκράξεσθε διὰ τὸν πόνον τῆς καρδίας ὑμῶν, καὶ ἀπὸ συντριβῆς πνεύματος ὑμῶν ὀλολύξετε. Καταλείψετε γὰρ τὸ ὄνομα ὑμῶν εἰς πλησμονὴν τοῖς ἐκλεκτοῖς μου· ὑμᾶς δὲ ἀνελεῖ Κύριος· τοῖς δὲ δουλεύουσί μοι κληθήσεται ὄνομα καινόν.»

Εἰ δὲ περιεργότερον ἐθέλοιτε μαθεῖν τίνες εἶεν οἱ μέλλοντες δουλεύειν, καὶ τί αὐτοῖς ὄνομα, γινώσκετε, ὅτι οὔπω μὲν εἰς φανερὸν τοὔνομα αὐτῶν ὁ Θεὸς βούλεται ἀγαγεῖν· τοσοῦτον δὲ μόνον σημαίνει, ὡς οὔτε Ἰσραὴλ κληθήσονται, οὔτε Ἰακώβ, οὔτε Ἰουδαῖοι,

1. Ἰω. 6, 41. 2. Ἰω. 4, 14.

οὔτε ὅλως τι τῶν ἀνθρώποις συνεγνωσμένων. Καινὸν γάρ τι καὶ νεώτατον αὐτοῖς ἐπιτεθήσεται ὄνομα, ξένον, καὶ μηδεπώποτε ἀκουσθέν, ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς αὐξανόμενον, καὶ πληθυνόμενον ὑπὲρ πᾶσαν σωματικὴν εὐλογίαν. Εἰ γάρ τις καὶ ἄλλη πλήθους ποιητικὴ τυγχάνει ἐκ Θεοῦ εὐλογία, ταύτης τεύξεται τὸ ὄνομα τὸ ἐπιτεθησόμενον τοῖς δουλεύουσί μοι.

Στίχ. ις', ιζ'. «Εὐλογήσουσι γὰρ τὸν Θεὸν τὸν ἀληθινόν· καὶ οἱ ὀμνύοντες ἐπὶ τῆς γῆς ὀμοῦνται τὸν Θεὸν τὸν ἀληθινόν. Ἐπιλήσονται γὰρ τὴν θλῖψιν τὴν πρώτην, καὶ οὐκ ἀναβήσεται αὐτῶν ἐπὶ τὴν καρδίαν. Ἔσται γὰρ ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινή, καὶ οὐ μὴ μνησθῶσι τῶν προτέρων, οὐδ' οὐ μὴ ἐπέλθῃ αὐτῶν ἐπὶ τὴν καρδίαν.»

Ἄλλως μὲν γὰρ τότε ὁρῶντες τὸν οὐρανόν, ἐσέβοντο τῇ κτίσει παρὰ τὸν κτίσαντα, καὶ τὴν γῆν ὁμοίως ἐθεοποίουν, καὶ τοὺς ἐκ ταύτης βλαστῶντας καρπούς· νῦν δ' ὅτε καινὸν ὄψοντες τὸν οὐρανὸν καὶ τὴν γῆν, ἔργα χειρῶν Θεοῦ εἶναι ὁμολογοῦσιν, οὐκέτι δὲ θεοὺς εἶναι νομίζουσιν.

Στίχ. ιη-κ'. «Ἀλλ' εὐφροσύνην καὶ ἀγαλλίασιν εὑρήσουσιν ἐν αὐτῇ. Ὅτι ἰδοὺ ἐγὼ ποιῶ ἀγαλλίαμα Ἱερουσαλήμ, καὶ τὸν λαόν μου εὐφροσύνην· καὶ ἀγαλλιάσομαι ἐπὶ Ἱερουσαλὴμ καὶ εὐφρανθήσομαι ἐπὶ τῷ λαῷ μου· καὶ οὐκέτι μὴ ἀκουσθῇ ἐν αὐτῇ φωνὴ κλαυθμοῦ οὐδὲ φωνὴ κραυγῆς, οὐδ' οὐ μὴ γένηται ἔτι ἐκεῖ ἄωρος καὶ πρεσβύτης, ὃς οὐκ ἐμπλήσει τὸν χρόνον αὐτοῦ.»

Πάντες γὰρ τῆς παρ' ἐμοὶ ἀναστάσεως τυχόντες κατὰ τὸν καιρὸν τῶν ἐπαγγελιῶν εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας ἥξουσι· καὶ πάντες ἔσονται ἀκμαῖοι τὰς ψυχάς, ὡς μήτε ἄωρον νήπιον καὶ ἀτελῆ, μήτε ὑπερβεβηκότα καὶ γεγηρακότα ἐν αὐτοῖς εὑρίσκεσθαι· πάντες δὲ ὁμήλικες, ὡς ἂν ὑφ' ἕνα καιρὸν τῆς ἀναστάσεως τευξόμενοι, καὶ μιᾶς παλιγγενεσίας μεθέξοντες.

«Ἔσται γὰρ ὁ νέος ἑκατὸν ἐτῶν, ὁ δὲ ἀποθνήσκων ἁμαρτωλὸς ἑκατὸν ἐτῶν, καὶ ἐπικατάρατος ἔσται.» Τὸ ἴσον τοῦ χρόνου τῆς ἐκ νεκρῶν ἀναστάσεως παρέστησεν. Ἔσται οὖν ὁ ἁμαρτωλὸς καὶ αὐτὸς ἑκατὸν ἐτῶν, καὶ ἐπικατάρατος ἔσται ἀκμαῖος, καὶ ὡς ἐν κακίᾳ τέλειος, ἀποθνήσκων τῇ ἑαυτοῦ ἁμαρτίᾳ· ὅ τε νέος πάλιν ἑκατὸν ἐτῶν, καὶ αὐτὸς τέλειος ἐν τελείοις, εἰς σωτηρίαν παραλαμβανόμενος.

Στίχ. κα'. «Καὶ οἰκοδομήσουσιν οἰκίας καὶ αὐτοὶ ἐνοικήσουσι· καὶ καταφυτεύσουσιν ἀμπελῶνας καὶ αὐτοὶ φάγονται τὰ γεννήματα αὐτῶν.»

Τοῖς γὰρ ἑαυτῶν ἔργοις καὶ ταῖς οἰκείαις πράξεσινποριοῦνται ἑαυτοῖς τὰς μονὰς τὰς παρὰ τῷ Πατρί· ἀλλὰ τοὺς καρποὺς τῶν πόνων αὐτῶν φάγονται· διόπερ ἃ γεωργήσαντες συνήγαγον, ταῦτα εὑρήσουσι, καὶ ἐξ αὐτῶν τραφήσονται.

Στίχ. ιβ'. «Οὐ μὴ οἰκοδομήσουσι, καὶ ἄλλοι ἐνοικήσουσι, καὶ οὐ μὴ φυτεύσουσι, καὶ ἄλλοι φάγονται. Κατὰ γὰρ τὰς ἡμέρας τοῦ

ξύλου τῆς ζωῆς ἔσονται αἱ ἡμέραι τοῦ λαοῦ μου· τὰ γὰρ τῶν πόνων αὐτῶν παλαιώσουσιν.»

Ἀλλ' εἰς ἄπειρον αἰῶνα ἐν ἀθανάτῳ εὐζωΐᾳ διάξουσι· διὸ λέλεκται· «Κατὰ γὰρ τὰς ἡμέρας τοῦ ξύλου τῆς ζωῆς αἱ ἡμέραι τοῦ λαοῦ μου.» Τὸ ξύλον δὲ εἴρηται ἐν τῷ παραδείσῳ τοῦ Θεοῦ πεφυτεῦσθαι· δείκνυται τοιγαροῦν, ὅτι οὐκ ἔξω τοῦ Θεοῦ αἱ ἐπαγγελίαι τυγχάνουσι. Δι' ὧν ἁπάντων σαφῶς ἕτερον λαὸν εἰσάγει ἑαυτῷ παρὰ τοῦ Ἰουδαίων ἔθνους. Οὗτοι γὰρ παλαιωθήσονται, οὐδὲ ἑτέροις καταλείψουσι, μέλλοντες αὖθις μεθίστασθαι τοῦ βίου, τοὺς ἑαυτῶν πόνους· ἀλλ' οὗτοι τὰ ἔργα τῶν πόνων αὐτῶν εἰς ἑαυτοὺς ἀναλήψονται καὶ τοῖς οἰκείοις καρποῖς ἐντρυφήσουσιν.

Στίχ. κγ'. «Οἱ ἐκλεκτοί μου οὐ κοπιάσουσιν εἰς κενόν, οὐδὲ τεκνοποιήσουσιν εἰς κατάραν· ὅτι σπέρμα εὐλογημένον ὑπὸ Θεοῦ ἐστι, καὶ τὰ ἔκγονα αὐτῶν μετ' αὐτῶν.»

Εἰ γὰρ καί τινες ἔσονται κατὰ τὸν καιρὸν τῶν ἐπαγγελιῶν κόποι σωτήριοι καὶ ἀγαθοὶ καὶ ἡδεῖς, ὁποίους πάντως που καὶ ἡ ἀγγελικὴ τάξις ὑπομένει· ἀλλ' οὐκ ἐπικενῶς ἔσται τὰ τῆς ἐργασίας αὐτοῖς· μισθὸς γὰρ αὐτοῖς ἐπάξιος τεθησαύρισται. Τεκνοποιίαν δὲ νοήσωμεν τῶν ψυχῶν τοὺς λογισμοὺς καὶ τῆς διανοίας τοὺς καρπούς, οὓς κατάρας ἔσεσθαι ἀλλοτρίους, εὐλογίας δὲ ἀξίους θεσπίζει. Ταῦτα καὶ εἰς τὸν παρόντα βίον ἐκλαμβάνεσθαι οἶμαι, τοῦ λόγου πάλιν τὸν χορὸν τὸν ἀποστολικὸν αἰνιττομένου. «Διὰ τοῦτο οἱ ἐκλεκτοί μου οὐ κοπιάσουσιν εἰς κενὸν οὐδὲ τεκνοποιήσουσιν εἰς κατάραν.» Ἔσται γὰρ ὀφθαλμοῖς παραλαβεῖν τῶν ἀποστόλων τοὺς κόπους, οὐκ εἰς κενὸν γεγενημένους ἀπὸ τῆς ὑπ' αὐτῶν ἱδρυθείσης καθ' ὅλης τῆς οἰκουμένης Ἐκκλησίας· καὶ τὰ τέκνα αὐτῶν ἐν Χριστῷ γεννηθέντα διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας.

Στίχ. κδ'. «Καὶ ἔσται πρὶν ἢ κεκράξαι αὐτούς, ἐγὼ ὑπακούσομαι αὐτῶν· ἔτι λαλούντων αὐτῶν ἐρῶ· Τί ἐστιν;»

Ἃ δὴ καὶ ἐπληροῦτο ἐπὶ τῶν Πράξεων τῶν ἀποστόλων· πολλὰ γὰρ σημεῖα καὶ τέρατα ἐνηργεῖτο, τοῦ Θεοῦ αὐτοῖς παρεστῶτος. Ὧν τοιαῦτα ἐνεργούντων, ἀκολούθως ἡ τῶν ἀλλοφύλων ἐθνῶν ἐγίνετο ἐπιστροφή.

Στίχ. κε'. «Τότε λύκοι καὶ ἄρνες βοσκηθήσονται ἅμα, καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα, ὄφις δὲ γῆν ὡς ἄρτον. Οὐκ ἀδικήσουσιν, οὐδὲ λυμανοῦνται ἐπὶ τῷ ὄρει τῷ ἁγίῳ μου, λέγει Κύριος.»

Οἱ γὰρ πρότερον ἁρπακτικοὶ καὶ θηριώδεις, ὡς λύκοις παραβάλλεσθαι, μεταβαλλόμενοι ἐπὶ τὸ ἥμερον, ἀρνίοις καὶ βουσὶν συνηγελάζοντο, ὡς μιᾶς καὶ τῆς αὐτῆς μεταλαμβάνειν τῆς ἀπὸ τῶν θείων ἀναγνωσμάτων λογικῆς τροφῆς. Οἱ δὲ τοῖς τρόποις λεόντων οὐδὲν διαφέροντες, οὐκέτι σαρκοφάγοις, οὐδὲ ὠμοβόροις θηρσὶν ἐοικότες, δίκην βοῶν καὶ αὐτοὶ τὴν ἀπὸ τῆς ἐνθέου διδασκαλίας πόαν ἤσθιον. Καὶ ὁ πάλαι δὴ πρότερον ὀφιώδης, καὶ ἰοῦ μεστὸς ἀνήρ, ἀποπτύσας

τὴν ἐν αὐτῷ κακίαν, τὸν ἄρτον φάγεται, τροφῇ λογικῇ καὶ ἀνθρωπίνῃ χρώμενος, ἀνθ' ἧς ἤσθιε πρότερον γῆς. Οὕτω δὲ οἱ θῆρες οὗτοι ἐξημερωθήσονται, ὡς μηδένα ἀδικεῖν, μηδὲ λυμαίνεσθαί τινας ἐν τῷ ὄρει τοῦ Θεοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΞϚ΄.

Στίχ. α-γ΄. «Οὕτως λέγει Κύριος· Ὁ οὐρανός μου θρόνος, καὶ ἡ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον οἶκον οἰκοδομήσετέ μοι; καὶ ποῖος τόπος τῆς καταπαύσεώς μου; Πάντα γὰρ ταῦτα ἐποίησεν ἡ χείρ μου, καὶ ἔστιν ἐμὰ πάντα ταῦτα, λέγει Κύριος. Καὶ ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον, καὶ τρέμοντα τοὺς λόγους μου; Ὁ δὲ ἄνομος ὁ θύων μοι μόσχον, ὡς ἀποκτείνων κύνα· ὁ δὲ ἀναφέρων σεμίδαλιν, ὡς αἷμα ὕειον· ὁ διδοὺς λίβανον εἰς μνημόσυνον, ὡς βλάσφημος. Καὶ αὐτοὶ ἐξελέξαντο τὰς ὁδοὺς αὐτῶν, καὶ τὰ βδελύγματα αὐτῶν ἡ ψυχὴ αὐτῶν ἠθέλησε.»

Οὐ γὰρ ἐμὰ ταῦτα, φησί, θελήματα, οὐδὲ ἐμοὶ αἱ ὁδοὶ αὗται, ἀλλὰ τῆς αὐτῶν προαιρέσεως καταθύμια.

Στίχ. δ΄. «Καὶ ἐγὼ ἐκλέξομαι τὰ ἐμπαίγματα αὐτῶν, καὶ τὰς ἁμαρτίας ἀνταποδώσω αὐτοῖς ὅτι ἐκάλεσα αὐτούς, καὶ οὐχ ὑπήκουσάν μου· ἐλάλησα, καὶ οὐκ ἤκουσαν· καὶ ἐποίησαν τὸ πονηρὸν ἐναντίον ἐμοῦ καὶ ἃ οὐκ ἐβουλόμην ἐξελέξαντο.»

Πότε δὲ καλοῦντος αὐτοὺς οὐ συνῆκαν, ἢ ὅτε αὐτοῖς συντρίβων ἐβόα· «Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς;[1]»

Στίχ. ε΄. «Ἀκούσατε ῥήματα Κυρίου οἱ τρέμοντες τὸν λόγον αὐτοῦ. Εἴπατε, ἀδελφοὶ ἡμῶν, τοῖς μισοῦσιν ὑμᾶς καὶ βδελυσσομένοις, ἵνα τὸ ὄνομα Κυρίου δοξασθῇ καὶ ὀφθῇ ἐν τῇ εὐφροσύνῃ αὐτῶν καὶ ἐκεῖνοι αἰσχυνθήσονται.»

Εὐαγγελικὸν αὐτοῖς παραδίδωσι παράγγελμα οὐδὲν διαφέρον τοῦ, «Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς, προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων, ἵνα γένησθε υἱοὶ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς.[2]» Οὕτω καὶ ἡ προφητεία παρακελεύεται καὶ διδάσκει.

Στίχ. ϛ΄. «Φωνὴ κραυγῆς ἐκ πόλεως, φωνὴ ἐκ ναοῦ, φωνὴ Κυρίου ἀνταποδιδόντος ἀνταπόδοσιν τοῖς ἀντικειμένοις.»

Εἰ γὰρ ταῦτα πράττοιτο, ὑμῶν μὲν κατὰ τὸ τέλος τῶν ἀμοιβῶν εὐφροσύνη ἔκδηλος ἔσται τοῖς πᾶσιν· ἐκεῖνοι δὲ καταισχυνθήσονται τὸ ὑμέτερον θεασάμενοι τέλος, καὶ τὴν ἑαυτῶν ἀπώλειαν κατὰ τὸν τῆς δικαιοκρισίας καιρὸν τοῦ Θεοῦ ἔργοις μαθησόμενοι. «Φωνὴ κραυγῆς ἐκ πόλεως, φωνὴ ἐκ ναοῦ», αἱ μὲν ἐξ αὐτῆς τῆς πόλεως τῶν οἰ-

1. Ματθ. 11, 28. 2. Ματθ. 5, 44-45.

κητόρων ἐκβοώντων, αἱ δὲ ἐξ αὐτοῦ τοῦ ναοῦ, τῶν ἱερέων καὶ τῶν λοιπῶν λειτουργῶν ἀποκλαιομένων.

Στίχ. ζ', η'. «Πρὶν τὴν ὠδίνουσαν τεκεῖν, πρὶν ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων, ἐξέφυγε, καὶ ἔτεκεν ἄρσεν. Τίς ἤκουσε τοιοῦτο; καὶ τίς ἑώρακεν οὕτως; Εἰ ὤδινε γῆ ἐν ἡμέρᾳ μιᾷ, ἢ καὶ ἐτέχθη ἔθνος εἰσάπαξ, ὅτι ὤδινε καὶ ἔτεκε Σιὼν τὰ παιδία αὐτῆς;»

Τὸ θεοσεβὲς πολίτευμα, καὶ ἡ καινὴ καὶ νέα Σιών, δηλαδὴ ἡ Ἐκκλησία τοῦ Θεοῦ, ἡ δι' ὑμῶν συστησομένη, τοσοῦτον ἀθρόως γεννήσει πλῆθος ἐθνῶν καὶ λαῶν, ὡς ἐκπλαγῆναι τὸν ἀκούοντα. Οἷα γάρ τις ἐγκύμων γυνὴ κατὰ γαστρὸς ἔχουσα, μηδεμιᾶς ὠδῖνος προσγενομένης, αἰφνίδιον γεννήσειε. καὶ τοῦτο ἄρσεν· τὸν αὐτὸν τρόπον καὶ ἡ νέα Σιὼν λαὸν καινὸν καὶ ὅλον ἔθνος εἰσάπαξ ἀθρόως τέξεται· ὡς εἶναι τὸ πᾶν παραδοξότατον, οἷον οὐδεπώποτε ἠκούσθη. Τὸ μὲν γὰρ Ἰουδαίων ἔθνος, καὶ αὐτὸς ὁ Ἰσραήλ, οὐκ ἀθρόως παρέστη· ἀλλὰ πρῶτος μὲν ἦν αὐτῶν ὁ προπάτωρ· τούτου δὲ γεγόνασι παῖδες ιβ'· εἶτ' ἐξ ἑνὸς ἑκάστου υἱοί τε καὶ θυγατέρες· ὧν υἱοί τε καὶ ἔκγονοι καὶ ἀπόγονοι ὑπέστησαν· οὕτω τε κατὰ τὴν τῶν γονέων διαδοχὴν ἐν πλείοσι χρόνοις καὶ ἐν διαφόροις γενεαῖς συνέστη τὸ πᾶν αὐτῶν ἔθνος.

Στίχ. θ'. «Ἐγὼ δὲ ἔδωκα τὴν προσδοκίαν ταύτην, καὶ οὐκ ἐμνήσθης μου, εἶπε Κύριος. Οὐκ ἰδοὺ ἐγὼ γεννῶσαν καὶ στεῖραν ἐποίησα, εἶπεν Θεός σου;»

Κατὰ τὸν αὐτὸν δὲ τρόπον εὕροι ἄν τις καὶ τὰ λοιπὰ ἔθνη χρόνοις εἰς πλῆθος ἐπιδεδωκότα· ὁ δὲ τῆς Ἐκκλησίας τοῦ Θεοῦ λαὸς ἀθρόως ὑφ' ἕνα καιρὸν καὶ ὥσπερ ὑπὸ μίαν ἡμέραν ἐπλήρου τὰ πλεῖστα μέρη τῆς οἰκουμένης· ὃ δὴ ξενίζον πρᾶγμα καὶ θαύματος παντὸς ἐπέκεινα ὑπάρχον οὔτε ὀφθαλμὸς ἑώρακε πώποτε, οὔτε οὖς ἤκουσε.

Στίχ. ι', ια'. «Εὐφράνθητι, Ἱερουσαλήμ, καὶ πανηγυρίσατε ἐν αὐτῇ, πάντες οἱ ἀγαπῶντες αὐτήν. Χάρητε ἅμα αὐτῇ χαρᾷ πάντες ὅσοι πενθεῖτε ἐπ' αὐτῇ, ἵνα θηλάσητε καὶ ἐμπλησθῆτε ἀπὸ μαστοῦ παρακλήσεως αὐτῆς, ἵνα ἐκθηλάσαντες τρυφήσητε ἀπὸ εἰσόδους δόξης αὐτῆς.»

Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὡς μέλλοντες ἐμπίπλασθαι τοῦ ἐν αὐτῇ ἀθρόως γεννήσαντος λαὸν τῷ Θεῷ ἄρρενα, καὶ γάλακτος ἐκπληροῦσθαι εἰς ἐκτροφὴν τῶν αὐτῆς νηπίων. Ὃ δὴ λογικὸν γάλα ἀπὸ τῶν δύο θηλῶν αὐτῆς ῥεύσει, Παλαιᾶς δηλαδὴ καὶ Νέας Διαθήκης. Ἐξ ἀμφοτέρων γὰρ τούτων τῶν ἑαυτῆς μαζῶν, περὶ ὧν εἴρηται καὶ ἐν τῷ Ἄσματι, ὅτι «Ἀγαθοὶ οἱ μαστοί σου ὑπὲρ οἶνον [1]», τοῖς ἑαυτῆς νηπίοις ἐπάρδουσα «τὸ λογικὸν καὶ ἄδολον γάλα», ἄνδρας προσάξει τελείους.

Στίχ. ιβ'. «Ὅτι τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐκκλίνω εἰς αὐ-

1. Ἆσμ. 1, 2.

τοὺς ὡς ποταμοὺς εἰρήνης, καὶ ὡς χειμάρρους, ἐπικλύζων δόξαν ἐθνῶν. Τὰ παιδία αὐτῶν ἐπ' ὤμων ἀρθήσονται καὶ ἐπὶ γονάτων παρακληθήσονται.»

Οἱ γοῦν λόγοι οἱ παρακλητικοὶ καὶ παραμυθητικοὶ τῶν ἀτελεστέρων ψυχῶν γάλα κυρίως ὠνομάσθησαν, στερεᾶς τροφῆς ἐν δόγμασι μυστικοῖς νοουμένης, καὶ ἐν θεωρήμασι τοῖς ἐν ταῖς θείαις Γραφαῖς ἀποκειμένοις.

Στίχ. ιγ'. «Ὡς εἴ τινα μήτηρ παρακαλέσει, οὕτω κἀγὼ παρακαλέσω ὑμᾶς καὶ ἐν Ἱερουσαλὴμ παρακληθήσεσθε.»

Πάλιν κἀνταῦθα τῶν ἐθνῶν δόξαν συνάπτων τῇ προλεχθείσῃ νέᾳ Σιὼν καὶ τῇ Ἱερουσαλήμ, τὴν δοθησομένην τοῖς ἔθνεσιν εἰρήνην ποταμῷ κατακλύζοντι παραβάλλει. Καὶ ἀνωτέρω δὲ ταῖς αὐταῖς ἐκέχρητο ἐπαγγελίαις, σημαίνων ὡς τοὺς ἔτι νηπίους τῆς Ἐκκλησίας, ἅτε δὴ γάλακτι τρεφομένους, τιθηνοί τινες ὑποβαστάξουσιν, ἤτοι διδάσκαλοι καὶ προεστῶτες γνήσιοι τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, οἱ θεῖοί τε καὶ οὐράνιοι ἄγγελοι. Οἱ μὲν οὖν δυνατώτεροι τοὺς ἀσθενεστέρους ἐπ' ὤμων βαστάξουσι καὶ ἐπὶ γονάτων παρακαλέσουσιν, ὥσπερ εἴ τις μήτηρ τὰ ἑαυτῆς παρακαλέσῃ τέκνα, κἀγὼ αὐτὸς ὁ Κύριος, ἅτε δὴ πάντων αὐτῶν ὑπάρχων Πατήρ, παρακαλέσω τοὺς τῶν ὑποδεεστέρων παρακλήτορας.

Στίχ. ιδ'. «Καὶ ὄψεσθε καὶ χαρήσεται ἡ καρδία ὑμῶν καὶ ὀστᾶ ὑμῶν ὡς βοτάνη ἀνατελεῖ.»

Καὶ τοῦτο τέλος ἔσται τῶν ἐπαγγελιῶν, τό, Ὄψεσθε τὸν Θεόν. Διὸ καὶ ὁ Σωτὴρ τούτους ἐμακάριζε λέγων· «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.[1]» — «Καὶ γνωσθήσεται ἡ χεὶρ Κυρίου τοῖς φοβουμένοις αὐτόν, καὶ ἀπειλήσει τοῖς ἀπειθοῦσιν.»

Στίχ. ιε'. «Ἰδοὺ γὰρ Κύριος ὡς πῦρ ἥξει, καὶ ὡς καταιγὶς τὰ ἅρματα αὐτοῦ, ἀποδοῦναι ἐν θυμῷ ἐκδίκησιν αὐτοῦ καὶ ἀποσκορακισμὸν αὐτοῦ ἐν φλογὶ πυρός.»

Τοῖς μὲν δηλωθεῖσιν ἐπαγγέλλεται τὰ προλελεγμένα· τοῖς δὲ τὴν ἐναντίαν πεπορευμένοις ὁδὸν ἠπείλησεν ἀπειλήν· καὶ ἀκολούθως διδάσκει τὸν τῆς ἀπειλῆς τρόπον, παριστὰς τὴν δευτέραν καὶ ἔνδοξον τοῦ Σωτῆρος παρουσίαν, ὅτε ἥξει μετὰ τῆς δόξης τοῦ Πατρὸς καὶ μετὰ τῶν ἀγγέλων αὐτοῦ, κρῖναι ζῶντας καὶ νεκρούς.

Στίχ. ιϛ'. «Ἐν γὰρ τῷ πυρὶ Κυρίου κριθήσεται πᾶσα ἡ γῆ, καὶ ἐν τῇ ῥομφαίᾳ αὐτοῦ πᾶσα σάρξ· πολλοὶ τραυματίαι ἔσονται ὑπὸ Κυρίου.»

Θυμὸς δὲ αὐτοῦ αἱ κολαστικαὶ καὶ τιμωρητικαὶ δυνάμεις εἰώθασι νομίζεσθαι, καὶ τὸν ἀποσκορακισμὸν αὐτοῦ ἐν πυρὶ φλογὸς κατὰ τῶν αὐτῶν ἀφήσει. Ῥομφαίαν δὲ ὀνομάζει σωματικώτερον, καὶ τραυματίας ὡσαύτως. Ἐπεὶ μὴ ἄλλως ἦν ἀκούειν, Ἰουδαίους ὄντας καὶ

1. Ματθ. 5, 8.

μὴ οἵους τε παρακολουθεῖν τῇ τῶν λόγων διανοίᾳ. Ὁ μὲν οὖν Ἀπόστολος τὸν τῶν προκειμένων νοῦν διασαφεῖ λέγων· «Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.[1]»

Στίχ. ιζ'. «Οἱ ἁγνιζόμενοι καὶ καθαριζόμενοι εἰς τοὺς κήπους καὶ ἐν τοῖς προθύροις ἔσθοντες κρέας ὕειον, καὶ τὰ βδελύγματα καὶ τὸν μῦν ἐπὶ τὸ αὐτὸ ἀναλωθήσονται.»

Ὡς μηκέτι κατὰ τὸν νόμον ὃν παρέδωκε Μωϋσῆς καθαριζομένους σποδῷ δαμάλεως καὶ περιρραντηρίοις ἡμερῶν ἑπτὰ καὶ ταῖς διὰ θυσιῶν καθάρσεσιν· ἀντὶ δὲ τούτων, ἐν αὐτοῖς περινοστήσαντες, τὸ δι' ὕδατος καθάρσιον ἀπαρκεῖν αὐτοῖς ᾤοντο, τοῖς κατά τινας κήπους ὕδασιν ἀπολούεσθαι καὶ μηκέτι μηδενὸς δεῖσθαι τῶν νενομοθετημένων. Ἢ καὶ ἄλλως μετὰ μιαρὰς καὶ ἀκαθάρτους πράξεις, ἀθεμίτους τε αἰσχρουργίας ἐνόμιζον ψιλοῖς ὕδασι καθαρίζειν τὰς ἑαυτῶν ψυχάς.

Στίχ. ιη'. «Κἀγὼ τὰ ἔργα αὐτῶν καὶ τὸν λογισμὸν αὐτῶν. Ἔρχομαι συναγαγεῖν πάντα τὰ ἔθνη καὶ τὰς γλώσσας, καὶ ἥξουσι καὶ ὄψονται τὴν δόξαν μου.»

Σαφέστερον δὲ ὁ Σωτὴρ ἐν τοῖς Εὐαγγελίοις διδάσκει ταῦτα λέγων· «Ὅταν δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ· καὶ συνάξουσι πάντα τὰ ἔθνη ἔμπροσθεν αὐτοῦ, καὶ ἀφοριεῖ αὐτούς, ὃν τρόπον ἀφορίζει ὁ ποιμὴν τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων[2]», καὶ τὰ ἑξῆς. Καὶ τοῦτο δὲ πάλιν τοῖς ἔθνεσιν ἐπαγγέλλεται, τὸ καταξιωθῆναι θεάσασθαι τὴν δόξαν αὐτοῦ.

Στίχ. ιθ'. «Καὶ καταλείψω ἐπ' αὐτῶν σημεῖον καὶ ἐξαποστελῶ ἐξ αὐτῶν σεσωσμένους εἰς τὰ ἔθνη, εἰς Θαρσεῖς, καὶ Φοὺδ, καὶ Λοὺδ, καὶ Μοσόχ, καὶ εἰς Θοβέλ, καὶ εἰς τὴν Ἑλλάδα, καὶ εἰς τὰς νήσους τὰς πόρρω· οἳ οὐκ ἀκηκόασί μου τὸ ὄνομα, οὔτε ἑωράκασί μου τὴν δόξαν. Καὶ ἀναγγελοῦσι τὴν δόξαν μου ἐν τοῖς ἔθνεσι.»

Καὶ ἐν τοῖς ἔμπροσθεν ἐλέγετο, ὅτι «Οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ ὄψονται, οἳ οὐκ ἀκηκόασι.» Καὶ πάλιν· «Ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν, εὑρέθην τοῖς ἐμὲ μὴ ἐπιζητοῦσιν· εἶπα· Ἰδού εἰμι, τοῖς μὴ ἐπικαλουμένοις τὸ ὄνομά μου.» Τούτων ἀδελφὰ τυγχάνει τὰ προειρημένα, δι' ὧν τοὺς ἑαυτοῦ ἀποστόλους ἐπαγγέλλεται ἀποστέλλειν ἐπὶ τὰ ἀλλότρια τοῦ Ἰσραὴλ ἔθνη τὰ πορρωτάτω τῆς Ἰουδαίας.

Στίχ. κ'. «Καὶ ἄξουσι τοὺς ἀδελφοὺς ὑμῶν ἐκ πάντων τῶν ἐθνῶν, δῶρον Κυρίῳ.»

---

2. Ρωμ. 2, 5. 2. Ματθ. 25, 31-33.

Ἄξουσιν αὐτούς, τέλος ἀγαθὸν αὐτοῖς τοῦτο παραχωρήσαντες, ὅτε καὶ ἀναληφθήσονται ὁμοίως τῷ Ἠλίᾳ ἐφ' ἅρματι ἀγγελικῷ ὀχούμενοι, φωτὸς ἐπουρανίου περιαστράπτοντος αὐτούς. «Μεθ' ἵππων καὶ ἁρμάτων ἐν λαμπήναις ἡμιόνων, μετὰ σκιαδίων εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ, εἶπε Κύριος.» Νοήσεις δὲ τοὺς ἵππους καὶ τὰ ἅρματα ἀγγελικά, ἐπιστήσας τοῦ Ζαχαρίου τῇ προφητείᾳ, παρ' ᾧ ἵππους ψαροὺς καὶ ποικίλους καὶ λευκοὺς καὶ ἅρματά τινα διαγράψας ὁ λόγος, ἀγγελικὰς ᾐνίττετο δυνάμεις. Λαμπῆναι δὲ ἡμιόνων σημαίνειν ἐοίκασι τὰ τῆς ἀναστάσεως σώματα, οἷς ἐποχούμεναι αἱ ψυχαὶ εἰς τὴν ἐπουράνιον ἀναληφθήσονται πόλιν. Εὖ δὲ εἴρηται λαμπῆναι διὰ τὴν ἐκλάμπουσαν αὐτοῖς δόξαν.

Στίχ. κα'. «Ὡς ἀνενέγκαισαν οἱ υἱοὶ Ἰσραὴλ τὰς θυσίας αὐτῶν ἐμοὶ μετὰ ψαλμῶν· καὶ ἀπ' αὐτῶν λήψομαι ἱερεῖς καὶ Λευίτας, εἶπε Κύριος.»

Ὥσπερ οὖν τότε κατὰ τὸν σωματικὸν νόμον ἐπὶ τῆς ἐπιγείου Ἱερουσαλὴμ ταῦτ' ἔπραττον οἱ τὴν λατρείαν ἐπιτελοῦντες· τὸν αὐτὸν τρόπον κατὰ τὸ ἐπὶ γῆς παράδειγμα οἱ εἰς τὴν οὐράνιον Ἱερουσαλὴμ ἀνιόντες ἥξουσι μετ' οἰκείων καρπῶν, ὧν ἕκαστος ἐν ψυχῇ μετακομίζεται δώρων τῆς τῶν ἀρετῶν ἐκ καρποφορίας.

Στίχ. κβ'. «Ὃν τρόπον γὰρ ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινή, ἃ ἐγὼ ποιῶ, μένει ἐνώπιον ἐμοῦ, λέγει Κύριος· οὕτω στήσεται τὸ σπέρμα ὑμῶν καὶ τὸ ὄνομα ὑμῶν.»

Εἰ γὰρ οὐρανὸς καινός ἐστι καὶ ἡ γῆ καινή, καὶ Ἱερουσαλὴμ καινή, ἀκόλουθον ἂν εἴη καὶ τοὺς ἱερεῖς καὶ Λευίτας καινοὺς ἔσεσθαι· διὸ καὶ ἐν τοῖς ἔμπροσθεν ἔλεγε· «Οὐ μνησθῶσι τῶν προτέρων καὶ οὐκ ἀναβήσεται αὐτῶν ἐπὶ τὴν καρδίαν.» Τὰ μὲν οὖν πρῶτα οὐ μένοντα ἦν· διὸ ἐλέγετο· «Οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται·» καὶ πάλιν· «Εἱλιγήσεται οὐρανὸς ὡς βιβλίον, καὶ φθορᾷ φθαρήσεται ἡ γῆ.» Τοῦ δὲ μέλλοντος αἰῶνος ἀπαρχὴ Χριστός· ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ.

Στίχ. κγ'. «Καὶ ἔσται μὴν ἐκ μηνός, καὶ σάββατον ἐκ σαββάτου. Ἥξει πᾶσα σὰρξ τοῦ προσκυνῆσαι ἐνώπιον ἐμοῦ ἐν Ἱερουσαλήμ, εἶπε Κύριος.»

Τὸ δὲ σάββατον Χριστοῦ ἀκόλουθόν ἐστι κατὰ διάνοιαν ἐκλαμβάνειν τὰς ἐν οὐρανῷ ἑορτὰς καὶ τὰ ἐκεῖσε σάββατα ἀληθινὰ ἐπὶ τοὺς μῆνας τοὺς ἐκεῖ. Περὶ ὧν πολὺς ὁ λόγος καὶ δυσερμήνευτος, σχολῆς τε μακρᾶς καὶ οἰκείας ὑποθέσεως δεόμενος. Σάρκα δὲ πᾶσαν λέγει πάντα τὰ ἔθνη τοῦτον ὀνομάζων τὸν τρόπον· οὕτω γοῦν ἐλέγετο καὶ διὰ τῶν ἔμπροσθεν· «Ὄψεται δὲ πᾶσα σὰρξ τὸ Σωτήριον τοῦ Θεοῦ·» καὶ ἀλλαχοῦ· «Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν ἐν Ἱερουσαλήμ.» Τὴν ἐπουράνιον σημαίνει Ἱερουσαλήμ, ἔνθα συστήσεται ἡ τοῦ Σωτῆρος ἡμῶν βασιλεία.

Στίχ. κδ'. «Καὶ ἐξελεύσονται καὶ ὄψονται τὰ κῶλα τῶν ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοί. Ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί.»

Τίνες δὲ ἦσαν οὗτοι, ἐν ἀρχῇ τῆς προφητείας ἐδήλου λέγων· «Υἱοὺς ἐγέννησα, καὶ ὕψωσα· αὐτοὶ δέ με ἠθέτησαν.» Ἠνίξατο τοίνυν τοὺς ἐκ τοῦ Ἰουδαίων ἔθνους τὴν σωτήριον ἀθετήσαντας χάριν. Ὃ δὴ τέλος τῶν ἀσεβῶν ὁρίζεται καὶ ὁ Σωτὴρ ἡμῶν ἐν Εὐαγγελίοις εἰπὼν τοῖς εἰς τὰ ἀριστερὰ αὐτοῦ στησομένοις· «Πορεύεσθε εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.[1]» Ὥσπερ οὖν ἐκεῖ αἰώνιον εἴρηται πῦρ, οὕτω καὶ ἐνταῦθα ἄσβεστον μιᾶς καὶ τῆς αὐτῆς οὐσίας ἐξ ἑκατέρων τῶν Γραφῶν περιϊσταμένης. «Καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί.» Ποίᾳ δὲ σαρκὶ ἢ πάντως που τῇ κολασθησομένῃ, τῆς δὲ ἐπουρανίου θέας καταξιωθησομένῃ; Περὶ ἧς ἀνωτέρω ἐλέγετο· «Ἥξει πᾶσα σὰρξ τοῦ προσκυνῆσαι ἐνώπιόν μου·» ἧς καὶ ἡμεῖς ἀξιωθείημεν εὐχαῖς καὶ πρεσβείαις πάντων τῶν ἁγίων. Ἀμήν.

1. Ματθ. 25, 41.

ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ

ΑΠΟΣΠΑΣΜΑΤΑ ΕΙΣ ΤΟΝ ΔΑΝΙΗΛ*

β'. Εὐσεβίου Καισαρείας ῥητοῦ προκειμένου, «Φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρός.[1]» Διεκόπη μὲν ἐν τῇ Βαβυλῶνι ἡ φλὸξ τοῦ πυρὸς διακοπεῖσα τῷ προστάγματι τοῦ Θεοῦ· ἐδέξατο ἐν αὐτῇ ἡδίστην ἀναπνοὴν καὶ ἀναψυχήν, ὥσπερ ἐν σκιᾷ τινι φυτῶν ἐν εἰρηνικῇ καταστάσει παρεχομένη τοῖς παισίν· ἐγένετο γάρ, φησι, ὡσεὶ πνεῦμα δρόσου διασυρίζον.

γ'. «Ὡσεὶ Υἱὸς ἀνθρώπου.» Εὐσεβίου Καισαρείας. Σαφῶς ἡγοῦμαι δηλοῦσθαι τὴν καθόλου κρίσιν, ὅτε πάντες οἱ ἐξ αἰῶνος ἄνθρωποι παραστήσονται τῷ βήματι τοῦ Χριστοῦ· μετὰ δὲ τὴν τῶν τετελευτηκότων ἀναβίωσιν, καὶ μετὰ τὴν κατὰ πάντων κρίσιν, ὁ ἑωραμένος τῷ Δανιὴλ Υἱὸς ἀνθρώπου ἐπιστήσεται ἐπὶ νεφελῶν, τὴν κατὰ πάντων τῶν λαῶν καὶ φυλῶν ὑπὸ τοῦ Πατρὸς ἐξουσίαν, τὴν καὶ βασιλείαν ἀγήρω καὶ ἀτελεύτητον παραληψόμενος, ὡς καὶ αὐτὸς ὁ Σωτὴρ ἡμῶν περὶ ἑαυτοῦ διδάσκει λέγων· «Ὅτε δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη[2]», καὶ τὰ ἑξῆς· συνᾴδει γοῦν ταῦτα ταῖς ἐν χερσὶν μαρτυρίαις τῆς τοῦ Δανιὴλ προφητείας, καθ' ἣν λέλεκται· «Καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς Υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν·[3]» καί, «Ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν· καὶ προσηνέχθη αὐτῷ, καὶ ἐδόθη αὐτῷ ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία[4]», καὶ τὰ ἑξῆς.

δ'. «Αὐτῷ ἐδόθη ἡ ἀρχή». Εὐσεβίου. Οὐ μόνον τὴν τοῦ Υἱοῦ ἀνθρώπου βασιλείαν ὁ προφήτης θεσπίζει, ἀλλὰ καὶ πλείονα, περὶ ὧν φησι.

ε'. «Καὶ παραλήψονται τὴν βασιλείαν.» Εὐσεβίου Καισαρείας. Συμβασιλεύοντες δηλαδὴ καὶ αὐτοὶ τῷ Θεῷ. Τίνες δ' ἂν εἶεν οὗτοι, ἢ οἱ κληρονόμοι τοῦ Θεοῦ συγκληρονόμοι δὲ Χριστοῦ; οἷς καὶ ἐπήγγελται, τὴν βασιλείαν τῶν οὐρανῶν, βασιλείαν ἐπιστησομένην τὴν μετὰ τέσσαρας βασιλείας, τὰς τῷ προφήτῃ ἑωραμένας, περὶ ὧν ὡς ἐν βραχέσιν ἀρτίως διειλήφαμεν. Ἐντεῦθεν οἶμαι τὸν ἀπόστολον Παῦλον ὁρμᾶσθαι περὶ τῆς δευτέρας ἀφίξεως τοῦ Χριστοῦ γράφοντα τοιάδε· «Ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου

---

* Κατὰ τὴν ἔκδοσιν τῆς Πατρολογίας τοῦ Migne.

1. Ψαλμ. 28, 7. 2. Ματθ. 25, 31-32. 3. Πρβλ. Ματθ. 24, 30. 4. Δαν. 7, 14.

καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ[1]», καὶ τὰ ἑξῆς. Ὁ δ' αὐτὸς ἀπόστολος καὶ τὴν ὑστάτην τοῦ Ἀντιχρίστου ἄφιξιν τὴν καὶ ἀπώλειαν, καὶ ἐπὶ ταύτῃ τὴν τοῦ Σωτῆρος ἡμῶν ἔνδοξον παρουσίαν ἀκολούθως τῇ προφητείᾳ παρίστησι λέγων· «Μή τις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον· ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον, καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενα Θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι ἔστι Θεός· οὐ μνημονεύετε ὅτι ἔτι ὢν πρὸς ὑμᾶς ταῦτα ἔλεγον ὑμῖν;[2]» καὶ τὰ ἑξῆς. Τοσαῦτα ὁ θαυμάσιος Ἀπόστολος ἐν τοῖς περὶ συντελείας τοῦ βίου διεξῆλθε λόγοις, τὰ διὰ τοῦ προφήτου Δανιὴλ περὶ τοῦ Ἀντιχρίστου καὶ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐνδόξου βασιλείας τεθεσπισμένα πιστούμενος.

ς'. «Ἐξολοθρευθήσεται χρῖσμα.» Εὐσεβίου. Τὸ ἄκριτον καὶ παράνομον αὐτῶν διαβάλλουσα· οὕτως δὲ καὶ ἐπὶ τῆς θυσίας καὶ τῆς σπουδῆς συμβεβηκέναι φήσεις· ὀρθῶς μὲν καὶ κατὰ νόμον πρὸ τοῦ πάθους τοῦ Σωτῆρος ἡμῶν ἐπιτελουμένης διὰ τὴν εἰς ἔτι τότε τὰ τῶν ἁγίων τόπων ἐφορῶσαν δύναμιν· περιαιρεθείσης δὲ αὐτίκα μετὰ τὴν αὐτοῦ τελείαν καὶ θεοπρεπῆ θυσίαν, ἣν προσήνεγκεν αὐτὸς ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν· αὐτός τε ὢν ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου εἰς θυσίαν πᾶσιν ἀνθρώποις· κατὰ τὰ καινὰ μυστήρια τῆς καινῆς διαθήκης παραδοθείσης, τὰ τῆς παλαιᾶς περιῄρετο· ὁμοῦ γὰρ τὸ πληροῦσθαι τὸ φάσκον λόγιον, «Καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία», τὰ τῆς παλαιᾶς διαθήκης περιῄρετο.

1. Α' Θεσσ. 4, 16. 2. Β' Θεσσ. 2, 3-5.

ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ
ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΟΝ*

«Ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ βασιλέως τῆς Ἰουδαίας.[1]»

Ἡ γὰρ τοῦ Ἰούδα φυλὴ ἄνωθεν ἦν ἀρχική, καὶ ἡγεῖτο πάντων ἕως ἦσαν αὐτόνομοι, κατὰ τὴν προφητείαν. Ἦσαν δὲ μέχρι τῶν Αὐγούστου χρόνων ἐλεύθεροι καὶ αὐτόνομοι, καθ' ὅν, Χριστοῦ φανέντος, τὸ ἔθνος ἅπαν δεδούλωται· ὅτε καὶ πρῶτος ἀλλόφυλος αὐτῶν Ἡρώδης ἡγήσατο, καὶ βασιλεὺς Αὔγουστος, ὁ καὶ τὴν ἀρχὴν ἐγχειρίσας αὐτῷ μετὰ τῆς συγκλήτου, τῆς οἰκουμένης εἶχε τὰ σκῆπτρα. Ἦν δὲ ὁ Ἡρώδης ἐξ Ἀντιπάτρου γεγονώς, τὸ γένος Ἀσκαλωνίτου, ἱεροδούλου Ἀπόλλωνος, καὶ Κυπρίνης ἐξ Ἀράβων μητρός. Οὗτος γάρ, τὸν ἐκ διαδοχῆς τῶν ἀρχιερέων ὕστατον ἡγησάμενον Ὑρκανὸν ἀνελών, Ἰουδαίων ἀναγορεύεται βασιλεύς. Τούτου καὶ νῦν ὁ Λουκᾶς μέμνηται, ἵνα δείξῃ, ὅτι ἀληθῶς ἦλθεν ὁ Χριστός, ἐκλιπόντων τῶν παρὰ τοῖς Ἰουδαίοις ἀρχόντων κατὰ τὴν προφητείαν.

«Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν ἄγγελον· Κατὰ τί γνώσομαι τοῦτο;[2]»

Ποῖον σημεῖον δεικνύεις μοι, φησί, ἵνα πεισθῶ τοῖς ὑπὸ σοῦ προφητευθεῖσιν, ὡς μέλλουσι γίνεσθαι; Σχεδὸν γὰρ παρὰ φύσιν ἐστὶ τὸ λεχθέν· οἱ γὰρ προβεβηκότες οὐ γονοποιοῦσιν. Ἔδει δὲ μὴ πρὸς τὸ γῆρας ἀφορᾶν τὸ ἑαυτοῦ καὶ γυναικός, ἀλλὰ πρὸς τὴν δύναμιν τοῦ ἐπαγγελλομένου Θεοῦ. Ἀλλὰ τὰ μεγάλα δυσέφικτα τοῖς ἀνθρώποις, καὶ συγγινώσκει Θεός· καὶ γὰρ οὐδ' αὐτὸς Ἀβραὰμ ὡς ἐχρῆν ἐπίστευσεν, ἀλλὰ τὰ πρῶτα καὶ ἐγέλασε καὶ εἶπεν· «Εἰ τῷ ἑκατονταέτει γενήσεται υἱός;[3]» καὶ ἡ Σάρρα δὲ γελάσασα ἐμέμφθη τότε.[4] Ποτὲ μὲν γὰρ λόγῳ μόνῳ ὁ Θεὸς μέμφεται, ποτὲ δὲ καὶ ἔργῳ ἐπιτιμᾷ. Τούτου οὖν χάριν καὶ τῷ Ζαχαρίᾳ δι' ἔργου ἐπετίμησε, καὶ εἰς κωφότητα καὶ ἀφωνίαν αὐτὸν περιέστησεν· ἐχρῆν γὰρ αὐτὸν διὰ τῶν προτέρων παιδεύεσθαι, καὶ τὴν πρὸς τοὺς πατέρας μέμψιν παίδευσιν ἰδίαν ποιήσασθαι.

«Ἐγώ εἰμι Γαβριήλ.[5]»

Τί οὖν φησι πρὸς αὐτὸν ὁ ἄγγελος; Ἀγγέλῳ, φησίν, ἀπιστεῖς, ὃς παρέστηκε Θεῷ; καὶ οὐ πιστεύεις τῷ ἀποστείλαντι, ἀλλὰ πρὸς τὴν τοῦ πράγματος ἀδυναμίαν βλέπεις; Οὐκοῦν διὰ τὴν ἄπιστον ταύτην φωνὴν ἀφαιρεθήσῃ τῆς φωνῆς ἕως τοῦ πράγματος πληρωθέντος, γνοὺς καὶ τὸ σὸν ἄπιστον καὶ τὸ τοῦ Θεοῦ δυνατόν.

---

* Κατὰ τὴν ἔκδοσιν τῆς Πατρολογίας J. P. Migne.

1. Λουκ. 1, 5. 2. Λουκ. 1, 18. 3. Γεν. 17, 17. 4. Γεν. 18, 10. 5. Λουκ. 1, 19.

«Δώσει αὐτῷ Κύριος ὁ Θεὸς θρόνον Δαυῒδ τοῦ πατρὸς αὐτοῦ.[1]»

Θρόνον λέγει τὸν ἐπαγγελθέντα τῷ Δαυῒδ, οὐ μὴν καὶ δοθέντα· «Ἅπαξ» γάρ, φησί, «ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαυῒδ ψεύσομαι· τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μένει, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου·» καὶ πάλιν· «Ὤμοσα Δαυῒδ τῷ δούλῳ μου· Ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου.[2]» Ταῦτα δὲ οὐ περὶ σαρκικοῦ σπέρματός φησι, οὐδὲ περὶ αἰσθητοῦ θρόνου, ἀλλὰ περὶ οὗ φησι καὶ ὁ ἄγγελος πρὸς τὴν Παρθένον, τὸν μηδὲν ἐπίκαιρον ἔχοντα, τὸν καθ' ὅλης τῆς οἰκουμένης φωτὸς δίκην ἐκλάμποντα, καὶ ψυχὰς νοερῶς καταυγάζοντα διὰ τῆς ἐνθέου διδασκαλίας. Οἶκον δὲ Ἰακώβ, μὴ τὸν Ἰουδαίων λαὸν νόμιζε μόνον, ἀλλὰ πάντας τοὺς διὰ τῆς κλήσεως τοῦ Σωτῆρος ἐξ ἁπάντων τῶν ἐθνῶν εἰς τὴν τῶν ἁγίων υἱοθεσίαν εἰσποιουμένους. Ὁ λαὸς τοῦ Θεοῦ ποτὲ μὲν Ἰακὼβ καλεῖται, ποτὲ δὲ Ἰσραήλ· ὁ αὐτὸς γὰρ ἦν καὶ Ἰσραὴλ καὶ Ἰακώβ· καὶ φύσει μὲν Ἰακὼβ ἦν ὁ παλαιὸς λαός, ὡς ἐξ Ἰακὼβ κατὰ τὴν ἐξ αἵματος συγγένειαν· θέσει δέ, ὁ νέος λαὸς κατὰ τὴν ἐξ ἀρετῆς συγγένειαν· ἀντεισήχθη γὰρ ὁ νέος τοῦ παλαιοῦ. Λοιπὸν οὖν ἐπὶ τοῦτον τὸν λαὸν βασιλεύσει εἰς τὸν αἰῶνα, ἤγουν ἀεί, ἔκ τε τῶν ἔργων καὶ τῶν λόγων ἐπιγνόντα αὐτόν, καὶ ἑκουσίως ὑποτεταγμένον αὐτῷ· ὁ γὰρ Χριστὸς ἦν μὲν βασιλεὺς καὶ ὡς Θεός. «Ἡ βασιλεία γάρ», φησίν, «ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου·[3]» ἦν δὲ καὶ ὡς ἄνθρωπος· εἶχε γὰρ ἔργα βασιλέως τὸ νομοθετεῖν τοῖς ὑπηκόοις αὐτοῦ, τὸ ῥυθμίζειν, τὸ περιέπειν, τὸ ὑπεραποθνήσκειν αὐτῶν· ἃ μάλιστα χαρακτηρίζουσι τὸν ἀληθῆ βασιλέα.

«Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ.[4]»

Θεός, φησίν, ὁ ἐνεργῶν, μὴ ἀμφίβαλλε· ὁ καὶ τὴν φύσιν γεγηρακυῖαν καὶ ἀσθενοῦσαν ἐπιρρωνύς, καὶ φύσιν καινοτομῶν, ὅτε βούλεται.

«Εἶπε Μαριάμ· Ἰδοὺ ἡ δούλη Κυρίου[5]», κ.τ.λ..

Δούλη εἰμὶ Κυρίου· πίναξ εἰμὶ γραφόμενος· ὃ βούλεται ὁ γραφεύς, γραφέτω· ποιείτω ὃ ἐθέλει ὁ τοῦ παντὸς Κύριος.

«Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν.[6]»

Ὅρα πῶς ἤδη λέγει καὶ τὴν μέλλουσαν ἔσεσθαι τῶν ἐθνῶν σωτηρίαν· τὴν γὰρ τούτου παρουσίαν, φησί, τὰ ἔθνη προσδοκᾷ.

«Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με.[7]»

Ὁ μὲν Σωτήρ, τῶν μακαρισμῶν ἀπαρχόμενος, τοῖς πτωχοῖς τὸν οὐράνιον εὐηγγελίζετο πλοῦτον καὶ τὴν τῶν οὐρανῶν βασιλείαν· Ἠσαΐας δὲ ὁ προφήτης τούτων προλαβὼν ἐμνημόνευσεν, ἐξ αὐτοῦ προσώπου τοῦ Σωτῆρος τὸ μέλλον ὧδε προθεσπίζων· «Πνεῦμα

---

1. Λουκ. 1, 32. 2. Ψαλμ. 88, 36, 33. 3. Ἰω. 18, 36. 4. Λουκ. 1, 35. 5. Λουκ. 1, 38. 6. Λουκ. 2, 32. 7. Λουκ. 4, 18.

Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με.[1]» Ἄντικρυς γοῦν ἐσήμανε πτωχοῖς εὐαγγελισμὸν ἀγαθῶν· διὸ ἅμα τε ἐπέφανεν ἀνθρώποις ὁ τῷ ἁγίῳ Πνεύματι κατὰ τὸ ἀνθρώπινον κεχρισμένος· καὶ ἐντεῦθεν ἀπήρχετο τῆς διδασκαλίας, βασιλείαν οὐράνιον δι' αὐτὸν πτωχεύουσιν εὐαγγελιζόμενος.

«Οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν.[2]»

Ὅρα γοῦν ἐπὶ τοῦ παρόντος, ἄνωθεν ἀρξαμένους τὰς τοῦ Σωτῆρος διελθεῖν φωνάς, καὶ παρ' αὐτοῦ τὰς διδασκαλίας ὥσπερ τινὰς νόμους, δι' ὧν ἄν τις τύχοι τῆς οὐρανίου βασιλείας, παραδέξασθαι· καὶ μὴ μέχρι τοῦ μαθεῖν στῆναι, ἀλλὰ καὶ δι' ἔργων χωρῆσαι, ὡς ἂν μὴ ἐκπέσοιεν τῶν ἐπαγγελμάτων· ὅτι οὐκ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει.

«Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ.[3]»

Πλὴν τῆς τῶν οὐρανῶν βασιλείας, ἐν πολλοῖς ἀγαθῶν τάγμασιν ἐπινοουμένης, κατὰ τό, «Πολλαὶ μοναὶ παρὰ τῷ Πατρί[4]», τὸ πρῶτον, ὡς ἂν εἴποι τις, ἀξίωμα, καὶ ὁ πρῶτος ἀνιόντων βαθμὸς ὁ τῶν διὰ Θεὸν πτωχευόντων τυγχάνει. Εἶεν δ' ἂν οὗτοι οἱ πάντων τῶν τοῦ παρόντος βίου τιμίων κατολιγωρήσαντες, οἱ πτωχεύοντες τῇ μετριοφροσύνῃ, οἱ καὶ εἰς ἄκρον ἐλάσαντες ἀκτημοσύνης διὰ τὴν κατὰ Θεὸν φιλοσοφίαν, τοῦ σωτηρίου μακαρισμοῦ τεύξονται. Τοιούτους δὲ αὐτοὺς τοὺς πρώτους αὐτῷ μαθητεύοντας ἀπειργάσατο· διὸ καὶ εἰς αὐτῶν πρόσωπον κατὰ θάτερον τῶν εὐαγγελιστῶν ἡρμόττετο λέγων· «Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ·[5]» τὸ γὰρ «ὑμετέρα» δεικτικῶς πρὸς παρόντας ἐλέγετο. Εἰς αὐτοὺς δὲ καὶ τοὺς ὀφθαλμοὺς ἐπῆρε, καὶ πρὸ τοῦ λόγου τῷ ἱλαρῷ βλέμματι πρὸς τὴν ἀκρόασιν αὐτοὺς ἐφελκόμενος· οἱ δὲ προθύμως σφᾶς αὐτοὺς ὑπηκόους τοῖς λεγομένοις παρεῖχον. Πρῶτος μὲν οὖν βαθμὸς τῶν σωτηρίων μακαρισμῶν οὗτος ἦν, ὁ συμβασιλεύειν αὐτῷ παριστὰς τοὺς τὴν δι' αὐτὸν πτωχείαν, καὶ τὸν ἄκρως ἀκτήμονα φιλόσοφόν τε καὶ θεοφιλῆ βίον ἀναδεδεγμένους, ἤγουν τοὺς ταπεινόφρονας.

Δεύτεροι οὖν καὶ τρίτοι ἐφεξῆς καταλέγονται παρ' αὐτῷ μακαρισμοί, καὶ τέταρτοι καὶ ἐφεξῆς. Ἐξεῖναι γὰρ ἐδίδασκε καθ' ἕνα τινὰ τρόπον τῶν κατωνομασμένων βίων καταξιωθῆναι τῶν ἐπηγγελμένων φιλοτιμεῖσθαι· ὥστ' εἶναι δυνατόν, ἐν τῇ τοῦ Θεοῦ βασιλείᾳ γενομένους, εἰ καὶ μὴ συμβασιλεῦσαι Χριστῷ κατὰ τοὺς πτωχοὺς τῷ πνεύματι, ἀλλὰ γοῦν παρακληθῆναι ἐφ' οἷς τὰ πρὸς θάνατον ἁμαρτήσαντες ἐπένθησαν, μετανοίᾳ καὶ ἐξομολογήσει καὶ βίῳ σώφρονι ἑαυτοὺς ἐπιδεδωκότες· ἢ τῆς ἐπηγγελμένης γῆς τυχεῖν, οἰκήτοράς τε καὶ πολίτας τῆς ἄνω τοῦ Θεοῦ πόλεως γενέσθαι, πράους καὶ ἀνε-

1. Ἡσ. 61, 1. 2. Λουκ. 6, 18. 3. Λουκ. 6, 20. 4. Ἰω. 14, 2. 5. Ματθ. 5, 3.

ξικάκους ἀποδειχθέντας· ἢ πεινήσαντας ἐν τῷ παρόντι βίῳ, καὶ διψήσαντας τῆς δικαιοσύνης τυχεῖν αὐτῆς, καὶ κορεσθῆναι κατὰ τὸν ἐπηγγελμένον αἰῶνα, ἐπὰν αὐτῆς καθαρᾶς τῆς οὐσιώδους ἀρετῆς ἀπολαύωσιν, αὐτὴν ὑποστατικὴν ὁρῶντες τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ αὐτὴν τὴν σοφίαν τοῦ Θεοῦ, καὶ τὴν ζωὴν τὴν αἰώνιον, καὶ τὸ ψυχῶν φωτιστικόν· ἃ δὴ πάντα ἐπινοεῖται κατὰ τὰς ἐνυπαρχούσας δυνάμεις τῷ μονογενεῖ τοῦ Θεοῦ Λόγῳ. Εἰ δὲ ἄλλως τινὲς φιλάνθρωποι καὶ ἐλεήμονες γεγόνασι, τὸ συμπαθὲς καὶ κοινωνικὸν πρὸς τοὺς πέλας ἐπιδεικνύμενοι, ταὐτὸν πείσονται οἷς ἔδρασαν, κατ' ἔλεον Θεοῦ καὶ φιλανθρωπίαν ἐλεηθέντες. Ἄλλο δὲ τάγμα γένοιτ' ἂν τῶν κατὰ τὴν ἐπαγγελίαν μακαρίων, τὸ τῶν τὴν καρδίαν τουτέστι τὴν διάνοιαν κεκαθαρμένων· καὶ ἄλλο πάλιν τῶν εἰρηνοποιῶν· ὧν οἱ μὲν πρότεροι γέρας λήψονται τῆς καθαρότητος, τὴν τοῦ Θεοῦ θέαν, ἅτε δὲ ὀφθαλμοῖς ψυχῆς κεκαθαρμένοις αὐτὸν ὀψόμενοι· οἱ δὲ δεύτεροι υἱοὶ Θεοῦ γενήσονται, ὡς ἂν ἔργον ὅμοιον κατωρθωκότες· οἷον καὶ ὁ τοῦ Θεοῦ Υἱὸς εἰρηνοποιήσας τὰ πάντα δι' ἑαυτοῦ, τά τε ἐν οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς. Ἀλλ' οὗτοι μὲν ἐπὶ διαφόροις κατορθώμασι διαφόρων τεύξονται τιμῶν ἐν τῇ κατηγγελμένῃ τῶν οὐρανῶν βασιλείᾳ. Οἵ γε μὴν αὐτῷ συμβασιλεύσοντες τῷ Υἱῷ τοῦ Θεοῦ πρῶτοι μὲν ἦσαν οἱ δηλωθέντες πτωχοὶ τῷ πνεύματι· δεύτεροι δὲ μετ' ἐκείνους οἱ γενναῖοι τοῦ Θεοῦ μάρτυρες, περὶ ὧν ἑξῆς ἐδίδασκε λέγων· «Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης·» διὰ τούτων γὰρ τοὺς μέλλοντας ὑπεραγωνίζεσθαι τῆς βασιλείας ὡς εὐγενεῖς Θεοῦ στρατιώτας ἐμακάριζεν· ἀναγκαίως καὶ αὐτοῖς ὡς ἀδελφοῖς τῶν προμεμακαρισμένων πτωχῶν βραβεῖα τῶν ἐπάθλων τὴν τῶν οὐρανῶν βασιλείαν ὑπισχνούμενος. Τάξει δὲ πολλῇ καὶ ἀκολουθίᾳ τούτοις μετεδίδου τῆς αὐτοῦ βασιλείας μετὰ τοὺς πτωχοὺς τῷ πνεύματι· βιῶναι γὰρ δεῖ πρότερον θεοφιλῶς τὸν πάντα χρόνον τῆς ζωῆς ἐν ἀκτήμονι καὶ φιλοσόφῳ τρόπῳ διατελέσαντας, εἶθ' οὕτως ἐπὶ τὸ θεοφιλὲς τέλος ἐλθεῖν. Οἱ μὲν οὖν πρῶτοι τὴν ἄκραν ἀκτήμονα μετήρχοντο ἀγωγὴν τοῦ βίου, διὰ πάσης αὐτῶν τῆς ζωῆς τοῖς τῆς ἀρετῆς ἄθλοις ἐναγωνιζόμενοι· οἱ δὲ δεύτεροι τῆς εἰς αὐτὸν μαρτυρίας ἕνεκεν ἠλαύνοντο πολεμούμενοι καὶ μισούμενοι, συκοφαντούμενοί τε ψευδέσι διαβολαῖς δι' οὐδὲν ἕτερον ἢ διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν. Ἀλλὰ γὰρ τοὺς μὲν πεινῶντας καὶ κλαίοντας καὶ διὰ Χριστὸν ὀνειδιζομένους καὶ παρὰ τῷ Λουκᾷ ὀψόμεθα· τοὺς δὲ πραεῖς καὶ τοὺς ἐλεήμονας καὶ τοὺς καθαροὺς τῇ καρδίᾳ καὶ τοὺς εἰρηνοποιοὺς ὁ Ματθαῖος ἡμῖν εἰς ἐξέτασιν παρατίθεται.

Καὶ ταῦτ' ἔλεγεν ὁπλίζων καὶ περιφράττων τοὺς μαθητὰς εἰς τὸν κατὰ τῶν ἐναντίων πόλεμον, ὃν ἔμελλον ἐπαναντλεῖσθαι κηρύττοντες παντὶ τῷ κόσμῳ καὶ μαρτυρόμενοι τὴν ἑνὸς τοῦ ἐπὶ πάντων Θεοῦ βασιλείαν. Μέλλοντας γὰρ αὐτοὺς διὰ τὸ νέον κήρυγμα πρὸς ἁπάντων ἐλαύνεσθαι καὶ πολεμεῖσθαι, προησφαλίζετο καὶ προέφραττε

μακαρισμῶν τε ἠξίου· ὅτι δὴ ἄληπτον βίον προβαλλόμενοι, ὡς μηδὲ τοῖς ἐχθροῖς προφάσεις κατ' αὐτῶν θηρωμένοις ἀφορμὰς διαβολῆς παρέχειν· ὅμως διὰ μόνην τὴν εἰς αὐτὸν ὁμολογίαν, καὶ τῶν αὐτοῦ παραγγελμάτων ἕνεκεν, διώκεσθαι καὶ πολεμεῖσθαι μέλλοιεν, δυσφημούμενοι καὶ πάσας ὑπομένοντες λοιδορίας καὶ ὕβρεις καὶ ὀνειδισμούς, οὐ δι' οἰκείας πλημμελείας, διὰ δὲ τὸν ἐνάρετον καὶ ἄκρον ἐν δικαιοσύνῃ βίον αὐτῶν· ὃ δὴ καὶ αὐτὸ κατὰ τὴν θείαν προμήθειαν εἰρημένον τέλους ἐτύγχανεν ἀληθοῦς ἐν τῷ μετὰ ταῦτα χρόνῳ. Πλὴν ἀλλὰ θεραπεύει τὸ λυπηρὸν τοῦ λόγου, ἰσοτίμους αὐτοὺς ἀποφαίνων τοῖς πάλαι τοῦ Θεοῦ προφήταις. Διὸ καὶ χαίρειν καὶ ἀγαλλιᾶν ἐν πᾶσι τοῖς ἐπιοῦσι παρῄνει, ὡς ἂν τὰ ὅμοια τοῖς προφήταις πεισομένους, καὶ δηλαδὴ ὁμοίως αὐτοῖς τῆς παρὰ τῷ Θεῷ τιμῆς ἀξιωθησομένους. Ἔνθεν εἰκότως Παῦλος τούτοις ἐπιθαρρῶν ἔλεγεν· «Εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν·» καί, «Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἐκκαλυφθῆναι εἰς ἡμᾶς.[1]» Καὶ οὐ λόγοις μὲν ταῦτα ἔλεγεν, ἔργοις δὲ ἀφυστέρει τῶν λελεγμένων, ἀλλὰ καὶ αὐταῖς πράξεσι τοὺς ὑπὲρ εὐσεβείας ἄθλους ἐνεδείκνυτο, οὓς καὶ κατηριθμεῖτο λέγων· «Διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσι[2]», καὶ τὰ ἑξῆς. Καὶ ταῦτα μὲν ἔτι τὰ τῶν ἄθλων προοίμια· τὸ δὲ συμπέρασμα τοῦ παντὸς ἀγῶνος αὐτῷ ἐπὶ τῆς Ῥωμαίων ἐτελειοῦτο πόλεως, ἔνθα μαρτυρίῳ τὴν κεφαλὴν ἀπετμήθη. Ὁ Πέτρος δὲ ἁρπαγμὸν τὸν διὰ σταυροῦ θάνατον ἐποιεῖτο διὰ τὰς σωτηρίους ἐλπίδας· Ἰάκωβός τε ὁμοίως ξίφει τὴν κεφαλὴν ἐν Ἱεροσολύμοις ἀποτέμνεται· καὶ Ἰωάννης νῆσον οἰκεῖν Πάτμον κατεκρίνετο· καὶ ἄλλος ἄλλως τὸ καθαρὸν καὶ ἄπλαστον τῆς τῶν αὐτοῦ λόγων ὑπακοῆς ἐνδειξάμενοι, διάφορον ὑπέμειναν τοῦ βίου τελευτήν. Καὶ ταῦτ' οὐ παρὰ γνώμην ἔπασχον, πάσης δὲ ἡδονῆς ἡδίω τιθέμενοι τὴν τῶν σωτηρίων ἐπαγγελιῶν ἐλπίδα· ἐπεὶ γοῦν ποτε συλλαβόντες αὐτοὺς οἱ τοῦ Ἰουδαίων ἔθνους ἄρχοντες μαστίγων αἰκίαις ὑπέβαλον, ὡς ἡ περὶ αὐτῶν ἱστορία μαρτυρεῖ, ὡς ἄρα «προήεσαν ἐκ τοῦ συνεδρίου χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι.[3]» Καὶ τοῦτ' ἔπραττον, αὐτοῦ παράγγελμα πληροῦντες, ἐπειδὴ χαίρειν ἐδίδασκεν ὑπὲρ αὐτοῦ πάσχοντας. Ἰσοτίμους δ' αὐτοὺς τοῖς προφήταις ἀπέφαινε, λέγων κατὰ Ματθαῖον· «Οὕτω γὰρ ἐδίωξαν τοὺς πρὸ ὑμῶν·[4]» ὡς καὶ τούτων μὲν ὄντων προφητῶν, λειπομένων δὲ χρόνῳ, ἐξισουμένων γε μὴν ἐκείνοις διὰ τὴν ὁμοιοπάθειαν. Ἐπεὶ κἀκείνων ὁ μέν τις ἀνῃρεῖτο ξίφει, ὁ δὲ λίθοις, ὁ δὲ λέουσι παρεβάλλετο, ὁ δὲ ἐν λάκκῳ βορβόρου ἐβάλλετο· καὶ ἄλλος πρίονι τὸ σῶμα κατετέμνετο· οἱ δ' ἐν πυρὸς καμίνῳ συνεκλείοντο. Διὸ δὴ θαρρεῖν ὁ Σωτὴρ ἐν τῇ τῶν δεινῶν ὑπομονῇ τοῖς κατ' αὐτοῦ παρεκελεύετο γνωρίμοις, κατὰ καιρὸν ὑπομνήσας ὧν οἱ τοῦ Θεοῦ προφῆται πεπόνθασι·

1. Ῥωμ. 8, 17, 18. 2. Β' Κορ. 12, 10. 3. Πράξ. 5, 41. 4. Ματθ. 5, 12.

ὅπως διὰ τῆς ἐκείνων παραθέσεως καὶ αὐτοὶ τὰς αὐτὰς ὑπογράφοιεν αὐτοῖς ἐλπίδας· «Ὅταν» γάρ, φησί, «συκοφαντήσωσιν ὑμᾶς, χάρητε· ἐπειδὴ καὶ οἱ προφῆται τὸ αὐτὸ ὑπέστησαν.»

«Καὶ πᾶς ὁ λαὸς ἀκούσας, καὶ οἱ τελῶναι ἐδικαίωσαν τὸν Θεόν, βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου. Οἱ δὲ Φαρισαῖοι καὶ οἱ νομικοὶ τὴν βουλὴν τοῦ Θεοῦ ἠθέτησαν εἰς ἑαυτούς, μὴ βαπτισθέντες ὑπ' αὐτοῦ.[1]»

Ἑκατέρους δὲ τούτους αἰνίττεται καὶ ὅταν ἐν παραβολῇ λέγῃ· «Τί ὑμῖν δοκεῖ; Ἄνθρωπός τις εἶχε τέκνα δύο· καὶ προσελθὼν τῷ πρώτῳ εἶπε· Τέκνον, ὕπαγε, σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί μου. Ὁ δὲ ἀποκριθεὶς εἶπεν, Οὐ θέλω· ὕστερον δὲ μεταμεληθεὶς ἀπῆλθε. Καὶ προσελθὼν τῷ ἑτέρῳ ὁμοίως εἶπεν· ὁ δὲ ἀποκριθεὶς εἶπεν, Ἐγὼ κύριε· καὶ οὐκ ἀπῆλθε. Τίς ἐκ τῶν δύο ἐποίησε τὸ θέλημα τοῦ πατρός; λέγουσιν αὐτῷ, Ὁ πρῶτος.[2]» Ἐνταῦθα γὰρ δύο τάγματα τῷ λόγῳ παραστησάμενος, ἓν μὲν τὸ Ἰσραηλιτικόν, ἕτερον δὲ τὸ τῶν ἀλλοφύλων ἐθνῶν διὰ τῶν τελωνῶν δηλούμενον, ἄμφω δύο τέκνα ἑνὸς πατρὸς ὠνόμαζεν, ἐπεὶ ἐξ ἑνὸς Θεοῦ πάντες, Ἰουδαῖοί τε καὶ Ἕλληνες. Καὶ πρώτους μὲν ἐκάλεσε τοὺς ἐξ ἐθνῶν, δευτέρους δὲ τοὺς ἐκ περιτομῆς· ἐπειδὴ πρὸ τοῦ Ἰσραὴλ ὑπῆρχε τὰ ἔθνη, καὶ τοῖς ἔθνεσι πρώτοις, μήπω μηδὲ ὀνόματος ὄντος ἐν ἀνθρώποις Ἰσραηλιτικοῦ, οἱ χρησμοὶ παρείχοντο τοῦ Θεοῦ καὶ αἱ θεοφάνειαι. Ὅ τε γὰρ Ἐνὼχ ἐθνικὸς ἦν ἀπερίτμητος ὤν, ὃς ἔπαθλον εἴληφε τῆς εὐαρεστήσεως τὴν ἐξ ἀνθρώπων μετάθεσιν· καὶ Νῶε δίκαιος ἐν τῇ γενεᾷ αὐτοῦ γεγονώς, χρησμῶν Θεοῦ κατηξιώθη, ἀπερίτμητος ὢν καὶ αὐτός· καὶ Μελχισεδὲκ παλαιότερος γεγονὼς τοῦ ἐκ περιτομῆς λαοῦ, ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου κεχρημάτικε· καὶ Ἀβραὰμ δὲ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ πρὸ τοῦ Ἰσραὴλ χρησμῶν Θεοῦ κατηξιώθησαν· ἄντικρυς δὲ καὶ ὁ Ἰώβ, Ἰδουμαῖος ὢν τῶν υἱῶν Ἠσαῦ, θεοσεβείας ἀνδραγαθήμασι διέλαμψε. Τὸ μὲν λοιπὸν τάγμα τῶν ἐθνῶν κελευόμενον φυσικοῖς νόμοις ἐργάζεσθαι εἰς τὸν ἀμπελῶνα, τοῦτο δ' ἦν τὸ τῆς θεοσεβείας τὸ πολίτευμα, ἀνένευσε καὶ ἀντεῖπε τῷ προστάγματι τῷ πατρικῷ, πάντα τὸν χρόνον εἰδωλολατροῦν· πλὴν ἐπὶ τέλει τὴν ὑπακοὴν ἐνεδείξατο· τὸ δὲ Ἰουδαίων ἔθνος, ὅπερ ἦν τὸ δεύτερον τέκνον, μετὰ τὴν ἀνάνευσιν τοῦ προτέρου κληθὲν ἐπὶ τὴν αὐτὴν ἐργασίαν διὰ Μωϋσέως καὶ τῶν προφητῶν, λόγῳ μὲν τὴν προθυμίαν ἐνεδείξατο· εἶπον γάρ, ὅτι Πάντα ποιήσομεν καὶ ἀκουσόμεθα· ἔργῳ δὲ πᾶν τοὐναντίον. Διὸ πυνθάνεται τῶν ἀρχιερέων ὁ Σωτήρ· «Τίς ἄρα τῶν δύο τούτων ἐποίησε τὸ θέλημα τοῦ πατρός;» Ἐκείνων δὲ ὁμολογησάντων, ὅτι ὁ πρῶτος, τίς ἦν οὗτος ὁ πρῶτος διασαφεῖ λέγων· «Οἱ τελῶναι καὶ αἱ πόρναι καὶ πᾶν τὸ τῶν ἀπίστων ἐθνῶν τάγμα προάγουσιν ὑμᾶς εἰς τὴν ἀγάπην τοῦ Θεοῦ.[3]» Ὑμᾶς δὲ τίνας, ἢ

1. Λουκ. 7, 29-30. 2. Ματθ. 21, 28-31. 3. Ματθ. 21, 31.

τοὺς ἀρχιερέας καὶ πρεσβυτέρους, καὶ πᾶν αὐτῶν τὸ ἔθνος, τὸ δὴ λόγῳ μὴν ἐπαγγελλόμενον θεοσεβεῖν, ἔργοις δὲ ἀντιπράττον τῇ ἐπαγγελίᾳ; Διὸ οἱ μὲν ἐξ ἐθνῶν μεταβαλόντες τῆς προτέρας μοχθηρίας, καὶ καρποὺς ἐνδεξάμενοι τῆς βασιλείας ἀξίους, τεύξονται αὐτῆς· ὑμεῖς δέ, οἱ φάσκοντες ἑαυτοὺς Θεοῦ εἶναι τέκνα, τῆς βασιλείας ἐκκλεισθήσεσθε· ὅτι ὑμεῖς μὲν οὐκ ἐπιστεύσατε αὐτῷ, οἱ δὲ τελῶναι καὶ αἱ πόρναι ἐπίστευσαν. Διὸ καὶ ἐδικαίωσαν τὸν Θεόν· δίκαιος γὰρ ἐφάνη ἐπὶ πᾶσιν οἷς ἐποίησεν, ὑμᾶς μὲν ὡς ἀπειθεῖς καὶ ἀγνώμονας ἀπωσάμενος, ἐκείνους δὲ ὡς εὐπειθεῖς καὶ εὐγνώμονας ἐκλεξάμενος. Καὶ οὐκ ἔχετε λοιπὸν αὐτῷ ἐγκαλεῖν, ὁ προφήτης φησίν· «Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου.[1]»

«Εἰς τὴν ἄβυσσον ἀπελθεῖν.[2]»

Ὅτι τὸ λεγόμενον τάρταρον ἄβυσσον θεῖοι λόγοι καλοῦσι.

«Καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵματος ἀπὸ ἐτῶν δώδεκα[3]», κ.τ.λ.

Ἐγὼ δὲ οὐκ ἄξιον ἡγοῦμαι παρελθεῖν διήγησιν καὶ τοῖς μεθ' ὑμᾶς μνημονεύεσθαι ἀξίαν. Τὴν γὰρ αἱμορροοῦσαν ἐκ Πανεάδος ἔλεγον ὁρμᾶσθαι, τόν τε οἶκον αὐτῆς ἐπὶ τῆς πόλεως δείκνυσθαι, καὶ τῆς ὑπὸ τοῦ Σωτῆρος εἰς αὐτὴν εὐεργεσίας θαυμαστὰ τρόπαια παραμένειν. Ἑστάναι γὰρ ἐφ' ὑψηλοῦ λίθου πρὸς μὲν ταῖς πύλαις τοῦ αὐτῆς οἴκου γυναικὸς ἐκτύπωμα χάλκεον, ἐπὶ γόνυ κεκλιμένον, καὶ τεταμέναις ἐπὶ τὸ πρόσθεν ταῖς χερσίν, ἱκετευούσῃ ἐοικός· τούτου δὲ ἀντικρὺ ἄλλο τῆς αὐτῆς ὕλης ἀνδρὸς ὄρθιον σχῆμα, διπλοΐδα κοσμίως περιβεβλημένον, καὶ τὴν χεῖρα τῇ γυναικὶ προτεῖνον· οὗ παρὰ τοῖς ποσὶν ἐπὶ τῇ στήλῃ ξένον τι βοτάνης εἶδος φυέν, ὅ, μέχρι τοῦ κρασπέδου τῆς τοῦ χαλκοῦ διπλοΐδος ἀνιόν, ἀλεξιφάρμακόν τι παντοίων νοσημάτων τυγχάνει. Τοῦτον τὸν ἀνδριάντα τοῦ Ἰησοῦ εἰκόνα φέρειν ἔλεγον, ὃν Μαξιμῖνος τῆς ἑαυτοῦ δυσσεβείας πάρεργον ἐποιήσατο. Καὶ ταῦτα μὲν ταύτῃ. Ἐπὶ δὲ τὸ ἑξῆς τοῦ λόγου προΐωμεν.

«Συγκαλεσάμενος δὲ τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν[4]», κ.τ.λ.

Διὰ ταῦτα ἐνθέοις δυνάμεσι τοὺς ἑαυτοῦ μαθητὰς ὁ Κύριος ὥπλιζεν, ὡς ἂν ἐν πρώτοις τὰ δαιμονικὰ στίφη καὶ τὰς ἐχθρὰς τῶν ἀνθρώπων καὶ πολεμικὰς παρατάξεις καθαιροῖεν· ἔπειτα νόσων καὶ παντοίων παθῶν θεραπεύοιεν τοὺς καταπονουμένους· γνωρίσματα δὴ τῆς κηρυττομένης βασιλείας παρέχων ὁρᾶν ἅπασιν ἀνθρώποις. Ἐχρῆν γάρ, παράδοξον κήρυγμα καταγγέλλοντας, ξένων καὶ νέων ἀγαθῶν ἐναργῆ σημεῖα παρέχειν τοῖς μαθητευομένοις. Ἦσαν δ' οὖν ἀληθῶς Θεοῦ βασιλείας δείγματα αἱ τεράστιαι δυνάμεις, τά τε θαύματα καὶ σωτήριοι ψυχῶν καὶ σωμάτων θεραπεῖαι· ὅτι ἅπας λόγος, ἔργων ἔρημος, οὔποτ' ἂν ἰσχύσῃ πεῖσμα βέβαιον ἐμποιῆσαι τοῖς ἀκροωμένοις. Διὸ ταῖς δι' ἔργων ἐπιτελουμέναις πράξεσι πίστιν

1. Ψαλμ. 50, 6. 2. Λουκ. 8, 31. 3. Λουκ. 8, 43. 4. Λουκ. 9, 1.

ἐναργῆ παρεῖχον τῷ κηρύγματι. Εἰ γοῦν ψιλοῖς ῥηματίοις καὶ φωναῖς εἰκῆ προφερομέναις Θεοῦ βασιλείαν εἰς πάντας ἐβόων, κατάλυσίν τε τῶν πατρίων θεῶν, τίς ἂν αὐτοῖς παρέσχε τὸν νοῦν; τίνα δ' ἂν ἔπεισαν Θεὸν εἶναι τὸν Ἰησοῦν καταγγέλλοντες, μηδεμίαν δὲ πίστιν τῇ μαρτυρίᾳ προσάγοντες; Διὸ πάντα λόγον θεϊκαῖς προλαμβάνων πράξεσιν ὁ Σωτήρ, πρῶτα μὲν ἀνεπιτηδεύτους τὸν τρόπον, λόγων τε καὶ σοφίας θνητῆς ἀπείρους τοὺς αὐτοῦ μαθητὰς ἐπὶ κατορθώσει τῆς ὅλης οἰκουμένης προεχειρίζετο· κἄπειτα ἁλιευτὰς ψυχῶν ἀνθρωπίνων ποιήσειν προφήτας αὐτούς, ποιητὴς αὐτὸς ἐγίνετο τῆς ἐπαγγελίας· ὅθεν παραδόξων θαυμάτων ἐργάτας αὐτοὺς ἀπειργάζετο, ἄγκιστρα ταῦτα ψυχῶν σωτήρια παραδιδοὺς αὐτοῖς, ὡς ἂν δι' αὐτῶν σαγηνεύοιεν καὶ ἀνέλκοιεν ἐκ τοῦ τῆς κακίας βυθοῦ τὸ θνητὸν γένος, πνεύματα πονηρὰ φυγαδεύοντες, καὶ πᾶσαν νόσον καὶ μαλακίαν ἰώμενοι ἐπὶ τῆς ἐπιταγῆς τῆς αὐτοῦ· οὔπω γὰρ ἦν Πνεῦμα δεδομένον.[1]

«Μηδὲν αἴρετε εἰς τὴν ὁδόν, μήτε ῥάβδους, μήτε πήραν.[2]»

Κατὰ μὲν οὖν τὸν Ματθαῖον χρυσοῦ καὶ ἀργύρου καὶ χαλκοῦ τὴν κτῆσιν αὐτοῖς ἀπηγόρευε[3], προγνώσει τοῦ μέλλοντος· συνεώρα γάρ, ὡς ἄρα οἱ τὰς νόσους ὑπ' αὐτῶν θεραπευθησόμενοι καὶ τῶν ἀνιάτων ἀπαλλαγησόμενοι παθῶν, ἐθελήσουσι καὶ πάντων αὐτοῖς τῶν ὑπαρχόντων ἐκχωρεῖν· διὸ ταῦτα προλαβὼν διεστέλλετο, μὴ καπηλεύειν τὴν χάριν μηδὲ πιπράσκειν τὰ ἐκ Θεοῦ παραινῶν δῶρα· κατὰ δὲ τοὺς λοιποὺς καὶ τὸν αὐτὸν Ματθαῖον μὴ ἐπιτρέπων αὐτοῖς μήτε ῥάβδον, μήτε πήραν, μήτε ὑποδήματα, μήτε δύο χιτῶνας, ἀλλὰ μήτ' ἄρτον, μήτε ἀργύριον ἐπάγεσθαι, μέλλοντας ἐπ' ἀλλοδαπῆς στέλλεσθαι, δοκιμὴν τῆς αὐτῶν πίστεώς τε καὶ προθυμίας ἐλάμβανεν, εἰ, παραγγελθέντες τὸν ἄκρως ἀκτήμονα βίον μετιέναι, ὡς μηδὲ τῆς ἐφημέρου τροφῆς πρόνοιαν ποιεῖσθαι, μηδὲ δεύτερον ἐπάγεσθαι χιτῶνα, μηδὲ ὑποδήμασι χρῆσθαι, μέλλοντες τὴν σύμπασαν ἐκπερινοστεῖν οἰκουμένην, μὴ φεύγοιεν τὰ παραγγέλματα· ἀλλὰ καὶ ἀφιλοχρημάτους ἀφρόντιδάς τε τοῦ βίου δεῖν αὐτοὺς εἶναι βουλόμενος. Ταῦτα διεμαρτύρατο, ὡς ἂν τῶν ἐκ Θεοῦ δομάτων ταύτῃ πῃ αὐτοῖς δοθησομένων, εἰ καὶ αὐτοὶ παρ' ἑαυτῶν τὸν κατάλληλον βίον ἐπάξιον τῆς τῶν θείων χαρισμάτων κτήσεως παρασκευάζοιεν· προσήκειν γὰρ ἀμοιβήν τινα ποιήσασθαι καὶ ἀντικαταλλάξασθαι, ὑποδεχομένους μὲν παρὰ τοῦ Θεοῦ τὰς σωτηρίους καὶ εὐεργετικὰς ἀνθρώπων δυνάμεις, ἀντιδιδόντες δὲ αὐτῷ ὑπακοὴν τῶν αὐτοῦ παραγγελμάτων, προθυμίαν τε καὶ προαίρεσιν ἐλευθέραν τῆς πρὸς τὰ βιωτικὰ συμπαθείας. Ἀλλὰ καὶ πλοῦτον οὐράνιον ταῖς αὐτῶν ψυχαῖς ὑποδεχομένους, τῆς τε τοῦ Θεοῦ βασιλείας ἀρραβῶσιν ἐφοδιαζομένους, τῶν ἐπὶ γῆς καταφρονεῖν χρῆναι δεῖν ᾤετο· καὶ μήτε χρυσόν, μήτε χρήματα, μήτε τι τῶν παρ' ἀνθρώποις τιμίων ἐπάξιον ἡγεῖσθαι τοῦ παρασχεθέντος

1. Πρβλ. Ἰω. 7, 39. 2. Λουκ. 9, 3. 3. Ματθ. 10, 9.

αὐτοῖς οὐρανίου πλούτου. Ἀλλὰ καὶ στρατιώτας αὐτοὺς τῆς τοῦ Θεοῦ βασιλείας ἀποτελῶν, εὐζώνους παρεσκεύαζεν ἐπὶ τὸν πρὸς τοὺς ἀντικειμένους πόλεμον. Διὰ ταῦτα ἀκτήμονας εἶναι παρῄνει τοὺς αὐτοῦ στρατιώτας· ἐπεὶ «Μηδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ.[1]»

«Καὶ εἰς ἣν ἂν οἰκίαν εἰσέλθητε, ἐκεῖ μένετε.[2]»

Ὁ μέντοι Κύριος, ἐπειδὴ χρημάτων καὶ χρυσοῦ καὶ ἀργύρου καὶ χιτῶνος δευτέρου, πάσης τε ὑπάρξεως τὴν κτῆσιν τοῖς μαθηταῖς ἀπηγόρευσεν, ἑξῆς ἀκολούθως κατὰ τὸν Ματθαῖον, ὅπως τὰ πρὸς τροφὴν αὐτοῖς πορισθήσεται, ἀναγκαίως διεσάφει· διὸ ἐπῆγε λέγων· «Ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ.[3]» Καὶ τοῦτ' ἔλεγε τροφῆς μόνης ἐπιτρέπων κοινωνεῖν τοῖς ἐθέλουσιν αὐτοῖς μεταδιδόναι· τοσοῦτον δ' ἀποφέρεσθαι συνεχώρει, ὅσον αὔταρκες ἦν ἀνδρί, πρὸς ἐφήμερον ἐργασίαν ἑαυτὸν μεμισθωκότι, τροφῆς μεταλαβεῖν. Οὕτω γοῦν καὶ τοῖς δὲ ἐξεῖναι οὐ μισθοὺς τῶν εὐεργεσιῶν εἰσπράττεσθαι, «Δωρεὰν γάρ», φησίν, «ἐλάβετε, δωρεὰν δότε·» ἀντὶ δὲ τῆς περὶ τὸ κήρυγμα σχολῆς τε καὶ ἐργασίας, ἀντί τε τῶν πόνων τοῦ σώματος, οὓς τοσαύτην στελλομένους πορείαν εἰκὸς ἦν ὑπομένειν αὐτούς, μόνης τροφῆς τῆς ἀναγκαίας χρῆναι μεταλαμβάνειν· καὶ ταύτης μὴ τοῖς τυχοῦσι κοινωνεῖν, μηδὲ παρὰ τῶν παρέχειν ἐθελόντων ἀβασανίστως λαμβάνειν, μόνους δὲ τοὺς ἀξίους τῇ λήψει τιμᾶν· οἷς καὶ μεγίστην ἀμοιβὴν τῆς τροφῆς προλαμβάνοντας ἀντιδιδόναι, εἰρήνην αὐτοῖς καὶ τὰς τοῦ Θεοῦ διαλλαγὰς εὐαγγελιζομένους. Ταῦτα δ' ἀκολούθως τοῖς τῆς αὐτοῦ βασιλείας στρατιώταις παρῄνει· προμαρτυρούμενος μὴ χρημάτων ἐφίεσθαι, μηδέ τινος τὸ παράπαν κτήματος μικροῦ ἢ μεγάλου, εἰς ἄκρον δ' ἐλαύνειν ἀκτημοσύνης· τῆς τε ἐφημέρου τροφῆς μὴ τοῖς πᾶσιν, ἢ τοῖς ἀξίοις μόνοις κοινωνεῖν· καὶ μηδὲ παρὰ τούτων προῖκα ποιεῖσθαι τὴν μετάληψιν, προδανείσαντας δὲ καὶ προευεργετήσαντας ταῖς παρ' ἑαυτῶν εὐλογίαις. — Περιφράξας τοὺς μαθητὰς ὁ Κύριος ἐνθέοις δυνάμεσι καὶ τοῖς φιλοσόφοις παραινέσεσιν, εὐζώνους αὐτοὺς οἷα Θεοῦ βασιλείας στρατιώτας ἀπεργασάμενος ἐξέπεμψε, διδασκάλους καὶ ἰατροὺς τοῖς Ἰουδαίοις, μυρίων αὐτοῖς ἐσομένους ἀγαθῶν προξένους καὶ κήρυκας. Οἱ δὲ κατὰ ταῦτα ἐποίουν, καὶ πανταχοῦ περιῄεσαν, ὡς μὲν διδάσκαλοι εὐαγγελιζόμενοι, ὡς δὲ ἰατροὶ θεραπεύοντες, καὶ τοὺς λόγους διὰ τῶν ἔργων καὶ τῶν σημείων πιστούμενοι.

«Ἤκουσε δὲ Ἡρώδης ὁ τετράρχης τὰ γινόμενα ὑπ' αὐτοῦ πάντα.[4]»

Ἐπὶ τῆς παρουσίας τοῦ Σωτῆρος, λέλυτο μὲν Ἰουδαίοις ἤδη λοιπὸν τὰ τῆς ἐκ προγόνων βασιλείας· λέλυτο δὲ τὰ τῆς αὐτονομίας καὶ ἐλευθερίας, τά τε τῆς ἐνθέσμου ἱερωσύνης. Καὶ οἱ μὲν κατὰ νόμους ἄρχοντες οὐκέτι ἦσαν αὐτοῖς· Ἡρώδης δὲ καὶ οἱ τούτου παῖδες

1. Β' Τιμ. 2, 4. 2. Λουκ. 9, 4. 3. Ματθ. 10, 10. 4. Λουκ. 9, 7.

Ἀγρίππας καὶ Ἀρχέλαος, τὸ γένος ἀλλόφυλοι, παρὰ Ῥωμαίων τὴν κατ' αὐτῶν ἦσαν ἀρχὴν ἐγκεχειρισμένοι· διήρητό τε εἰς τετραρχίαν ἡ χώρα αὐτῶν· τό τε παν ἔθνος ὑπόφορον καθειστήκει Ῥωμαίοις, τὸν κῆνσον κατ' κεφαλὴν ἐπιτρόπων κατὰ καιροὺς εἰσπραττομένων σὺν χειρὶ στρατιωτικῇ. Διό, τῆς τοῦ Θεοῦ βασιλείας τὸ κήρυγμα πρώτοις αὐτοῖς ἐπαγγέλλειν ὁ Σωτὴρ τοῖς αὐτοῦ μαθηταῖς παρακελευσάμενος, «ἀπολωλότα πρόβατα οἴκου Ἰσραὴλ αὐτοὺς ὠνόμασε.[1]»

«Ὃς γὰρ ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται.[2]»

Διαλαλήσας τὰ εἰρημένα περὶ τοῦ δεῖν καὶ αὐτοὺς μιμητὰς αὐτοῦ γενέσθαι, καὶ μὴ φεύγειν τὸν θάνατον, ἀφειδεῖν δὲ καὶ τῆς ἑαυτῶν ψυχῆς τε καὶ ζωῆς ἕνεκεν τῆς εἰς αὐτὸν ἐλπίδος, ἐπισυνάπτει εὐκαίρως τὰ περὶ τῆς δευτέρας αὐτοῦ θεοφανείας παραδιδοὺς αὐτοῖς μυστήρια. Σφόδρα δὲ ἀκολούθως καὶ ἀναγκαίως ταῦτα ἔλεγε τοῖς μέλλουσιν ὑπὲρ αὐτοῦ διὰ βασάνων χωρεῖν, καὶ μέχρι θανάτου ἀγωνίζεσθαι, τίς ἔσται ὁ καρπὸς τοῦ τοσούτου ἀγῶνος παριστὰς αὐτοῖς. Ἔδει γὰρ τοὺς μέλλοντας ἕπεσθαι αὐτῷ καὶ ὀπίσω αὐτοῦ ἀπιέναι, τόν τε ἴδιον σταυρὸν ἀναλαμβάνειν κατὰ τὴν αὐτοῦ μίμησιν, γνῶναι ἀκριβῶς τί ποτέ ἐστιν οὗτος ὑπὲρ οὗ τὰ τοσαῦτα μέλλουσι πάσχειν. Εὐκαίρως δὲ Υἱὸν ἀνθρώπου ἐν τούτοις τὸν ἐρχόμενον ὠνόμασεν, εἰς ὑπόμνησιν τῆς παρὰ τοῦ Δανιὴλ προφητείας, ἥτις ἔλεγε· «Καὶ ἰδοὺ Υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν ἐπὶ τῶν νεφελῶν· καὶ ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν ἔφθασε. Καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία.[3]» Ἀλλ ὅτε μὲν ὁ Πέτρος Χριστὸν αὐτὸν εἶναι ὡμολόγησε, καὶ Υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος, ἀπὸ τότε ἤρξατο δεικνύναι αὐτοῖς, ὅτι δεῖ αὐτὸν πολλὰ παθεῖν καὶ ἀποκτανθῆναι· ὅτι δὲ αὐτὸς καταφρονητικῶς ἔχειν τοῦ θανάτου παρεκελεύετο, ἐδίδαξε δέ, ὅτι δεῖ αὐτὸν πολλὰ παθεῖν, τότε κατὰ καιρὸν τοὺς περὶ τῆς δευτέρας αὐτοῦ καὶ ἐνδόξου παρουσίας λόγους παρεδίδου· ὡς ἂν εἰδέναι ἔχοιεν, τίς ποτε ἦν ὁ μέλλων τοσαῦτα πάσχειν ὑπὸ Ἰουδαίων, καὶ τίς ἔσται αὐτοῖς ὁ καρπὸς τοῦ ὑπὲρ αὐτοῦ ἀγῶνος. — Καὶ δὴ ταῦτα τοῖς μαθηταῖς διαλεχθείς, καὶ τὸ μέγα καὶ λανθάνον μυστήριον τῆς δευτέρας αὐτοῦ θεοφανείας ἐξειπὼν αὐτοῖς, ἵνα μὴ λόγοις μόνον καὶ ψιλαῖς φράσεσι δοκῇ ἐμπιστεύειν, ἀναγκαίως ἐπὶ τὰ ἔργα ἐχώρει, αὐτοῖς ὀφθαλμοῖς δεικνὺς αὐτοῖς τὴν εἰκόνα τῆς θεϊκῆς αὐτοῦ βασιλείας. Διόπερ εἰπών, ὅτι ἐπαισχυνθήσεται τὸν ἐπαισχυνθέντα αὐτόν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρός, ἑξῆς ἐπισυνάπτει φάσκων· «Λέγω δὲ ὑμῖν ἀληθῶς, εἰσί τινες τῶν ὧδε ἑστώτων», κ.τ.λ.

«Παραλαβὼν τὸν Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον.[4]»

Καὶ ἐν μὲν τῇ μεταμορφώσει τρεῖς μόνοι τὴν δυνάμει ὀφθεῖσαν αὐτοῖς βασιλείαν τῶν οὐρανῶν θεάσασθαι ἠξιώθησαν· ἐν δὲ τῇ

1. Ματθ. 10, 6. 2. Λουκ. 9, 26. 3. Δαν. 7, 14. 4. Λουκ. 9, 28.

συντελείᾳ τοῦ αἰῶνος, ἐπειδὰν μετὰ τῆς δόξης τῆς πατρικῆς ὁ Κύριος ἀφίκηται, οὐκέτι Μωϋσῆς μόνον καὶ Ἠλίας δορυφορήσουσιν αὐτόν, οὐδὲ τρεῖς μόνοι τῶν μαθητῶν αὐτῷ συνέσονται, ἀλλὰ πάντες προφῆται καὶ πατριάρχαι καὶ δίκαιοι· καὶ οὐκ εἰς ὄρος ὑψηλόν, ἀλλ' εἰς τὸν οὐρανὸν ἀνάξει τοὺς ἀξίους τῆς αὐτοῦ θεότητος. Τότε δὲ λάμψει ἡ θεότης αὐτοῦ οὐχ ὡς ὁ ἥλιος, ἀλλ' ὑπὲρ πᾶν ἐπινοούμενον ἔν τε αἰσθητοῖς καὶ ἐν νοητοῖς γεννητὸν φῶς· ἐπείπερ ἐστὶν αὐτὸς τὸ φῶς τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· ὅτε καὶ δείξει αὐτοῦ τὸ πρόσωπον· οὐ γὰρ ὡς πάλαι τῷ Μωϋσεῖ ποτε ἔλεγεν, ὅτι «Τὰ ὀπίσω μου ὄψει, τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι[1]», οὕτω καὶ τότε ποιήσει· ἀλλ' οὕτως ἑαυτὸν παρέξει τοῖς ἁγίοις, ὡς δύνασθαι πάντας λέγειν· «Ἡμεῖς δέ, ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν.[2]» Καὶ τότε οὐ νεφέλη βοήσει, οὐδὲ διὰ νεφέλης ὁ Πατὴρ μαρτυρήσει τῷ Υἱῷ, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ δίχα παντὸς ἐπισκιάσματος, καὶ δίχα παντὸς ἑρμηνέως, αὐτῷ τῷ ἔργῳ τὸν μονογενῆ αὐτοῦ Υἱὸν ἐπὶ πάντων τῶν ἁγίων αὐτοῦ δοξάσει, σύνθρονον αὐτὸν ἑαυτῷ καὶ συμβασιλέα ἀποδείξας, καὶ ὑπεράνω πάσης ἀρχῆς καταστήσας αὐτόν· οὔτε οὐκέτι ὥσπερ τότε οἱ τρεῖς μαθηταὶ μόνοι ἐπὶ τοῦ ὄρους ἀκούσαντες τῆς φωνῆς ἐπὶ πρόσωπον ἔπεσον, καὶ ἐφοβήθησαν, ἀλλὰ καὶ «πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων.[3]»

«Φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης λέγουσα[4]», κ.τ.λ.

Φωνὴ πατρικὴ διὰ νεφέλης, οὕτως γὰρ φαίνεται ὁ Θεός, ἐμαρτύρει Χριστῷ τὴν υἱότητα· ἔδει γὰρ μὴ παρὰ Πέτρου μόνου γνωσθῆναι, ὅτι αὐτὸς εἴη ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· μηδ' αὐτὸν μόνον τῷ Πέτρῳ μεμαρτυρηκέναι ὡς παρὰ τοῦ Πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς τὴν περὶ αὐτοῦ γνῶσιν εἰληφὼς εἴη· ἀλλὰ καὶ αὐτὴν τὴν πατρικὴν φωνὴν ἐπισφραγίσασθαι τὴν ἀλήθειαν τοῦ λόγου, μαρτυροῦσαν αὐτὸν εἶναι Υἱὸν τοῦ Θεοῦ, δεῖν τε ἀκούειν αὐτοῦ παρακελευομένην.

«Ἐὰν μὲν ᾖ ἐκεῖ ὁ υἱὸς εἰρήνης, ἐπαναπαύσεται ἐπ' αὐτὸν ἡ εἰρήνη ὑμῶν.[5]»

Ὁρᾷς ὅπως προεξετάζειν καὶ μὴ πᾶσιν ἀνέδην ἑαυτοὺς ἐκδιδόναι παρῄνει, ἀλλὰ καὶ πρώτους τῆς ἐξ αὐτῶν εὐεργεσίας ἀπάρχεσθαι, καὶ πρώτους διδόναι τῶν αὐτοῖς ὑπαρχόντων; Εἰρήνη δὲ ἦν αὕτη, πρέπουσα Θεοῦ στρατιώταις φωνή, νικητήρια κατ' ἐχθρῶν ἀραμένοις. Δίωξιν γοῦν ἐχθρῶν, καὶ καθαίρεσιν πολεμίων, Θεοῦ τε φιλικὰς διαλλαγὰς τὸ τῆς εἰρήνης ὄνομα τοῖς ἀξίοις προὐξένει. Ταύτην τοιγαροῦν προδανείσαντας τὴν εἰρήνην ταῖς τῶν ὑποδεξαμένων αὐτοὺς

1. Ἐξ. 33, 23. 2. Β' Κορ. 3, 18. 3. Φιλ. 2, 10. 4. Λουκ. 9, 34. 5. Λουκ. 10, 6.

ψυχαῖς, τῆς παρ' αὐτῶν τροφῆς μεταλαμβάνειν· διὸ ἀναγκαίως προδιεστέλλετο μὴ εἰς πάντα παραβάλλειν οἶκον, μηδὲ πάντα ἄνδρα τῆς ὑποδοχῆς αὐτῶν ἄξιον εἶναι κρίνειν· προερωτᾶν δὲ εἴ τις εἴη τῶν κατὰ τὴν πόλιν ἢ τὴν χώραν ἀγαθαῖς πράξεσι καὶ βίῳ σεμνῷ μεμαρτυρημένος, ὡς τοὺς βασιλικοὺς στρατιώτας δύνασθαι ξενίοις ἀρετῆς ὑποδέξασθαι. Ἐπειδὰν δέ τις εὑρεθείη τοιοῦτος, εἰσιόντας ὑπὸ τὴν τούτου στέγην, προαποτίθεσθαι τὰ οἰκεῖα τῆς στρατείας ὅπλα· ταῦτα δ' ἦν τὰ τῆς εἰρήνης σύμβολα· διὸ καὶ αὐτὸν τὸν ὑποδοχέα, καὶ πάντα τὸν οἶκον αὐτοῦ εἰρηνικῶν ἀσπασμῶν καταξιοῦν· εἶτ' αὐτοῦ μένειν, καὶ μὴ μεθίστασθαι, μηδ' οἴκους ἐξ οἴκων ἀμείβειν. Τοῦτο γὰρ εἶναι σημεῖον ἀπηκριβωμένης ἐξετάσεως· τὸ γὰρ εὐχερὲς καὶ ἄκριτον, οὐ στερρὸν οὐδὲ βεβαίου τρόπου. Διὸ παρῄνει μὴ πρῶτον καταμένειν, ἔπειτα ἐρωτᾶν καὶ πυνθάνεσθαι, εἶτ' ἐνυβρίσαντας τῷ ξένῳ μεταβαίνειν ἐφ' ἕτερον. Κἂν οὗτος ἀνάξιος τῆς ὑποδοχῆς εὑρεθῇ, πάλιν ἐνθένδε μετανίστασθαι, ἔχθραν ἑκούσιον ἐπισπωμένους, μετὰ καὶ τοῦ τὴν αὐτῶν εἰρήνην εἰς ἀναξίους ῥίπτειν. Ἀλλ' ἀκριβῶς πρότερον τὸν ἄξιον πολυπραγμονεῖν· ἔπειθ' οὕτω παρελθόντας, τῶν τῆς εἰρήνης ἀγαθῶν μεταδιδόναι, καὶ παρέχειν ἀφθόνως τῷ μεμαρτυρημένῳ οὐ μόνον, ἀλλὰ καὶ παντὶ τῷ οἴκῳ δι' αὐτόν. Εἰ δ', εὑρεθέντος ἀξίου τινὸς καὶ ὑποδεξαμένου τὸν τῆς βασιλείας στρατιώτην, συμβαίη ποτὲ οἷα πολλάκις ἐν ἀνδρὸς οἴκῳ θεοσεβοῦς εἴωθε γίνεσθαι, γονέας ἢ ἀδελφοὺς ἢ ἑτέρους τῷ γένει προσήκοντας ἐναντιοῦσθαι καὶ πολεμεῖν, οὐ μόνον τὸν ἐπεζωσμένον, ἀλλὰ καὶ τὸ τῇ ὑποδοχῇ τετιμηκότα, ἀναγκαίως καὶ τούτων ὁ Σωτὴρ οὐ παρῆλθε τὴν μνήμην, ἀλλ' ἐπιλέγει τοῖς προτεταγμένοις· κἂν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν ἐφ' ὑμᾶς ἐπιστρεψάτω. Ὑμεῖς μὲν γάρ, φησί, τοῦ μεμαρτυρημένου χάριν, τοῦ καὶ τῆς ἐπιβάσεως τῆς ὑμετέρας ἀξίου, μὴ μόνον αὐτὸν ταῖς τῆς εἰρήνης εὐλογίαις, ἀλλὰ καὶ πάντα τὸν οἶκον, δηλαδὴ τοὺς αὐτοῦ οἰκείους καὶ συγγενεῖς, εἰρήνης ἀσπασμοῖς εὐαγγελίζεσθε, καὶ τὰ παρ' ὑμῶν ἀφθόνως καὶ πλουσίως ἁπλούσθω εἰς γονέας καὶ ἀδελφοὺς καὶ συγγενεῖς πάντα τε τὸν οἶκον τοῦ ὑποδεδεγμένου. Εἰ μὲν οὖν εὑρεθεῖεν καὶ οὗτοι τῆς ὑμετέρας εὐλογίας ἄξιοι, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπὶ πάντας ὡς ἐπὶ υἱοὺς εἰρήνης· εἰ δ' ἐχθροὶ καὶ πολέμιοι τῆς ὑμετέρας ὀφθεῖεν εἰρήνης, καὶ οὐδαμῶς αὐτῆς ἄξιοι, ἄραντες, φησί, τὰ ὑμέτερα ἀγαθά, τῶν ἀναξίων ὑποχωρεῖτε, καὶ ἡ εἰρήνη ὑμῶν ἐφ' ὑμᾶς ἐπιστρεψάτω, τῆς ἐξ ὑμῶν εὐλογίας ἐφ' ὑμᾶς πάλιν μεταβαινούσης, ὅτι δὴ τὰ παρ' ὑμῶν πεπληρώκατε.

«Καὶ εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε καὶ δέχωνται ὑμᾶς[1]», κ.τ.λ.

Ἐν τούτοις γε πάλιν κηρύττειν τοῦ Θεοῦ τὴν βασιλείαν, καὶ ἠγγικέναι λέγειν αὐτὴν παρεκελεύετο· οὐκ ἀργὸν οὐδ' ἀναπόδεικτον ποι-

1. Λουκ. 10, 18.

ουμένους τὸν λόγον, τὰ γνωρίσματα δὲ παρέχοντας τοῦ κηρύγματος, διὰ τοῦ θεραπεύειν τοὺς παρ' αὐτοῖς ἀσθενεῖς, καὶ οὐδὲν πλέον τῆς ἐφημέρου τροφῆς ἀποφέρεσθαι· ὃ δὴ παρίστη λέγων· Ἐσθίετε τὰ παρατιθέμενα ὑμῖν, καὶ θεραπεύετε τοὺς ἐν αὐτοῖς ἀσθενεῖς. Ἐπειδὴ δ' ἀντέπιπτεν, εἰ οὖν μὴ εὑρεθείη τις ἄξιος τῆς δηλωθείσης ὑποδοχῆς, τί χρὴ πράττειν αὐτούς; ἀκολούθως καὶ περὶ τούτων ἐπάκουσον οἷα διδάσκει λέγων ἑξῆς· «Εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε, καὶ μὴ δέχωνται ὑμᾶς», κ.τ.λ.

«Ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ τὴν ἑαυτοῦ αὐλὴν[1]», κ.τ.λ.

Ἰσχυρὸν μὲν τὸν κατισχύσαντα τοῦ γένους τῶν ἀνθρώπων διάβολον λέγει· αὐλὴν δὲ αὐτοῦ τὸν περίγειον τῶν θνητῶν τόπον· ὑπάρχοντα δὲ πάντ' ἐκεῖνα ἃ δὴ ἐπιδείξας τῷ Σωτῆρί ποτε ἔλεγεν· «Ταῦτά σοι πάντα δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι[2]», ὅτε ἐν τῷ ὑψηλῷ ὄρει ἔδειξεν αὐτῷ τὰς βασιλείας τοῦ κόσμου καὶ τὴν δόξαν αὐτοῦ. Ἀλλὰ πάλαι μὲν ταῦτα αὐτοῦ τὰ ὑπάρχοντα ἐν εἰρήνῃ ἦν, μηδενὸς αὐτοῦ ἀφαιρουμένου· ὅτε γε μὴν ὁ ἰσχυρότερος αὐτοῦ ἐπελθὼν καταπαλαίσας τε αὐτὸν δεσμοῖς περιέβαλε, τότε καὶ τὴν πανοπλίαν αὐτοῦ ἀφείλετο, ἐφ' ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα αὐτοῦ ἁρπάσας διέδωκε. Πανοπλίαν δὲ αὐτοῦ τὴν τῶν δαιμόνων πολύθεον πλάνην ᾐνίξατο. Ὅπλα γὰρ διαβόλου οἱ πανταχοῦ γῆς ἱδρυμένοι δαίμονες συνεργοῦντες αὐτοῦ τῇ κατὰ τῶν ἀνθρώπων τυραννίδι· σκῦλα δὲ ἦσαν αἱ τῶν ἀνθρώπων ψυχαὶ ὑπὸ τῆς διαβολικῆς πανοπλίας αἰχμάλωτοι ἀπηγμέναι. Ἀλλὰ τὸν μὲν δεινὸν ἐκεῖνον τύραννον ὁ Χριστὸς δεσμοῖς περιβαλών, πᾶσαν αὐτοῦ διεσκέδασε τὴν πανοπλίαν, τοὺς δαίμονας δηλαδὴ καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα, τάς δυνάμεις τε τὰς ἀντικειμένας· τὰ δὲ σκῦλα αὐτοῦ, τὰ πάλαι δεδουλωμένα τῇ τυραννίδι αὐτοῦ, ἔθνη φημὶ πάντα μεταστησάμενα τῆς παλαιᾶς δουλείας, διαδέδωκεν οἰκείοις ἡγεμόσι καὶ ἄρχουσι τοῖς ὑπ' αὐτὸν στρατιώταις τῆς τῶν οὐρανῶν βασιλείας, ἀποστόλοις δηλαδὴ καὶ τοῖς τούτων διαδόχοις. Περὶ ὧν σκύλων θαυμαστῶς προανεφωνεῖτο ἐν προφητείᾳ φασκούσῃ· «Ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ Ἀγαπητοῦ, τῇ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα.[3]» Τεκμήρια δὲ ταῦτα ἐναργῆ τῆς τοῦ Θεοῦ βασιλείας καθαιρούσης καὶ ταπεινούσης πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν, καὶ πᾶσαν τὴν πολύθεον καὶ δαιμονικὴν τυραννίδα, τῶν δ' ἐπὶ γῆς ἀνθρώπων ἐπικρατεῖν ἀρχομένης. Διό φησι Σωτήρ· «Εἰ δ' ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.»

«Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγάς», κ.τ.λ.

Οὕτω δῆτα φρονήματος αὐτοὺς ἐπλήρου καὶ θάρσους διὰ τοῦ μεθέξειν αὐτοὺς θείου Πνεύματος ἐπαγγέλλεσθαι· δι' αὐτοῦ γὰρ καὶ

1. Λουκ. 11, 21. 2. Ματθ. 4, 9. 3. Ψαλμ. 67, 13.

δυναμοῦσθαι εἰκὸς ἦν αὐτούς. Καὶ πῶς γὰρ οὐκ ἔμελλον παραστήματος καὶ θάρσους καὶ προθυμίας ἐμπίμπλασθαι ἀγαθῆς; πῶς δὲ μὴ θαρσαλέως χωρεῖν ἐφ' ἡγεμονικὰ καὶ βασιλικὰ δικαστήρια, οἱ προμεμαθηκότες, ὅτι μὴ αὐτοὶ εἶεν οἱ μέλλοντες πεφροντισμένως τοῖς ἄρχουσιν ἀπολογεῖσθαι, ἄλλη δέ τις ἐν αὐτοῖς ἔνθεος δύναμις, δι' ἧς καὶ ἡγεμόσιν ἔμελλον ἀκαταπλήκτως ὁμιλεῖν καὶ αὐτοῖς βασιλεῦσι; Καὶ ταῦτα δὲ λέγοντι τῷ διδασκάλῳ ἀκόλουθον ἦν τοὺς μαθητὰς ἀδιστάκτως πιστεύειν, κατὰ μηδένα τε τρόπον ἀμφιβόλως ἔχειν, προειληφότας τῶν λόγων τὴν πεῖραν διὰ τῶν ἔμπροσθεν ἐπηγγελμένων, ὧν τὴν πίστιν αὐτοῖς ἔργοις παρειλήφεισαν. Οἱ γοῦν ἀσθενοῦντας λόγου δυνάμει θείου ῥωννύντες, νόσον τε τὴν ἀνίατον ἐν ἀνθρώποις λέπραν καὶ τὰ λοιπὰ πάθη τῶν σωμάτων ἀποκαθαίρειν οἷοί τε, δαίμονάς τε λυμαντικοὺς ἀνθρώπων ἐλαύνειν οὐ διά τινος περιέργου μαγγανείας, διὰ δὲ μόνης τῆς ὑπ' αὐτοῦ χορηγηθείσης αὐτοῖς ἐνθέου χάριτος, πῶς οὐκ ἔμελλον καὶ τοῖς δευτέροις τοῖς περὶ τοῦ μηδὲν μεριμνᾶν μέλλοντας δικαστηρίοις παρεστάναι, ἡγεμόσι τε καὶ βασιλεῦσιν ὁμιλεῖν πιστεύειν; Πῶς δ' οὐκ ἔμελλον ἐπιθαρσεῖν τῇ ἐπαγγελίᾳ τοῦ δοθησομένου αὐτοῖς Πνεύματος.

«Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε[1]», κ.τ.λ.

Καὶ ταῦτα τοῦ Κυρίου ἡμᾶς ἐπιθαρσύνοντος, μὴ χρῆναι περὶ τροφῆς μηδ' ἕνεκεν τῶν τοῦ σώματος χρειῶν μεριμνᾶν, καὶ οὐκ ἀλογίστως προτρέποντος, σὺν παραστάσει δὲ λογικῇ παραμυθουμένου τὴν διδασκαλίαν· παρῄνει γὰρ λέγων· «Μὴ μεριμνήσητε τί φάγητε ἢ τί ἐνδύσεσθε. Οὐχὶ ἡ ψυχὴ πλείων ἐστὶ τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος;[2]» Καὶ πρῶτος μὲν οὗτος συλλογισμός, συνάγων, ὅτι μὴ δέοι τινὰ περὶ ἑαυτοῦ μεριμνᾶν. Εἰ γὰρ τροφῆς, τῆς ἀπὸ γῆς φυομένης, μείζων καὶ κρείττων, καὶ τιμιωτέρα τυγχάνει ἡ ἀνθρώπου ψυχή, λογικὴ οὖσα καὶ νοερὰ οὐσία, ταύτην δὲ μὴ οὖσαν εἰς τὸ εἶναι παρήγαγεν ὁ Θεός, καὶ ταύτης ἡμῖν μηδὲν μεριμνήσασι μετέδωκε, ἐμψύχους ἡμᾶς καὶ λογικοὺς ἀπεργασάμενος, τί χρὴ φροντίζειν περὶ τοῦ χείρονος, ὅπερ ἐστὶν ἡ τροφή; Ὁ γὰρ τὸ κρεῖττον δεδωκὼς οὐκ ἀδυνατήσει καὶ τὸ χρειῶδες αὐτοῦ παρασχεῖν. Καὶ ἐπὶ τῆς τοῦ σώματος περιβολῆς ὁ αὐτὸς λόγος. Εἰ γὰρ ἀνωμολόγηται τὸ τοῦ ζῴου σῶμα ἀπαραθέτῳ συγκρίσει κρεῖττον εἶναι τοῦ ἔξωθεν αὐτῷ περικειμένου ἐνδύματος, τὸ δ' ὅλον σῶμα ζωῆς μετέχον καὶ ψυχῆς ὁ Δημιουργὸς αὐτὸς συνεστήσατο· τί χρὴ ἀγωνιᾶν μὴ ἄρα ἀδυνατήσῃ τὸ χεῖρον παρασχεῖν, τοῦτο δ' ἦν τὸ ἔνδυμα, ὁ τὸ κρεῖττον ὑποστησάμενος; Οὗτος μὲν οὖν πρῶτος ἀποδεικτικὸς συλλογισμός.

Καὶ δευτέρῳ κέχρηται παραδείγματι λέγων· «Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσι, καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. Οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν;[3]» Εἰ γὰρ τού-

1. Λουκ. 12, 22. 2. Ματθ. 6, 25. 3. Ματθ. 6, 26.

τοις, ὧν μὴ πατὴρ τυγχάνει, ταῦτα δ' ἦν τὰ πετεινά, τῆς αὐτάρκους τροφῆς προὐνόησεν ὁ τῶν ἁπάντων κηδεμὼν καὶ προνοητὴς Θεός, ὑμῶν τῶν κατ' εἰκόνα τὴν αὐτοῦ πεποιημένων, διὰ τὴν ἐν ὑμῖν νοερὰν καὶ λογικὴν οὐσίαν πατὴρ τυγχάνων, πῶς οὐ πᾶσαν ποιήσεται τῆς ζωῆς φροντίδα; καὶ θρέψει γε ὑμᾶς ἀμερίμνως, οἷα πατὴρ υἱοῖς ἐξ ἑτοίμου παρέχων τὰ πρὸς τὴν χρείαν μᾶλλον ἢ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, οἷς ἀκοπιάτως ἄσπαρτα καὶ ἀνήροτα τὰ πρὸς τροφὴν πορίζεται, τοῦ ὑμετέρου Πατρὸς ὁμοῦ καὶ ζωὴν αὐτοῖς καὶ τροφὴν δωρουμένου. Σφόδρα δ' ἀκριβῶς ἐπὶ προτροπῇ τῶν αὐτοῦ μαθητῶν οὐχ ἁπλῷ παραδείγματι τῷ τῶν ἀλόγων ἐχρήσατο ζῴων· οὐκ οὖν ἑρπετῶν οὐδὲ κτηνῶν οὐδὲ μὴν ἰχθύων ἐμνημόνευσεν, ἀλλ' οὐδ' ὀρνέων ἁπλῶς εἶπεν, ἐπειδὴ καὶ τούτων τὰ μὲν σαρκοφαγεῖ, τὰ δὲ γῆν σιτεῖται, τὰ δ' ἀλληλοφαγεῖ. Διὸ τῶν νεκροβόρων καὶ σαρκοβόρων ἀφορίσας τὰ σπερμοφάγα τῶν πετεινῶν, καὶ ταῦτα δηλώσας διὰ τοῦ φάναι· «Οὐ σπείρουσιν οὐδὲ θερίζουσιν οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά·[1]» τούτων τε αὐτῶν ἐμφήνας τὰ ὑψηλοπετῆ διὰ τοῦ προσειπεῖν αὐτὰ οὐρανοῦ πετεινά, τοὺς αὐτοῦ μαθητὰς ἐπὶ τὴν ὁμοίωσιν τῆς τούτων τροφῆς παρώρμα· ὁμοῦ καὶ ἐπὶ τὴν ἀπόδειξιν τῆς πάντων ἐφόρου προνοίας παραπέμπων αὐτούς, ὡς ἂν τεκμαίρεσθαι δυναμένους ἐκ τοῦ παραδείγματος, ὅτι πολὺ μᾶλλον αὐτῶν ἢ τῶν πετεινῶν τοῦ οὐρανοῦ τῆς τροφῆς φροντιεῖ ὁ οὐράνιος αὐτῶν Πατήρ. Πατέρα δὲ καλῶν οὐράνιον, δόγμα μέγιστον ἐξεπαίδευεν. Ὄντος γὰρ Πατρὸς σωμάτων τοῦ τὴν σάρκα σπείραντος ἑκάστῳ, ὄντος δὲ καὶ Πατρὸς οὐρανίου τοῦ τὴν λογικὴν καὶ νοερὰν δύναμιν ἐν ἡμῖν ὑποστησαμένου, τί χρὴ μεριμνᾶν; Οὐχὶ ἀκριβῶς πεπεῖσθαι, ὅτι πολὺ πρότερον ἡμῶν ὁ κατὰ φύσιν καὶ κρείττων πατὴρ προνοήσεται ἢ τῶν πετεινῶν τοῦ οὐρανοῦ, ἃ διὰ τὴν αὐτοῦ πρόνοιαν μέχρι καὶ αὐτῶν ἐκτεινομένην, τοσαύτης ἐξ ἑτοίμου τροφῆς εὐπορεῖ, ὡς εὐτραφῆ καὶ ἰσχυρὰ καὶ ἐρρωμένα τυγχάνειν; Κατὰ δὲ τὸν Λουκᾶν λέγων ὁ Κύριος· «Κατανοήσατε τοὺς κόρακας[2]», πλεῖόν τι ἐμφαίνει. Τοῖς μὲν γὰρ σπερμολόγοις τῶν πτηνῶν ἑτοιμοτέρα ἐστὶ τροφή, τοῖς δὲ σαρκοβόροις, ὥσπερ οἱ κόρακες, δυσχερεστέρα· ἀλλ' ὅμως οὐδὲ τὰ τοιαῦτα τροφῆς ἀπορεῖ διὰ τὴν πανταχοῦ ἐκτεταμένην Πρόνοιαν. Καὶ τρίτῳ συλλογισμῷ εἰς τὸ αὐτὸ ἐχρῆτο λέγων· «Τίς δ' ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; Εἰ οὖν οὔτ' ἐλάχιστον δύνασθε, περὶ τῶν λοιπῶν τί μεριμνᾶτε;[3]» Ἀλλ' εἰ μηδεὶς οἰκείᾳ φροντίδι πώποτε προσθήκην ἑαυτῷ τοῦ σώματος ἐπενόησεν, ἀλλ' οὐδὲ τῇ προθεσμίᾳ τοῦ τῆς ζωῆς χρόνου, μεριμνήσας τις οἷός τ' ἂν εἴη πρὸς τῇ τελευτῇ τοῦ βίου γενόμενος, ἡμέρας μιᾶς διάστημα ἢ καιρὸν βραχύτατον ὥρας ἑαυτῷ περινοῆσαι· τί χρὴ περιττῶς μεριμνᾶν, δέον ἐπιτρέψαντας τῷ Θεῷ τὴν

1. Ματθ. 6, 26. 2. Λουκ. 12, 24. 3. Ματθ. 6, 27.

αὐτοῦ βουλὴν περιμένειν; Βουληθέντος γὰρ αὐτοῦ αὔξειν ἡμᾶς, αὔξομεν, μηδὲν μεριμνήσαντες· καὶ βουληθέντος ἡμᾶς ζῆν καὶ μακροβίους εἶναι, ζησόμεθα καὶ πολυετεῖς γενησόμεθα, μηδὲν μεριμνήσαντες· μὴ βουλομένου δὲ αὐτοῦ παραμένειν τινὰ τῶν βίων, ματαία πᾶσα φροντὶς ἀνθρώπου.

Καὶ ταῦτα μὲν περὶ τροφῆς διετάττετο· ὡσαύτως δὲ καὶ περὶ ἐνδύματος παρῄνει λέγων· «Κατανοήσατε τὰ κρίνα πῶς αὐξάνει», κ.τ.λ. Πάλιν κἀνταῦθα μετὰ συλλογισμοῦ συνάγει, πείθων προσδοκᾶν πάντως ἔνδυμα παρὰ τοῦ Θεοῦ αὐτοῖς δοθήσεσθαι· εἰ γάρ τίς ἐστι φιλότιμος παρ' ἀνθρώποις ἐσθῆτι πολυτελεῖ καὶ φιλοκαλίᾳ, θεάσασθε, φησί, τοῖς ὀφθαλμοῖς, ὡς ὁ τοῦ παντὸς ποιητὴς Θεός, μέχρι καὶ τῶν γῆς φυομένων ἀνθέων τὴν πολυποίκιλον αὐτοῦ σοφίαν ἐκτείνας, παντοίοις χρώμασί τε καὶ κοσμήμασι κατεκόσμησε ταῦτα, μετασχηματίσας μὲν τὴν γῆν, καὶ τὴν κόνιν αὐτὴν τὴν ἄψυχον, τό τε ταύτης μεταβαλὼν εἶδος, ἁλουργίδος τε καὶ χρυσοῦ πολὺ κρείττοσι βάμμασιν, ἐν ὑμέσι λεπτοῖς καὶ εὐανθέσι τὸν ἐξ αὐτοῦ κόσμον ἐν αὐτῇ καταθέμενος· ὡς μηδενὸς τρυφηλοῦ βασιλέως, μηδ' αὐτοῦ Σολομῶνος τοῦ παρὰ τοῖς παλαιοῖς ἐπὶ σοφίᾳ καὶ πλούτῳ καὶ τρυφῇ βοηθέντος τοσαύτην εὑρεθῆναι φιλόκαλον τέχνην, ὡς ἑνὶ τῶν ἀπὸ γῆς ὡραίων ἀνθέων ὁμοιότατον περίβλημα στήσασθαι. Τί οὖν χρὴ θαυμάζειν, εἰ ὁ τὸν χόρτον τοῦ ἀγροῦ τὸν εἰς οὐδὲν χρήσιμον, οὗ τέλος ἡ διὰ πυρὸς φθορά, τοῦτον ἀμφιέσας τὸν τρόπον, καὶ ὑμῖν αὐτοῖς ἐνδυμάτων αἰσθητῶν ἐπὶ τοῦ παρόντος βίου προνοήσει; — Οὕτως οὖν ἁπάντων ὀλιγωρεῖν, μόνης δὲ τῆς βασιλείας μεταποιεῖσθαι προσέτταττε· μὴ γὰρ ζητοῦσι τὴν βασιλείαν μηδ' ἀρετῆς πρόνοιαν ποιουμένοις οὐδὲν τῶν ἐπηγγελμένων ἔσται· μόνοις δὲ ταῦτ' ἐξ ἑτοίμου παρέσεσθαι τοῖς μεριμνῶσι τὰ τοῦ Θεοῦ, ὅπως ἂν ἀρέσαιεν αὐτῷ, καὶ τοῖς περὶ τὴν ζήτησιν τῶν κρειττόνων ἠσχολημένοις· μεριμνῶσι γὰρ τὰ τῷ Θεῷ φίλα, ἀντιμεριμνήσειν τὸν Θεόν.

«Ὅπου γὰρ ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται.[1]»

Φυσικῶς γὰρ πᾶς ἄνθρωπος περὶ ὃ σπουδάζει διάκειται, κἀκεῖ πάντα τὸν νοῦν ἔχει ἔνθα κεκτῆσθαι τὴν ὠφέλειαν νενόμικε· διὸ τοῦτο καὶ τὸν λογισμὸν ἐπάγει τοῦ μὴ δεῖν ἐπὶ γῆς θησαυρίζειν. Εἰ μὲν γάρ τις, φησίν, ἐν τῷ θνητῷ βίῳ τὰς κτήσεις καὶ πᾶσαν ὕπαρξιν συνείληχεν, ἀναρτήσας αὐτοῦ τὴν πᾶσαν ἐλπίδα ἐπὶ τὰ παρόντα τοῦ βίου πράγματα, ἐξ ἀνάγκης οἷα δὴ δεσμοῖς τοσούτοις πεπεδημένοις, πάντα τὸν αὐτοῦ λογισμὸν καὶ πᾶσαν τὴν διάνοιαν, ἣν δὴ καρδίαν ὠνόμασε, κάτω που πρὸς τῇ γῇ κέκτηται, κἀκεῖ φύρεται καὶ καλινδεῖται, ἔνθα κεκτῆσθαι τὸν αὐτοῦ θησαυρὸν νενόμικεν· εἰ δὲ τοῖς οὐρανίοις μαθήμασιν ἐντραφεὶς πάντα πράττοι, τὸν αὐτοῦ σκοπὸν ἄνω προσαναρτήσας, καὶ τὴν ἐλπίδα ῥίψας ἐπὶ τὰς οὐρανίους ἐπαγγελίας,

---

1. Λουκ. 12, 34.

τοῦ μὲν συνάγειν ἐπὶ γῆς οὐδεμίαν ποιούμενος φροντίδα, τὴν ἄκραν δὲ μετιὼν ἀκτημοσύνην, καὶ ὅλος γινόμενος πρὸς τοῖς κρείττοσιν, ἐν οὐρανῷ τε πάντα συνάγειν, κἀκεῖ τὸν αὐτοῦ πλοῦτον ταμιεύεσθαι, καὶ πᾶσαν τὴν ὕπαρξιν ἐκεῖ προπέμπειν σπουδάζων· εἰκότως ὁ τοιοῦτος ὄνοιτ' ἂν ἐντεῦθεν τῆς ἀγαθῆς ἐλπίδος, τῷ τὴν διάνοιαν καὶ τὸν λογισμὸν οἰκειοῦν ἑαυτοῦ τοῖς οὐρανίοις· ἔνθα γὰρ ἔχει τὸν θησαυρόν, ἐκεῖ καὶ τὴν διάνοιαν ἕξει· ὡς δοκεῖν μὲν ἐπὶ γῆς παρεπιδημεῖν, καὶ τῷ σώματι μόνῳ συνεῖναι ἀνθρώποις, τῇ δὲ δυνάμει τὰς οὐρανίους ἤδη διατριβὰς μετιέναι· ὥστε ἄνω βλέπειν δεῖ, καὶ τὰς ἐλπίδας ἔχειν, ὅπου καὶ τὸν θησαυρὸν αὐτοῦ συναγήοχεν.

«Καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων.[1]»

Ἐν ἑτέροις ἤδη ἐδίδαξε περὶ τῶν γάμων εἰπών· «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ.[2]» Ὡς οὖν ἤδη τῶν γάμων γεγενημένων, καὶ τοῦ συμποσίου τελεσθέντος, ἐπάνεισιν ὁ κύριος ἐπὶ τοὺς ἐγρηγορότας δούλους, οἵ, ἐπειδὰν ἀφίκηται αὐτὸς ὁ νυμφίος τὴν παράληψιν τῆς νύμφης ποιησόμενος, κρούσαντι αὐτῷ τὴν τῆς ψυχῆς θύραν, ἑτοιμότατα ὑπακούσουσι καὶ ἀνοίξουσι, διὰ παντὸς ἐγρηγορότες, καὶ τὴν αὐτοῦ παρουσίαν ἐκδεχόμενοι. Ἐπιλέγει γοῦν· «Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν εὑρήσει γρηγοροῦντας.[3]» Καὶ πῶς γὰρ οὐ μακάριοι οἱ τοσαύτης μέλλοντες ἀξιωθήσεσθαι τιμῆς; Ἐπόμνυται γοῦν αὐτοῖς φάσκων· «Ἀμὴν λέγω ὑμῖν, ὅτι περιζώσεται καὶ ἀνακλινεῖ αὐτούς, καὶ παρελθὼν διακονήσει αὐτοῖς.[4]» Νυκτὶ δὲ παραβάλλων τὸν ἀνθρώπινον βίον, ὡς ἀληθῶς σκότους καὶ ἀγνοίας οἰκεῖον, διαφόροις φυλακαῖς, τουτέστιν ὥραις καὶ καιροῖς τῆς νυκτός, τὸν τῆς ἀνθρωπίνης ζωῆς παρεικάζει χρόνον· ἐν ᾧ τοὺς διὰ παντὸς ἐγρηγορότας διὰ τὸ ἄδηλον τῆς ἑκάστου τελευτῆς μακαρίους ἀποφαίνει· ταύτης δὲ τῆς προτροπῆς τίς ἂν γένοιτ' ἀνωτέρα, ἢ τὸν δεσπότην ἐπήγγελται αὐτὸν τοῖς δούλοις διακονήσειν, τοὺς δὲ δούλους ἀνακλιθήσεσθαι ἐν τῇ βασιλείᾳ αὐτοῦ, τουτέστι διαναπαύσεθαι; Προϊὼν δ' αὖθις τὴν αὐτὴν ἐπισφραγίζεται ἐπαγγελίαν τοῖς μαθηταῖς λέγων· «Ἐγὼ δ' ἐν μέσῳ ὑμῶν εἰμι ὡς ὁ διακονῶν. Ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου· κἀγὼ διατίθεμαι ὑμῖν, καθ' ἃ διέθετό μοι ὁ Πατήρ μου, βασιλείαν· ἵν' ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου.[5]» Τοιαύτης τεύξονται μακαριότητος οἱ δοῦλοι, οὓς ἐλθὼν ὁ Κύριος εὑρήσει γρηγοροῦντας· κατὰ γὰρ τὸν θνητὸν τοῦτον βίον, ἅτε παῖδες ἔτι ὄντες καὶ νήπιοι, καὶ μήπω τοῦ νυμφῶνος ἠξιωμένοι, ἐπ' ἀλλοδαπῆς δ' οἰκοῦντες, ἅτε ξένοι τῶν ἐνταῦθα, καὶ παρεπίδημοι, καὶ ὑπὸ παιδαγωγοῖς καὶ ἐπιτρόποις ἀνατρεφό-

1. Λουκ. 12, 36. 2. Ματθ. 12, 2. 3. Λουκ. 12, 37. 4. Λουκ. 12, 37. 5. Λουκ. 22, 27-30.

μενοι, οὐκ εἶχον πάντοτε τὸν νυμφίον μεθ' ἑαυτῶν. Διὸ καὶ ἐνήστευον, καθὼς εἶπεν ὅτι ἀρθήσεται ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν.[1] Ἀλλ' ἐπὶ τέλει αὐξήσαντας αὐτοὺς καὶ τελειωθέντας παραλήψεσθαι ἐπαγγέλλεται, καὶ εἰς τὸν αὐτοῦ συνεισάξειν νυμφῶνα· ὅτε καὶ ἀνακλίνας αὐτούς, διακονήσει αὐτοῖς· οἱ δέ, συνόντες αὐτῷ ἀεί, οὐκέτι νηστεύσουσιν, ἀλλὰ διαπαυσάμενοι τῶν καμάτων, τῆς οὐρανίου τρυφῆς ἀπολαύσουσιν.

«Εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται.[2]»

Διὰ πλειόνων νήφειν καὶ ἐγρηγορέναι ἡμῖν παρακελεύεται, οὐ μόνον διὰ τὴν ἀθρόαν καὶ ἀπροσδόκητον ἄφιξιν τῆς ἡμέρας Κυρίου, ἀλλὰ καὶ διὰ τὸν κλέπτην τὸν τοῖς κατὰ Θεὸν πλουσίοις καὶ οἰκοδεσπόταις ἐφεδρεύοντα. Οὗτος δέ ἐστιν ὁ καιρὸς τῆς ἑκάστου τελευτῆς, ἢ καὶ ὁ μέλλων τὴν ἑκάστου ψυχὴν παραλαμβάνειν ἄγγελος κατὰ καιρὸν τοῦ θανάτου. Εἰ μὲν οὖν ᾔδειμεν τὸν καιρὸν τῆς τοῦ κλέπτου παρουσίας, τὴν ὥραν ἐχρῆν ἐκείνην μόνην ἐπιτηρεῖν, πρὸς τὸ μὴ ἀφιέναι διορυγῆναι ἡμῶν τὸν οἶκον· ἐπεὶ δὲ ἄδηλός ἐστιν οὗτος, δεήσει ἀεὶ ἐγρηγορέναι· οὐ γὰρ ἴσμεν ὁποίᾳ φυλακῇ ἐπιθήσεται. Διὸ γρηγορητέον διὰ παντός, καὶ πάσῃ φυλακῇ τηρητέον τὴν καρδίαν κατὰ τὸν παροιμιαστήν[3], καὶ ἀγρυπνητέον διὰ πάσης τῆς τοῦ θνητοῦ βίου νυκτός, ὅπως ἄσυλοι διαμένωμεν, μὴ ἐῶντες διορυγῆναι ἡμῶν τοὺς τῆς ψυχῆς θησαυρούς· οὕτω γὰρ ἔσται ἡμῖν εὖ κατ' ἀμφότερα, ὅτι τε σώαν ἐφυλάξαμεν τὴν ἑαυτῶν ὕπαρξιν, καὶ ὅτι τὸν Κύριον ἡμῶν ἐπιστάντα καὶ κρούσαντα τῆς ψυχῆς ἡμῶν τὴν θύραν, ἑτοίμως ὑπεδεξάμεθα, πολλῷ τῷ φωτὶ παρεσκευασμένοι, καὶ τὰς ὀσφύας ἐζωσμένοι.

«Εἶπε δ' ὁ Κύριος· Τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος καὶ φρόνιμος;[4]»

Πρὸς τὴν ἐρώτησιν Πέτρου ἀποκρίνεται διδάσκων ἀορίστως πρὸς πάντα εἰρῆσθαι τὰ λελεγμένα. Ἀλλ' ἐκεῖνα μὲν εἴρηται περὶ τοῦ διὰ παντὸς ἐγρηγορέναι ἕνεκεν τῆς τοῦ κλέπτου φυλακῆς καὶ τῆς αὐτοῦ παρουσίας· τί δὲ χρὴ πράττειν γρηγοροῦντας, νῦν ἀναγκαίως προστίθησι, παραινῶν μὴ τὸ ἑαυτῶν μόνον σκοπεῖν, ἀλλὰ καὶ τῆς ἑτέρων σωτηρίας φροντίζειν. Τὸ μὲν γὰρ ἀνεζῶσθαι τὰς ὀσφύας, καὶ τὸν λύχνον ἀνῆφθαι, τὴν αὐτοῦ τινος εἰς ἑαυτὸν ὠφέλειαν ἐδήλου· γνώσεώς τε γὰρ φωτὶ διὰ παντὸς καταυγάζεσθαι ἀναγκαῖον, σωφροσύνῃ τε καὶ πάσῃ ἀρετῇ τοῦ λογισμοῦ τὴν ὀσφὺν περιεζῶσθαι, ἐγρηγορέναι τε διὰ παντὸς καὶ τὸν κλέπτην διαφυλάττειν, μὴ λαθὼν διορύξειε τὸ τῆς ψυχῆς ταμεῖον, ἀποσυλήσειέ τε τὰ ἐν αὐτῷ συνηγμένα· ἔτι γε μὴν καὶ τὸν ἑαυτοῦ Κύριον πάντα τὸν τῆς ζωῆς χρόνον ἐκδέχεσθαι. Ἀλλὰ μὴ μέχρι τούτων ἑστάναι· παραθήκην δ' ὥσπερ ὑποδεξαμένους παρὰ τοῦ ἑαυτῶν Δεσπότου τὴν τῶν συνδούλων ἡμῶν

1. Ματθ. 9, 15. 2. Λουκ. 12, 39. 3. Παρμ. 4, 23. 4. Λουκ. 12, 42.

κηδεμονίαν, φυλάττειν τὴν πίστιν προσήκει, οὕτω τε πιστοὺς γενέσθαι καὶ φρονίμους ὡς μήποτε ἀκαίρως, ἀεὶ δὲ τῷ προσήκοντι καιρῷ, τοῖς ἡμετέροις συνδούλοις τὸ σιτηρέσιον διανέμειν, μήτε παρορῶντας καὶ ὑπερτιθεμένους, ὅτε δεῖ, μήτ' οὐ δεομένοις παρέχοντας ἀκαίρως, ἀλλὰ καὶ καιρῷ τῷ προσήκοντι, καὶ μὴ ἀμέτρως τοῦτο ποιεῖν· τοῦτο δὲ πράττειν κατὰ δύο τρόπους, διά τε τῆς λογικωτέρας ὠφελείας τὰς ψυχὰς αὐτῶν βελτιοῦντας ταῖς διὰ τῶν μαθημάτων τροφαῖς, διά τε τῆς τῶν αἰσθητῶν ὑπαρχόντων πρὸς τοὺς ἐνδεεῖς ἐπικουρίας· ταῦτα δὲ διὰ παντὸς ἐνεργεῖν, ἵνα, εἴ ποτε ἀθρόως ἐπιστὰς ὁ Κύριος ἡμῶν τὴν παράληψιν ἡμῶν ποιοῖτο, εὑρεῖν ταῦτα πράττοντας ἡμᾶς, ἐπαγγελίαν τε τῷ καὶ ταῦτα κατορθοῦντι τοῦ προτέρου πολλαπλασίονα δίδωσιν. Ἐπὶ μὲν γὰρ τῷ ἐγρηγορέναι, καὶ τὴν αὐτοῦ διὰ παντὸς περιμένειν παρουσίαν, ἀνακλίνειν ἐπήγγελται καὶ διακονῆσαι αὐτὸς περιζωσάμενος· ἐπὶ δὲ τῇ πιστῇ καὶ ἔμφρονι οἰκονομίᾳ καὶ τῇ κατὰ καιρὸν διανεμήσει τῆς τροφῆς, τρισμακαρίους ἀληθῶς ἀποφαίνων, οὐκ ἐπί τι μέρος, ἀλλ' ἐπὶ πάντων τῶν ὑπαρχόντων καταστήσειν τὸν μακαριζόμενον μετὰ προσθήκης τοῦ ἀμὴν ἐπιστώσατο. Ἔνθεν καὶ ὁ ἱερὸς Ἀπόστολος ὠφελημένος, τοὺς κατὰ Θεὸν τελείους, «κληρονόμους Θεοῦ καὶ συγκληρονόμους Χριστοῦ[1]» ἐκάλει, καὶ ἔλεγεν· «Εἴτε ζωή, εἴτε θάνατος, εἴτ' ἐνεστῶτα, εἴτε μέλλοντα», πάντα ἡμῶν εἶναι.[2] Ὑπάρχοντα δ' αὐτοῦ τὰ ἐν τῇ βασιλείᾳ νοητέον ἀγαθά, ἃ ὀφθαλμὸς οὐκ εἶδεν.

«Ἐὰν δ' εἴπῃ ὁ δοῦλος ἐκεῖνος[3]», κ.τ.λ.

Ὁ μὲν πιστὸς καὶ φρόνιμος τοιούτων τεύξεται· ὁ δ' ἐναντίος τούτῳ ὀργῆς Δεσπότου πειραθήσεται, διχοτομηθεὶς καὶ ἀποτεμνόμενος τοῦ σώματος τῶν ἀγαθῶν δούλων, κλῆρόν τε καὶ μερίδα λαμβάνων μετὰ τῶν ὑποκριτῶν ἢ τῶν ἀπίστων· ὧν τὸ τέλος κλαυθμὸς καὶ βρυγμὸς τῶν ὀδόντων. Ὅσα γὰρ τοῖς ὀδοῦσι κατήσθιε, καὶ ὅσα μεθυσκόμενος ἐπλημμέλει, ταῦτα ἀποκλαύσεται· δίκην τὴν προσήκουσαν διδοὺς τῆς τε κατὰ τῶν συνδούλων παρανομίας, καὶ τῆς ἀκολάστου τρυφῆς, καταφρονήσεώς τε τῆς εἰς τὸν Δεσπότην, ὃν ὡμολόγει μὲν μὴ ἀγνοεῖν, καὶ ᾔδει ὡς ἄρα Κύριον ἔχει, ἀναβάλλεσθαι δὲ αὐτὸν τὴν κρίσιν εἰς μακροὺς χρόνους ὑπολαμβάνων, ἑαυτὸν ἠπάτα.

«Τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ Θεοῦ; ὁμοία ἐστὶ ζύμῃ[4]», κ.τ.λ.

Ζύμην τὴν ἀπὸ τοῦ σπόρου τελεσιουργηθεῖσαν δύναμιν ὁ Σωτὴρ ὀνομάζει, τὸ Πνεῦμα τὸ ἅγιον τοῦτον αἰνιξάμενος τὸν τρόπον. Ὁ γοῦν τῆς οὐρανίου βασιλείας Λόγος, μετὰ τὴν πρώτην ἐν οὐρανοῖς σπορὰν αὐξηθείς, καὶ καρπὸν ἀποδοὺς ἐντελῆ, τοῦ ἁγίου Πνεύματος τὴν ἐπιχορηγίαν τοῖς διὰ τῶν πρώτων ὠφελημένοις παρέχει, ζύμης δίκην φύραμα ζυμούσης. Γυνὴ δὲ ταύτην, ἡ σοφία τοῦ Θεοῦ, εἰς ἀλεύρου σάτα τρία ἐγκρύπτει. Τοῖς γοῦν πορισαμένοις ἐκ πολλῆς

1. Ῥωμ. 8, 17. 2. Α' Κορ. 3, 22. 3. Λουκ. 12, 45. 4. Λουκ. 13, 20.

ἐπιμελείας καὶ τῆς τοῦ σπόρου γεωργίας ἀλεύρου σάτα τρία, δόγματα θεῖα καὶ γνῶσιν τὴν περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, ἡ τοῦ Θεοῦ σοφία τὸ ἅγιον Πνεῦμα χορηγεῖ· ἡ δ' αὐτὴ καθ' ἑτέραν διάνοιαν πάντα τὸν τοῦ Θεοῦ ἄνθρωπον ἐκ σώματος καὶ ψυχῆς καὶ πνεύματος συνεστῶτα, τῇ ἐπιχορηγίᾳ τῆς θείας ἐμπνεύσεως ζυμοῖ, ἐγκρύπτουσα τὴν ἐξ αὐτῆς ὠφέλειαν εἰς ἀλεύρου σάτα τρία τὰ νενοημένα, ἕως οὗ ζυμωθῇ ὅλον. Οὕτω γοῦν τῇ μετοχῇ τῆς οὐρανίου ζύμης ποιηθεὶς καὶ ζυμωθείς, οὐράνιος καὶ πνευματικὸς χρηματίσει ἄνθρωπος, καὶ νέον φύραμα, ὡς ἂν μικρᾶς κράσεως γενομένης, τῶν τριῶν ἀλεύρων ἀποδεδομένων, καὶ τῆς ἐν αὐτοῖς ἐμπνεύσεως. Καὶ δὴ νέος ἄρτος καὶ πνευματικὸς γενόμενοι, κατὰ τὸν Ἀπόστολον, ὅς φησιν, «Εἷς ἄρτος καὶ ἓν σῶμά ἐσμεν οἱ πολλοί[1]», εἰκόνα καὶ ὁμοίωσιν ἀναληψόμεθα τοῦ ζωοποιοῦ τῶν ὅλων ἄρτου, ὅς ἐκ τοῦ οὐρανοῦ καταβέβηκεν, ἑαυτῷ παραπλησίους καὶ ἡμᾶς ἀπεργασάμενος. Εὖ δὲ γυναικὶ ἀφωμοίωσε τὴν σοφίαν τοῦ Θεοῦ ἐν τούτοις· Χριστὸς δέ ἐστιν ἡ τοῦ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία καταλλήλως τῷ τῆς ζύμης ὑποδείγματι. Ὥσπερ γὰρ ἐπὶ τῆς παραβολῆς τοῦ σπόρου γεωργίου πρόσωπον καὶ σπορέως εἰσῆγεν, οὐκ ἂν εὐλόγως ἐν ἐκείνοις μνημονευθείσης γυναικός, οὕτω κἀνταῦθα ἐπὶ ζύμης φυρομένης εἰς ἀλεύρου σάτα τρία οἰκειότατα ἡ παραβολὴ γυναικὶ ἀρτοποιουμένῃ τὸν ἐν ἐκείνοις ὠνομασμένον σπορέα ἀπείκασεν.

Κατὰ μέντοι τὸν Ματθαῖον κεκρυμμένην ζύμην τὴν βασιλείαν τῶν οὐρανῶν προειπών[2], δι' ἧς ἐδήλου τὴν ἐπιχορηγίαν τοῦ ἁγίου Πνεύματος, καὶ τὴν ὠφέλειαν τὴν ἀπὸ τοῦ εὐαγγελικοῦ λόγου, διὰ τῆς ἑξῆς παραβολῆς τὴν αὐτὴν βασιλείαν ἐοικέναι φησὶ θησαυρῷ. Εἴη δ' ἂν θησαυρὸς μέγας ὁ κατὰ τὰς οὐρανίους ἐπαγγελίας τοῖς ἀξίοις τεταμιευμένος[3], ὃν ὁ ὀφθαλμὸς οὐκ εἶδεν, ὃς τοὺς πολλοὺς λανθάνει. Ὁ δὲ τοῦτον νοήσας, ὡς καὶ τὸ κατ' εἰκόνα τοῦ Θεοῦ σῴζων ἐν ἑαυτῷ, χαρᾶς ἔμπλεως γεγονώς, ὡς ἂν τὸ τέλειον τῶν ἀγαθῶν εὑρηκώς, τὰ λοιπὰ πάντα δεύτερα τίθεται, καὶ τοῦτον ἀντιλαμβάνει. Καταλλήλως δὲ θησαυρὸν καὶ ἀγρὸν εἰπών, ἄνθρωπον αὐτῷ συνῆψε τὸν εὑρηκότα· οὕτω δηλώσας τὸν ἐν ἀνθρώπῳ θεοφιλῆ νοῦν. Ἡ μὲν οὖν ῥηθεῖσα αὕτη παραβολὴ διὰ τοῦ θησαυροῦ τοῦ κεκρυμμένου τὰς οὐρανίας ἐπαγγελίας ἐδήλου τὰς ὑπερβεβηκυίας, πολλαὶ γὰρ μοναὶ παρὰ τῷ Πατρί, καὶ τὸν ἐν Θεῷ πλοῦτον, θησαυρὸν ὄντα παντὸς ἀγαθοῦ.

Ἡ δὲ μετὰ ταύτην διὰ τοῦ μαργαρίτου[4] αἰνίττεσθαί μοι δοκεῖ τὸ τιμιώτερον τοῦ δηλωθέντος πλούτου. Εἴη δ' ἂν ἡ θεότης αὐτὴ τοῦ Μονογενοῦς, ἡ πάντων τῶν ἐν τῷ ἀποδοθέντι θησαυρῷ τεταμιευμένων τιμιωτέρα, ἧν ὁ κτησάμενος τῆς ἀνωτάτω μακαριότητος ἠξίωται.

---

1. Α' Κορ. 10, 17. 2. Ματθ. 13, 33. 3. Ματθ. 13, 44. 4. Ματθ. 13, 45.

Μαργαρίτης δὲ ὠνόμασται εἰκότως ὁ σαρκωθεὶς Θεὸς Λόγος· ἐπεὶ καὶ ὁ μαργαρίτης τοιοῦτος, ἐν σαρκὶ μὲν καὶ ἐν ὀστρέῳ καὶ ἐν ὑγροῖς γεννώμενος, τίμιον δέ τι χρῆμα, καὶ πάντων τῶν ἐν ὑγροῖς σωμάτων τιμαλφέστερον· ἔοικε γοῦν εἶναι τῇ φύσει σῶμα ὑγρόν, διαυγές, θεοειδές, φωτὸς καὶ πνεύματος γέμον. Εἴη δ' ἂν καὶ σαρκωθεὶς Λόγος τοιοῦτος, φῶς νοερὸν διὰ θνητοῦ καὶ ὑγροῦ σώματος ἐκλάμψαν. Πολλῶν γε μὴν καὶ ἄλλων μαργαριτῶν ὄντων ἁγίων καὶ θεοφιλῶν, προφητῶν τε καὶ δικαίων ἀνδρῶν, καὶ αὐτῶν ἐν σαρκὶ πεπιλημένων διὰ τὸν ἔνσαρκον τῶν ἀνθρώπων βίον, οὐδεὶς ἕτερος ἢ μόνος εἷς οὗτος ἀληθῶς μονογενὴς καὶ πολυφεγγὴς καὶ πολύτιμος εὕρηται· ὡς καὶ Ἡσαΐαν θεσπίσαι περὶ αὐτοῦ καὶ εἰπεῖν· «Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον πολυτελῆ, ἐκλεκτόν, ἀκρογωνιαῖον, ἔντιμον· καὶ ὁ πιστεύων εἰς αὐτὸν οὐ καταισχυνθήσεται.[1]» Ὁ δὴ οὖν μέλλων τῆς βασιλείας τῶν οὐρανῶν καταξιοῦσθαι προσφυῶς παραβέβληται ἐμπόρῳ ἀνδρὶ φιλοκάλῳ τινὶ καὶ φιλομαθεῖ καὶ ποικίλων δοκιμαστῇ λόγων, ὃς περιιὼν πολλοὺς μὲν ἀνεῦρε μαργαρίτας, παντοίους ἐν ἀνθρώποις ἁγίους· τέλος δὲ τὸν πολύτιμον εὑρών, ὃν ὁ Λόγος παρεστήσατο, πάντων τῶν πρότερον αὐτῷ πεπορισμένων τοῦτον ἀντικατηλλάξατο, ταυτὸν τῷ προτέρῳ πράξας (ὁ πάντα ὅσα εἶχε πωλήσας, καὶ ἀγοράσας τὸν ἀγρὸν ἐκεῖνον). Καὶ τοῦτ' ἂν εἴη τέλος τῆς ἄκρας μακαριότητος, τὸ κατακοσμηθῆναι τῷ πολυτιμήτῳ μαργαρίτῃ, δηλαδὴ τῷ φωτὶ τῆς θεότητος τοῦ μονογενοῦς Λόγου· ἀρχὴ μὲν γὰρ ἦν ὁ σπόρος· εἶτ' ἐπίδοσις τῆς τοῦ σίτου καρποφορίας· καὶ τρίτον ἡ ἀπὸ τῶν ζιζανίων διάκρισις· τέταρτον ἡ ἐπὶ μέγα δένδρον τοῦ σπόρου φυή· πέμπτον ἡ διὰ τοῦ ἁγίου Πνεύματος ζύμωσις· ἕκτον ὁ θησαυρὸς τῶν οὐρανίων ἐπαγγελιῶν· ἕβδομον ἡ αὐτοῦ κτῆσις τοῦ Θεοῦ Λόγου, ἐν ᾧ πᾶς κατακοσμεῖται ὁ τῆς βασιλείας τῶν οὐρανῶν ἄξιος.

Ταῦτα δὲ πρὸ τῶν ἔργων ἀνεφωνεῖτο· προλέγοντος τὰ μέλλοντα ἔσεσθαι τοῦ Σωτῆρος, ἃ δὴ καὶ τέλους οὐκ εἰς μακρὸν ἐτύγχανε, ὥστε μετ' οὐ πολὺν χρόνον ὀφθαλμοῖς ὁρᾶσθαι τῶν ἔργων τὰ ἀποτελέσματα. Καθ' ὅλης οὖν ἐξ ἐκείνου τῆς τῶν ἀνθρώπων οἰκουμένης ἐκ μὲν ἁπάντων τῶν ἐθνῶν τὰ τῆς τοῦ Θεοῦ βασιλείας σύμβολα διὰ τῶν Ἐκκλησιῶν αὐτοῦ ἐθεωρεῖτο, μυρίων ἐν αὐταῖς κατὰ τὸ σωτήριον Εὐαγγέλιον βιούντων, τοῖς τε παλαιοῖς προφήταις καὶ αὐτῷ γε τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ τῷ Ἰακὼβ ὁμοίως θεοσεβεῖν φιλοτιμουμένων· ἐπεὶ κἀκεῖνοι, προλαβόντες τοῖς χρόνοις τοὺς Μωϋσέως νόμους, τῷ κατὰ τὸ Εὐαγγέλιον βίῳ τε καὶ τρόπῳ διέλαμψαν, τῆς μὲν ἐκ πατέρων ἡκούσης εἰς αὐτοὺς πολυθέου πλάνης κατεγνωκότες, τοῦ δ' ἐπὶ πάντων Θεοῦ τὴν γνῶσιν ἀνειληφότες. Διὸ δὴ τῶν ἐθνῶν οἱ πολλοὶ ἀπ' ἀνατολῶν καὶ δυσμῶν ἥξειν εἴρηνται, καὶ ἰσότιμοι γενήσεσθαι τοῖς ἀμφὶ τὸν Ἀβραὰμ μακαρίοις ἀνδράσι διὰ τὴν ἴσην

1. Ἡσ. 28 16.

ἐκείνοις ζωήν· οἱ δ' αὐτῶν ἐκείνων ἀπόγονοί τε καὶ διάδοχοι, υἱοὶ τῆς βασιλείας διὰ τοὺς προπάτορας ὠνομασμένοι· δυνάμει γὰρ καὶ αὐτοῖς μετουσία ἦν ὁμοίως τοῖς προπάτορσι τῆς οὐρανίου βασιλείας· ὅπως ἀπόβλητοι τῶν ἐπαγγελιῶν γεγόνασι, δεῖγμα ἐναργὲς τῆς πόλεως ἡ ἐρημία, τοῦ ἱεροῦ ἡ πολιορκία, καὶ αὐτῶν ἡ εἰς πάντα τὰ ἔθνη διασπορά, καὶ ἡ ὑπὸ τοῖς ἐχθροῖς δουλεία, καὶ ἐπὶ τούτοις ἡ στέρησις τῆς κατὰ τὰ νόμιμα αὐτῶν θρησκείας, τοῦ τε Χριστοῦ ἡ ἀγνωσία, καὶ τῶν εὐαγγελικῶν μαθημάτων ἡ ἀπαλλοτρίωσις· ταῦτα γὰρ ἅπαντα σημεῖα ἐμφανῆ εἴη ἂν τοῦ διαλαβόντος αὐτοὺς σκότους, ᾧ περιπεπτώκασι διὰ τὴν τοῦ σωτηρίου φωτὸς ἐναντίωσιν.

Δι' οὗ δοκεῖ μοι τὸ γνώρισμα τῆς βασιλείας αὐτῆς ὑποφαίνειν, ὅτι δὴ βασιλέως ἐντετυπωμένην εἰκόνα τοῦ δηναρίου τὸ χάραγμα σημαίνει. Ἐπειδὴ τοίνυν πάντας τοὺς ἐπὶ τὸν ἀμπελῶνα καὶ τὸ τῆς θεοσεβείας πολίτευμα παρελθόντας, μιᾶς τε καὶ τῆς αὐτῆς ἐργασίας ἀψαμένους, τῆς αὐτῆς βασιλείας μετασχεῖν ἦν δίκαιον, τούτου χάριν εἰκότως τοῖς πᾶσι τῆς βασιλείας τὸ σύμβολον τὸ δηνάριον ἀποδίδωσιν, ὧν οἱ μὲν ἐν νεότητι ἐκλήθησαν, οἱ δὲ περὶ τὸν μέσον τῆς ἀνθρώπου ζωῆς χρόνον, οἱ δὲ τὸν ἄνδρα τέλειον ἤδη καὶ ὑπερβεβηκότα ἀνειληφότες, οἱ δὲ κατὰ τὸν πρεσβύτην αὐτὸν γηραλέοι λοιπὸν καὶ περὶ δυσμὰς ἔχοντες τοῦ βίου. Εἴποι δ' ἄν τις καὶ ἑτέρως ἐξηγούμενος ἐφαρμόττειν τὰ διὰ τῆς παραβολῆς δηλούμενα τοῖς ἀνέκαθεν ἐκ πρώτης τοῦ βίου στάσεως μέχρι συντελείας καταξιουμένοις τῆς ἐνθέου κλήσεως· ὥσπερ ἅμα πρωῒ κεκλῆσθαι λέγειν ἐπὶ τὴν θεοσεβείας ἐργασίαν τοὺς κατὰ τὴν ἀρχὴν τοῦ βίου πρώτους δικαιωθέντας· δευτέρους δὲ τοὺς ἀμφὶ τὸν Ἐνὼχ καὶ Νῶε· τοὺς περὶ τὴν τρίτην τοὺς ἀμφὶ τὸν Ἀβραάμ· τοὺς δὲ περὶ τὴν ἕκτην τοὺς ἀμφὶ τὸν Μωϋσέα καὶ Ἰησοῦν καὶ κριτάς· τοὺς δὲ περὶ τὴν ἐνάτην τοὺς ἐν τοῖς χρόνοις τῶν προφητῶν· τοὺς δὲ περὶ τὴν ἑνδεκάτην, τοὺς μετὰ τὴν σωτήριον θεοφάνειαν· οὓς δὴ πάντας καταξιωθήσεσθαι ἑνὸς καὶ τοῦ αὐτοῦ μισθοῦ τοῦ κατὰ τὸ δηνάριον δεδηλωμένου, ὅπερ εἰς τὴν τοῦ Θεοῦ βασιλείαν ἀνεφέρετο.

«Οὐ μή με ἴδητε ἕως ἂν ἥξῃ ὅτε εἴπητε· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.[1]»

Αὐτοὶ γὰρ ἐκεῖνοι, οἷς τότε παρὼν παροῦσι διελέγετο, θεώμενοι αὐτὸν μετὰ τῆς ἐνθέου δόξης, καὶ σὺν ἀγγέλων δορυφορίᾳ ἐρχόμενον ἐξ οὐρανῶν, ὁμολογεῖν ἀναγκασθήσονται αὐτὸν εἶναι τὸν εὐλογημένον τὸν ἐρχόμενον ἐν ὀνόματι Κυρίου τοῦ ἑαυτοῦ Πατρός.

«Ἄνθρωπός τι ἐποίησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς.[2]»

Ἀλλοτρία αὕτη ἡ παραβολὴ πρὸς τὴν παρὰ τῷ Ματθαίῳ. Ἐκεῖ μὲν γὰρ βασιλεύς, καὶ γάμοι υἱοῦ βασιλέως, καὶ κλήτορες πολλοί, καὶ οἱ κληθέντες οὐκ ἀπῆλθον, ἀλλὰ καὶ τοὺς δούλους ὕβρισαν καὶ

1. Λουκ. 13, 35. 2. Λουκ. 14, 16.

ἀπέκτειναν, καὶ στράτευμα κινούμενον κατὰ τῶν ἀνῃρηκότων τοὺς δούλους, καὶ ὁ διὰ τὴν ῥυπαρὰν ἐσθῆτα ἐκβαλλόμενος τοῦ γάμου·[1] ὧδε δὲ ἄνθρωπος εἰσάγεται ψιλός, καὶ δεῖπνον ἁπλῶς, καὶ εἷς ἐπὶ τὴν κλῆσιν ἐκπέμπεται, καὶ οἱ κληθέντες παραιτοῦνται μόνον τὴν κλῆσιν, ἀσχολίαν σκηπτόμενοι. Τὸ δὲ κεφαλαιωδέστερον, ὅτι ἐκείνη μὲν ἐν τῷ ἱερῷ λέλεκτο πρὸς τοὺς ἀρχιερεῖς καὶ πρεσβυτέρους τοῦ λαοῦ, αὕτη δ' ἐπὶ τῆς Γαλιλαίας ἐν οἰκίᾳ τινὸς ἄρχοντος Φαρισαίου· τῶν γὰρ συνανακειμένων τις ἀκούσας τό, «Μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι· ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων·[2]» τῆς ἀναστάσεως καὶ τῆς βασιλείας τοῦ Θεοῦ μιᾶς καὶ τῆς αὐτῆς νοουμένης. Πρὸς οὖν τὸν εἰρηκότα, «Μακάριος ὅστις φάγηται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ[3]», τίς ἂν γένοιτο οὗτος ὁ μακάριος διὰ τῆς παραβολῆς ὁ Σωτὴρ παρίστησι λέγων, «Ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα·» πάλιν αὐτὸς ἑαυτὸν ἐν τούτοις ἄνθρωπον ὀνομάζων.

Μέγα δὲ αὐτοῦ δεῖπνον νοήσεις, τέως μὲν ἀπιδὼν εἰς τὸ καθ' ὅλης τῆς οἰκουμένης λογικὸν συμπόσιον τῶν ἱερῶν καὶ θείων τροφῶν τῶν πανταχοῦ γῆς διὰ τῶν θεοπνεύστων ἀναγνωσμάτων πᾶσι τοῖς ἔθνεσι παραδεδομένων· ἐντεῦθεν δὲ μετάβα τῇ διανοίᾳ ἐπὶ τὴν προσδοκωμένην τῶν οὐρανῶν βασιλείαν· καὶ εἰς ἔννοιαν ἐλθὲ τοῦ τότε μεγάλου ὡς ἀληθῶς δείπνου, ἐν ᾧ συναναπαύσονται ἀγγέλοις καὶ ταῖς κατ' οὐρανὸν θείαις δυνάμεσιν αἱ τῶν μακαρίων ψυχαί, ἐν ᾧ τραφήσονται τῷ τῶν ἀγγέλων ἄρτῳ· πληρουμένου κυρίως τότε καὶ θεοπρεπῶς τοῦ φάσκοντος λόγου· «Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος.[4]». Οὐ γὰρ πολυειδὴς ἔσται ἡ τότε τροφή, οὔτε ἡδύσματος οὔτε ὄψων δεομένη, ἄρτῳ δὲ μόνῳ ἀθανατοποιῷ καὶ ζωῆς αἰωνίου παρεκτικῷ τραφήσονται οἱ κατὰ τὸν ἐνεστῶτα βίον θρέψαντες, οὓς ὠνόμασεν ὁ Σωτήρ. Ὁ δὲ ἄρτος πάλιν εἴη ὁ ψυχῶν καὶ ἀγγέλων καὶ τῶν κατ' οὐρανὸν λογικῶν τρόφιμος λόγος· τοῦτο γοῦν αὐτὸς ἐδίδαξεν εἰπών· «Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς·[5]» τοῦ γὰρ ἐν ἀρχῇ πρὸς Θεὸν Θεοῦ Λόγου μεταλήψει πᾶσα ἡ τῶν ἁγίων λογικὴ φύσις ζωοποιεῖται. Ἃ δὴ δοκεῖ μοι ἐκ προτέρων μαθημάτων πεπαιδευμένος ὁ συνανακείμενος τῷ Ἰησοῦ εἰρηκέναι· «Μακάριος ὅστις φάγηται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ![6]» Οὐδὲ γὰρ τῶν τυχόντων τις ἦν ὁ ταύτην ἀφεὶς τὴν φωνήν, ἀλλ' ὡς οἶμαι τῶν σφόδρα μεγάλων καὶ παρὰ τῷ Σωτῆρι τιμῆς ἠξιωμένων. Διὸ καὶ συνανακλίνεται αὐτῷ, καὶ τοῖς αὐτοῦ λόγοις συνετῶς προσεῖχεν, ὡς καὶ τὴν βασιλείαν τῶν οὐρανῶν μὴ ἀγνοεῖν, γνωρίζειν δὲ καὶ τὸν ἄρτον τῆς ζωῆς τὸν θρεπτικὸν τῶν τῆς βασιλείας ἀξίων· τοσαύτην τε ἄγειν παρρησίαν, ὡς ἐπὶ τοῦ Σωτῆρος ἀνακινεῖν δόγματα, καὶ δι' αὐτὸν τὴν πᾶσαν εἰρηκέναι παρα-

---

1. Ματθ. 22, 2. 2. Λουκ. 14, 14. 3. Λουκ. 14, 15. 4. Ψαλμ. 77, 25. 5. Ἰω. 6, 35. 6. Λουκ. 14, 15.

βολὴν Σωτῆρα διδάσκοντα, τίς ἂν γένοιτο οὗτος ὁ ἀληθῶς μακάριος, ὃς φάγηται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

Πολλοὺς μὲν οὖν κεκλῆσθαι λέγει διὰ τῆς παραβολῆς ἐπὶ τὸ μέγα δεῖπνον, καὶ τὸν ἐν τούτῳ δεδωρημένον ἄρτον, μὴ μὴν τοὺς πάντας τῆς χάριτος ἐπιτυγχάνειν· ἀποστερεῖσθαι γὰρ αὐτῆς τῶν κεκλημένων τοὺς περὶ ἕτερον ἠσχολημένους· περισπᾶν γὰρ καὶ ἀφέλκειν τῆς κλήσεως τὰς τοῦ βίου φροντίδας διδάσκει· ταύτας δ' εἶναι διαφόρους· ἢ γὰρ περὶ χρήματα καὶ ἀγροὺς ἀσχολούμενοι ταῦτα τῆς κλήσεως προτετιμήκασιν, ὡς παραιτήσασθαι διὰ ταῦτα τὴν κλῆσιν, ἢ περὶ τὰς τοῦ βίου πραγματείας κατατριβόμενοι, ἢ δεσμῷ γάμου καὶ παίδων ἐμπεπλεγμένοι, ἢ τισιν ἄλλοις τοιούτοις φροντίσασιν ἐνησχολημένοι. Ἀλλὰ περὶ μὲν τούτων ἀπόφασις ἐξενήνεκται λέγουσα· Λέγω ὑμῖν, ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων, καὶ διὰ τὰς βιωτικὰς ἀσχολίας παραιτησαμένων γεύσεταί μου τοῦ δείπνου· ἑτέρους δὲ ἀντ' αὐτῶν ἀπολαύσεσθαι τοῦ μακαρίου δείπνου φησί, τοὺς μὴ τοιούτοις τισὶ προσδεδεμένους, πτωχούς τινας καὶ ἀναπήρους. Τοιοῦτοι δὲ ἦσαν πάλαι εἰδωλολατροῦντες οἱ ἐξ ἐθνῶν ὑπὸ δαιμόνων πονηρῶν τὰς ψυχὰς λελωβημένοι· οὓς ἀκολούθως τῇ ἐπαγγελίᾳ προσδεξάμενος ὁ ἑστιάτωρ, πᾶσαν τὴν νόσον τῶν ψυχῶν αὐτῶν, καὶ μαλακίαν πᾶσαν ἰασάμενος, ἔπειτα τῆς οἰκείας αὐτοῖς μεταδώσει τραπέζης· ὥστ' εἰπεῖν αὐτούς· «Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξ ἐναντίας τῶν θλιβόντων με·[1]» καὶ ἄρτον αὐτοῖς παρέξει καὶ λογικὴν τροφήν· ἐντεῦθεν ἤδη στερεᾶς βρώσεως μεταδιδοὺς αὐτοῖς, καὶ οἴνῳ δὲ αὐτοὺς εὐφρανεῖ λογικῷ· ὥστ' ἂν εἰπεῖν· «Καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον![2]» Ταῦτα δὲ πάντα παρέχει, τοὺς ἀρραβῶνας τῶν οὐρανίων ἀγαθῶν διὰ τῶν κατὰ τὸν παρόντα βίον χαρισμάτων αὐτοῖς δωρούμενος. Δυνατὸν δὲ καὶ καθ' ἑτέραν ἐκδοχὴν εἰπεῖν, ὅτι οἱ πρῶτοι τῆς κλήσεως ἠξιωμένοι, οὗτοι δ' ἦσαν οἱ ἐκ τῆς περιτομῆς, προφάσει τῆς περὶ τὸ κρεῖττον ἀσχολίας τὴν κλῆσιν ὕβρισαν· ὡς γὰρ ἔχοντες ἀγροὺς τὰ παρ' αὐτοῖς ἀναγνώσματα, καὶ ὡς βόας ἀροτῆρας κεκτημένοι τοὺς προφήτας, καὶ ὡς ἂν σοφίᾳ τινὶ οἷα γυναικὶ συμβιοῦντες, τὴν εὐαγγελικὴν ἐξηυτέλισαν χάριν· οἱ δὲ μετ' ἐκείνους ἐκ τῶν ἀλλοφύλων ἐθνῶν κληθέντες, οἱ πρὶν τὰς διανοίας κωφοὶ καὶ τυφλοί, προθύμως ὑπήκουσαν· διὸ καὶ τοῦ μακαρισμοῦ τεύξονται.

Δόξειεν ἄν τις τὴν αὐτὴν εἶναι παραβολὴν τῇ παρὰ τῷ Ματθαίῳ, ἐν ᾗ βασιλεύς ἐστι γάμους ποιῶν τῷ υἱῷ αὐτοῦ, καὶ δούλους ἀποστέλλων καλέσαι τοὺς κεκλημένους. Ὁ δὲ μὴ παρέργως προσέχων τῇ ἀναγνώσει εὕροι ἂν ἐπιστήσας τὸν νοῦν παντάπασιν ἠλλοτριωμένην ταύτην ἐκείνης. Ἡ μὲν γὰρ παρὰ τῷ Ματθαίῳ πρῶτον ἁπάντων τῇ βασιλείᾳ τῶν οὐρανῶν παρέβαλε τὰ λεγόμενα· τοῦτο δ' ἐν-

1. Ψαλμ. 22, 5. 2. Ψαλμ. 22, 5.

ταῦθα οὐ λέλεκται. Κἀκεῖ μὲν ἀφωμοίου τὸν κλήτορα βασιλεῖ, ἐνταῦθα δὲ ψιλὸν ἄνθρωπον εἰσάγει· κἀκεῖ μὲν γάμους τῷ υἱῷ ὁ βασιλεὺς ἐτέλει, ἐνταῦθα δὲ ἁπλῶς δεῖπνον· κἀκεῖ μὲν πολλοὶ ἀποστέλλονται, ἐνταῦθα δὲ εἷς μόνος ἐπὶ τὴν κλῆσιν ἐκπέμπεται· κἀκεῖ οἱ μὲν ἀμελήσαντες οὐκ ἀπήντων, οἱ δὲ λοιποὶ καὶ τοὺς δούλους ὕβρισαν καὶ ἀπέκτειναν· ἐνταῦθα δὲ μόνον σκήπτονται ἀσχολίαν, παραιτούμενοι τὴν κλῆσιν· ἐκεῖ πάλιν ὁ βασιλεὺς στράτευμα κινεῖ κατὰ τῶν ἀνῃρηκότων τοὺς αὐτοῦ δούλους· ἐνταῦθα δὲ ὁ ἄνθρωπος ὀργισθεὶς ἐπὶ τῇ παραιτήσει τῶν κεκλημένων, οὐδὲν μὲν τοιοῦτον ποιεῖ, τῷ δ' ἑαυτοῦ δούλῳ προστάττει πτωχοὺς καὶ ἀναπήρους καὶ τυφλοὺς εἰσαγαγεῖν. Ὁ δὲ ἐπὶ τοὺς γάμους τοῦ υἱοῦ συγκαλῶν βασιλεύς, δούλοις πλείοσιν ὑπηρέταις χρώμενος, οὐ πτωχοὺς καὶ ἀναπήρους, ἀλλ' οὐδὲ τυφλοὺς καὶ χωλοὺς εἰσάγει· ἐπειδὴ μηδ' ἔπρεπεν ἐπικλήσει γάμου βασιλικοῦ τοιούτους παρεῖναι· κληθέντων δὲ πολλῶν, τὸν ἀνάξια γάμου ἐνδεδυμένον ὁ βασιλεὺς τιμωρεῖται. Τὸ δὲ πάντων κεφαλαιωδέστατον, ὅτι ἡ μὲν παρὰ τῷ Ματθαίῳ παραβολὴ ἔνδον ἐν τῷ ἱερῷ λέλεκτο, πρὸς τοὺς ἀρχιερέας καὶ πρεσβυτέρους τοῦ λαοῦ διαλεγομένου τοῦ Σωτῆρος· ἡ δὲ παρὰ τῷ Λουκᾷ ἐπὶ τῆς Γαλιλαίας ἐν οἰκίᾳ τινὸς ἄρχοντος Φαρισαίου ψιλὸν δεῖπνον κατασκευάζει, ἑστιωμένου παρ' αὐτῷ τοῦ Σωτῆρος. Προλέγει γοῦν τῆς προκειμένης παραβολῆς ὁ Λουκᾶς ταῦτα· ὅτι εἰσῆλθεν εἰς οἶκόν τινος Φαρισαίου ἑστιαθῆναι ἐν Σαββάτῳ· οἱ δὲ παρετηροῦντο αὐτόν. Εἶτα διελθών, ὡς ὑδρωπικὸν ἐθεράπευσε, καὶ ὡς ἐδίδαξε μὴ τὰς πρωτοκλισίας ἐν τοῖς δείπνοις μεταδιώκειν, μηδὲ καλεῖν τοὺς ἀντικαλέσοντας, ἀλλὰ τοὺς ἀντιδοῦναι μὴ δυναμένους, ἐπιφέρει, ὅτι ἀκούσας τις τῶν συνανακειμένων ταῦτα εἶπε, «Μακάριος ὅστις φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ![1]» Ὁ δὲ εἶπεν αὐτῷ· «Ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα.» Οὕτω δ' ὁ Λουκᾶς τὴν προτεθεῖσαν παραβολὴν ἀνέγραψεν εἰρῆσθαι ὑπὸ τοῦ Σωτῆρος πρὸς τὸν εἰρηκότα, «Μακάριος ὅστις φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ·» ὥστε ἐξ ἅπαντος ὁμολογεῖν ἑτέραν εἶναι ταύτην παρὰ τὴν πρώτην. Ἐπεὶ δὲ οὐκ ἀλλοτρία τυγχάνει οὐδ' αὕτη τῆς βασιλείας τῶν οὐρανῶν, περὶ ἧς ἡμῖν ὁ πᾶς ἐνέστηκε λόγος, ἴδωμεν τί βούλεται καὶ τὰ διὰ ταύτην δηλούμενα. Τῶν συνανακειμένων τις τῷ Σωτῆρι ἐν τῇ τοῦ Φαρισαίου οἰκίᾳ καὶ συνεστιωμένων, ἐκ τῶν αὐτοῦ λόγων κινηθείς, μακαρίζει τὸν καταξιωθησόμενον φαγεῖν ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. Οἶμαι δ' αὐτὸν τοῦτο εἰρηκέναι διὰ τὸ φάναι τὸν Σωτῆρα τῷ κεκληκότι αὐτόν· Ὅταν ποιῇς ἄριστον, μὴ πλουσίους κάλει, ἀλλὰ πτωχούς, καὶ μακάριος ἔσῃ. Πρὸς τοῦτον οὖν φησιν· «Ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα», καὶ τὰ ἑξῆς.

«Ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες.[2]»

Ἐπὶ τὸ λογικὸν συμπόσιον οὐκ ἀπήντησαν, φιλήδονοι μᾶλλον

1. Λουκ. 14, 15. 2. Λουκ. 14, 18.

όντες ἢ φιλόθεοι, καὶ τῆς ὕλης ἢ τοῦ Θεοῦ· φιληδονίας μὲν γὰρ δεῖγμα γυνή· ἀγρὸς δὲ καὶ ζεύγη τῆς φιλοχρημοσύνης. Πολλοὺς μὲν οὖν κεκλῆσθαί φασι ἐπὶ τὸ μέγα δεῖπνον καὶ τὸ καθ' ὅλης τῆς οἰκουμένης λογικὸν συμπόσιον τῶν ἱερῶν καὶ θείων Γραφῶν, μὴ μὴν τοὺς πάντας τῆς χάριτος ἐπιτυγχάνειν· ἀποστερεῖσθαι γὰρ αὐτῆς τῶν κεκλημένων τοὺς περὶ ἕτερα ἠσχολημένους. Περισπᾶν γὰρ καὶ ἀφέλκειν τῆς κλήσεως τὰς τοῦ βίου φροντίδας διδάσκει· ταύτας δ' εἶναι διαφόρους· ἢ γὰρ περὶ τὰ κτήματα καὶ ἀγροὺς ἀσχολούμενοι, ταῦτα τῆς κλήσεως προτετιμήκασιν, ὡς παραιτήσασθαι τολμῆσαι διὰ ταῦτα τὴν κλῆσιν· ἢ περὶ τὰς τοῦ βίου πραγματείας κατατριβόμενοι· ἢ δεσμῷ γάμων καὶ παίδων ἐμπεπλεγμένοι· ἢ τισιν ἄλλοις τοιούτοις φροντίσμασιν ἠσχολημένοι. Ταῦτα γὰρ καὶ τοιαῦτα ἐπάγειν καὶ περιέλκειν εἴωθε τοὺς διὰ ταῦτα τὴν χάριν παραιτεῖσθαι τολμῶντας, καὶ τὸν κλήτορα, καὶ τὸ τῆς καινῆς διαθήκης συμπόσιον, καὶ τὴν λογικὴν τροφήν· ὧν ἁπάντων ἐστέρησαν ἑαυτούς, κατὰ μὲν τὴν ἀποδοθεῖσαν ἑρμηνείαν, οἱ προτιμήσαντες τῆς οὐρανίου κλήσεως τὰ ἡδέα τοῦ παρόντος βίου, πλοῦτον δηλαδὴ καὶ πραγματείας καὶ γάμον, καὶ διὰ ταῦτα τὴν χάριν παραιτησάμενοι· κατὰ δ' ἑτέραν ἐκδοχὴν οἱ πρῶτοι τῆς κλήσεως ἠξιωμένοι, οὗτοι δ' ἦσαν οἱ ἐκ περιτομῆς, οἳ δὴ προφάσει τῆς περὶ τὸ κρεῖττον ἀσχολίας τὴν κλῆσιν ὕβρισαν. Ὡς γὰρ ἔχοντες ἀγροὺς τὰ παρ' αὐτοῖς ἀμφιλαφῆ ἀναγνώσματα, καὶ ὡς βόας ἀροτῆρας κεκτημένοι τοὺς παρ' αὐτοῖς προφήτας, καὶ ὡς ἂν σοφίᾳ τινὶ οἷα δὴ γυναικὶ συμβιοῦντες, τὴν εὐαγγελικὴν ἐξευτέλισαν χάριν. — Ἐπειδὴ δὲ ἦσαν οὕτω παχεῖς τὴν καρδίαν, ἐξυφαίνει παραβολὴν ἀποχρώντως ἔχουσαν εἰς παράδειξιν τῆς ἐπ' αὐτοῖς ἐσομένης οἰκονομίας· πρὸς γὰρ τὸ «μακάριος ἔσῃ» ἀποβλέπων, καὶ πρὸς τὸ «ἀνταποδοθήσεταί σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων[1]», ὁ συνανακείμενος μακαρίζει τὸν μέλλοντα καταξιοῦσθαι τοῦ ἐν τῇ βασιλείᾳ ἄρτου. Οὗτος δὲ ἦν ὁ κατ' ἀνταπόδοσιν τῆς εἰς τοὺς πτωχοὺς φιλανθρωπίας, ἐν τῇ ἀναστάσει τῶν δικαίων ἀποδοθησόμενος τῷ μακαριζομένῳ, τῆς ἀναστάσεως καὶ τῆς τοῦ Θεοῦ βασιλείας μιᾶς καὶ τῆς αὐτῆς νοουμένης. Πρὸς οὖν τὸν εἰρηκότα, «Μακάριος ὅστις φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ[2]», τίς ἂν γένοιτο οὗτος ὁ μακάριος, διὰ τῆς παραβολῆς ὁ Σωτὴρ παρίστησιν.

Ἐπειδὴ τοίνυν ἐκλήθησαν πολλοὶ εἰς τὸ πάντα ἕτοιμα φέρον δεῖπνον (τῆς γὰρ βασιλείας ἀξίως ὁ οἰκοδεσπότης τὸ τοιοῦτον ποιεῖν δεῖπνον), παρῃτήσαντο δὲ τὴν χάριν, περὶ μὲν τούτων ἀπόφασις ἐξενήνεκται ἡ φήσασα ὅτι· Οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων, καὶ διὰ τὰς βιωτικὰς ἀσχολίας παραιτησαμένων, γεύσεταί μου τοῦ δείπνου· ἑτέρους δ' ἀντὶ τούτων τοὺς μὴ περιπεπλεγμένους ταῖς τοῦ βίου πραγματείαις, καταξιωθήσεσθαί φησι τοῦ μακαρίου

1. Λουκ. 14, 14. 2. Λουκ. 14, 15.

δείπνου, πτωχούς τινας καὶ τυφλοὺς καὶ ἀναπήρους, τοὺς μηδαμῶς παραιτησαμένους τὴν κλῆσιν, διὰ τὸ μήτε ἀγοράζειν, μήτε πιπράσκειν, μήτε γάμῳ σχολάζειν, μήθ' ὑφ' ἑτέρων τινῶν τοιούτων περιέλκεσθαι, προθύμως δὲ καὶ ἑτοίμως καταδέχεσθαι τὴν χάριν· οὓς ὁ καλέσας πρῶτον μὲν ὑγιεῖς καταστήσει, οἷός τε ὢν ῥᾳδίως πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν θεραπεύειν· ἔπειτα, ὧν ἁπάντων ἐστέρησαν ἑαυτοὺς οἱ παραιτησάμενοι, τῆς Ἰουδαίων συναγωγῆς οἱ ἄρχοντες· μεθ' οὓς ἡ πληθὺς ὑπήκουσεν, ὡς πλατείαις πόλεως τῇ κατὰ νόμον πολιτείᾳ ζῶσα. — Τάχα δὲ διὰ τούτων τοὺς ἐξ ἐθνῶν ᾐνίττετο, τῷ αὐτοῦ λόγῳ προσιέναι μέλλοντας. Τοιοῦτοι δὲ ὑπῆρχον οἱ πρὶν εἰδωλολάτραι ὑπὸ δαιμόνων πονηρῶν τὰς ψυχὰς λελωβημένοι· οὓς ἀκολούθως τῇ ἐπαγγελίᾳ ὑποδεξάμενος ὁ ἑστιάτωρ, πρῶτα μὲν σώους καὶ ὑγιεῖς ἀποκαταστήσει, ἀνοίξας τυφλῶν ὀφθαλμούς, πᾶσάν τε νόσον καὶ πᾶσαν μαλακίαν τῶν ψυχῶν αὐτῶν ἰασάμενος· ἔπειτα τὸ πνευματικὸν αὐτοῖς παραθήσει δεῖπνον. Πρῶτοι μὲν οὖν ἐκλήθησαν οἱ ἐκ περιτομῆς, οἳ καὶ τὴν χάριν καθύβρισαν· δεύτεροι δὲ μετ' ἐκείνους οἱ ἐκ τῶν ἀλλοφύλων ἐθνῶν, οἱ πρὶν τὰς διανοίας τυφλοὶ καὶ ἀνάπηροι καὶ χωλοὶ καὶ κωφοί, οἳ καὶ προθύμως ὑπήκουσαν· εἶεν δ' ἂν ἐν πλατείαις μὲν οἱ τὴν εὐρύχωρον τῆς ἀπωλείας ὁδὸν βαδίζοντες, καὶ βιοῦντες ἄνευ διδαχῆς και δογμάτων· ἐν δὲ ῥύμαις, οἱ συστέλλοντες τὴν κακίαν οἵᾳ δήποτε προφάσει· οἱ δὲ λοιποί, οἱ ἐξ ἐσχάτων ἀπὸ τῶν ὁδῶν καὶ φραγμῶν καλούμενοι τρίτοι, αἱ ἐν ᾅδου ψυχαί· πολλαὶ γὰρ ὁδοὶ τῶν ἐξελθόντων τὸν βίον τοῦτον· αἷς ἐκήρυξε μετὰ τὴν ἀπόθεσιν τοῦ σώματος ὁ Σωτήρ· φιλανθρώπως δ' ἀνάγκην προσάγει τοῖς οὐκέτι αὐτεξουσίοις. Τοιοῦτον μὲν δὴ τὸ δεῖπνον, ὅπερ ἐνταῦθα τοῖς δαιτυμόσιν ἡτοίμασται· καὶ τοιοῦτοί τινες οἱ καλούμενοι, οἱ μὲν ἀπειθεῖς, καὶ διὰ τοῦτο ἀπομένοντες ἄγευστοι· οἱ δὲ εὐπειθεῖς, καὶ διὰ τοῦτο προλαμβανόμενοι. Σὺ δέ μοι ἐντεῦθεν μετάβα τῇ διανοίᾳ. Μακάριοι γοῦν οἱ νῦν πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι τότε χορτασθήσονται, τοῦ δείπνου τοῦ βασιλικοῦ ἐμφορούμενοι καὶ μεταλαμβάνοντες τοῦ ἄρτου τῆς ζωῆς, καὶ τῆς εὐφροσύνης τοῦ καινοῦ ποτηρίου. Ὧν τὰ σύμβολα ἐπιτελῶν πρὸ τοῦ πάθους ὁ Σωτήρ, «Οὐ μὴ πίω», ἔφη, «ἀπ' ἄρτι ἐκ τούτου τοῦ γεννήματος τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ Πατρός ἐμοῦ·[1]» πλήρης ἀγαθῶν τράπεζα, ἧς μεταλήψονται οἷς τὴν διαθήκην διέθετο, διὰ τὸ μεμενηκέναι μετ' αὐτοῦ ἐν τοῖς πειρασμοῖς, ἵν' ἐσθίωσι καὶ πίνωσιν ἐπὶ τῆς τραπέζης αὐτοῦ, ἄρτῳ μὲν οὐρανίῳ ψυχῶν ἁγίων θρεπτικῷ τραφησόμενοι, οἴνου δὲ τοῦ καινοῦ γεννήματος τῆς ἀληθινῆς ἀμπέλου μεταληψόμενοι, ἣν αὐτὸς ὁ τῶν ὅλων Θεὸς καὶ Πατὴρ γεωργῶν τὸ καινὸν ἐξ αὐτῆς γέννημα τοῖς τότε ἀξίοις παρέξει.

---

1. Ματθ. 26, 29.

«Ἐὰν δὲ ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου.[1]»

Ἐνταῦθα τοὺς ἐν προκοπῇ γενομένους συγχωρητικοὺς εἶναι τοῖς πταίουσι βούλεται, θεραπεύων δεινὴν νόσον ἐν αὐτοῖς πολλάκις ἐμφυομένην, ἐκκόπτων τὴν κατὰ τῶν πταιόντων ἀποτομήν. Κατεπαίρεσθαι γοῦν εἰώθαμεν, ὡς μήτε παρακλήσεις τῶν ἡμαρτηκότων, μήτε τῶν ὑπὲρ αὐτῶν πρεσβευόντων ἱκετηρίας παραδέχεσθαι· μηδὲ μὴν ὑπολογίζεσθαι ὅσα δὴ καὶ αὐτοὶ οἱ ἄνθρωποι πταίοντες συγγνώμης τῆς παρὰ τοῦ μεγάλου κριτοῦ δεόμεθα. Εἰκότως οὖν παρὰ τῷ Ματθαίῳ καὶ τῇ παραβολῇ κέχρηται, ἐν ᾗ ὀφειλέται εἰσάγονται, ὁ μὲν μυρία τάλαντα ὀφείλων[2], ἃ καὶ ἀφείθη αὐτῷ προσπεσόντι· ὁ δὲ ἑκατὸν δηνάρια, ἐφ' οἷς ἀπεπνίγετο παρὰ τοῦ ἀφεθέντος τὰ πολλὰ ἐκεῖνα τάλαντα. Δι' ἧς διδάσκει, ὅτι μὴ ἄλλως τυχεῖν δυνατόν ἐστι τῆς βασιλείας, κἂν πολλά τις κατορθώσῃ, μὴ τὸν ἀγαθὸν Θεὸν μιμησάμενος κατὰ τὸ ἀμνησίκακον· ἐπειδήπερ ἡ βασιλεία, κρίσει τοὺς ἀξίους παραδεχομένη, τοὺς μὴ συγχωρητικοὺς καὶ τὸν ἀγαθὸν τῶν ὅλων κριτὴν κατὰ τοῦτο μιμουμένους οὐ παραδέχεται. Οὐ γὰρ ἂν ἔχει τις εἰπεῖν τοσαῦτά τινα πεπλημμεληκέναι εἰς ἑαυτόν, ὅσα περ αὐτὸς τὸν πάντα χρόνον τῆς αὐτοῦ ζωῆς παρὰ τὸ βούλημα τοῦ Θεοῦ πράξας ὀφειλέτης ἐστί· ποτὲ μὲν γὰρ διὰ τοῦ λόγου πταίομεν, ποτὲ δὲ δι' αἰσχρῶν καὶ πονηρῶν ἐπιθυμημάτων τε καὶ πράξεων. Πλὴν ὅμως τοσαῦτα πταίοντες, οὐκ ἀπογινώσκομεν τὰς παρὰ τῷ Θεῷ ἐλπίδας, διὰ τὸ φιλάνθρωπον καὶ ἀνεξίκακον ἐλεημονικόν τε καὶ συγχωρητικὸν τοῦ Θεοῦ. Οὐκοῦν ἕπεται τῷ αὐτῷ μέτρῳ, καὶ ἡμᾶς μετρεῖν τοῖς εἰς ἡμᾶς ἁμαρτάνουσι· μηδὲ κατὰ τὸν Πέτρον ἀκριβολογεῖσθαι τῇ φιλανθρωπίᾳ, καὶ μέχρις ἑβδόμου ἀριθμοῦ τοῖς εἰς ἡμᾶς ἡμαρτηκόσι συγχωρεῖν· κατὰ δὲ τὸν συμπαθῆ καὶ ἐλεήμονα Σωτῆρα μέχρι τοῦ ἑβδομηκοντάκις ἑπτά· οὐ πάντως τὰ τοσαῦτα περιεργαζομένους ἁμαρτήματα, καὶ ὥσπερ ἀναγραφὴν αὐτῶν ποιουμένους καθ' ἑκάστην ἡμέραν, ἐκ δὲ τούτου τὸ ἀπεριόριστον διδασκομένους. Πυθομένου γὰρ τοῦ Πέτρου ἐπὶ πόσοις τοῖς εἰς ἡμᾶς ἁμαρτανομένοις συγχωρεῖν δέοι[3], καὶ ἀριθμὸν ὁρίσαντος τὸν ἕως ἑπτάκις, ὁ Σωτὴρ τὸν ἕως ἑβδομηκοντάκις ἑπτὰ εἰσήγαγε, καθ' ὃν δεῖ καὶ ἡμᾶς ἀφιέναι, εἰδότας καὶ πεπεισμένους, ὡς ἔσται καιρὸς καθ' ὃν συναρθήσεται πρὸς ἡμᾶς λόγος ὑπὸ τοῦ πάντων κριτοῦ τε καὶ βασιλέως, ἐπειδὰν οἱ πάντες παραστῶμεν τῷ βήματι αὐτοῦ, ὅτε ᾧ μέτρῳ μετροῦμεν, ἀντιμετρηθήσεται ἡμῖν. Ὁ μὲν γὰρ μέγας βασιλεὺς ἐντεῦθεν ἤδη πᾶσιν ἡμῖν τοῖς χρεωφειλέταις πολλῶν ταλάντων κατὰ τὸ πρέπον αὐτοῦ τῇ φιλανθρωπίᾳ τὸ πᾶν ἀνῆκε χρέος, δοὺς ἄφεσιν ἁμαρτημάτων καὶ ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον· ἡμεῖς δ' ἐπὶ βραχέσι πταίσμασι τοὺς συνδούλους ἀποπνίγομεν, καὶ παρακαλούμενοι οὐ συγχωροῦμεν τὰ εἰς ἡμᾶς ἐπταισμένα, μὴ ἐπιμετροῦντες τὰ ἴσα οἷς παρὰ Θεοῦ

1. Λουκ. 17, 3. 2. Ματθ. 18, 24. 3. Ματθ. 18, 21.

τετυχήκαμεν τοῖς ἡμετέροις οἰκέταις. Εὐλόγως οὖν ἀγανάκτησις καθ' ἡμῶν ἐξενεχθήσεται· καὶ ὁ τὴν πᾶσαν ἡμῖν ὀφειλὴν ἀφεὶς Δεσπότης οὐκέτ' ἀφήσει ἡμῖν· ἀλλ' ᾧ μέτρῳ μεμετρήκαμεν ἀσυμπαθεῖ καὶ ἀνελεεῖ καὶ ἀποτόμῳ, ἐπιμετρήσει ἡμῖν· καὶ τὸν ἐξ ἡμῶν κατὰ τῶν ἡμετέρων συνδούλων ὅρον καθ' ἡμῶν ἐπαρτήσει. Ἐφεύροι δέ τις ἑαυτῷ μέθοδον ἀγαθῆς ἀποφάσεως τῆς ἐπὶ τοῦ δικαιωτηρίου ἐξενεχθησομένης, εἰ προλαβὼν γένοιτο φιλάνθρωπος καὶ τῶν εἰς αὐτὸν ἁμαρτανομένων συγχωρητικός.

«Καὶ ἐροῦσιν ὑμῖν· Ἰδοὺ ὧδε, ἢ ἰδοὺ ἐκεῖ.[1]»

Ταῦτα κατὰ μὲν τὸν Ματθαῖον ἐλέγετο περὶ τῆς ἐρημώσεως Ἱερουσαλήμ· διὸ καὶ προσέκειτο· «Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη· [2]» ἐνταῦθα δὲ περὶ τῶν καιρῶν τοῦ Ἀντιχρίστου προλέγει· διὸ οὐ πρόσκειται τοῦτο.

«Πρῶτον δεῖ αὐτὸν πολλὰ παθεῖν.[3]»

Αἰνίττεται δὲ καὶ ἐν τούτοις τήν ποτε γενησομένην ἀποστασίαν εἰπών· Πρῶτον δὲ δεῖ αὐτὸν πολλὰ παθεῖν καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῆς γενεᾶς ταύτης, δηλονότι τῆς τῶν ἀνθρώπων· ἀποβληθῆναι γὰρ καὶ ἀποδοκιμασθῆναι τὸν περὶ αὐτοῦ λόγον, πολλά τε παθεῖν τὸν αὐτοῦ λαόν, ἐθέσπισεν· εἴτε ἐν τοῖς μετὰ ταῦτα διωγμοῖς, καθ' οὓς μυρία πέπονθεν αὐτός τε βλασφημούμενος ὁ Σωτὴρ παρὰ τοῖς ἀνθρώποις, ἥ τε Ἐκκλησία αὐτοῦ καὶ ὁ λόγος ἐλαυνόμενος καὶ πολεμούμενος· εἴτε πρὸς τῷ πάντων τέλει, καθ' ὃ ἀποδοκιμασθήσεται πάμπαν ἀποβληθεὶς ἀπὸ τῆς τῶν ἀνθρώπων γενεᾶς.

«Καὶ καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις τοῦ Νῶε[4]», κ.τ.λ.

Οὕτω τοίνυν, ὡς εἴρηται, ἐκβληθέντος διὰ τὴν ἀποστασίαν τοῦ λόγου τοῦ εὐαγγελικοῦ, κατὰ τὴν ὁμοίωσιν τῶν ἐπὶ τοῦ κατακλυσμοῦ συμβεβηκότων, ὁ κατὰ τῶν ἀσεβῶν ὄλεθρος ἐπιστήσεται, φησί. Ἀλλ' ὡς τότε πάντας μὲν ἀπώλεσεν, οὐ μὴν καὶ τοὺς συνηγμένους ἅμα τῷ Νῶε ἐν τῇ κιβωτῷ, οὕτω καὶ ἐπὶ τῆς αὐτοῦ παρουσίας οἱ μὲν ἀσεβεῖς κατὰ τὸν καιρὸν τῆς ἀποστασίας τρυφαῖς καὶ μέθαις καὶ γάμοις καὶ ταῖς τοῦ βίου ἡδοναῖς κατατριβόμενοι ὁμοίως τοῖς ἐπὶ τοῦ Νῶε κατακλυσθέντες ἀπολοῦνται. Ὑπὲρ δὲ τοῦ μή τινα νομίσαι δι' ὕδατος καὶ τούτους κατακλυσθήσεσθαι, ἀναγκαίως τῷ ἐπὶ τοῦ Λὼτ κέχρηται παραδείγματι, «Καθὼς ἐγένετο», λέγων, «ἐν ταῖς ἡμέραις Λώτ, ἤσθιον, ἔπινον», καὶ τὰ ἑξῆς· «Ἧ δὲ ἡμέρᾳ ἐξῆλθε Λὼτ ἀπὸ Σοδόμων ἔβρεξε πῦρ ἀπ' οὐρανοῦ καὶ ἀπώλεσε πάντας. Κατὰ τὰ αὐτὰ ἔσται ᾗ ἡμέρᾳ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀποκαλύπτεται· [5]» σφόδρα ἀπορρήτως καὶ φοβερῶς διδάσκων ὅτι πυρὶ καὶ θείῳ ἀπ' οὐρανοῦ καταπεμπομένῳ τοὺς ἀσεβεῖς πάντας ἡ ὀργὴ μετελεύσεται· διὸ τοῖς μὲν ἡμέραν ταύτην ἐπιστῆναι εὐχομένοις ἀσεβέσιν ἡ προφητικὴ φωνὴ

1. Λουκ. 17, 23. 2. Ματθ. 24, 16. 3. Λουκ. 17, 25. 4. Λουκ. 17, 26. 5. Λουκ. 17, 28-30.

ἐπανατείνεται λέγουσα· «Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου! Ἵνα τί; Ὑμῖν αὕτη ἔσται σκότος, καὶ οὐ φῶς, ἡμέρα σκότους καὶ γνόφου, ἡμέρα ταλαιπωρίας καὶ ἀφανισμοῦ.[1]» Σφόδρα δὲ ἀκριβῶς καὶ ἐνταῦθα ἐτήρησεν ὁ Σωτὴρ οὐ πρότερον τὸ πῦρ εἰπὼν ἀπ' οὐρανοῦ καὶ τὸ θεῖον κατεληλυθέναι ἐπὶ τοὺς ἐν Σοδόμοις ἀσεβεῖς, ἢ τὸν Λὼτ ἐξελθεῖν, καὶ χωρισθῆναι ἐξ αὐτῶν. Οὕτω καὶ ἐπὶ τοῦ κατακλυσμοῦ οὐ πρότερον ἐπῆλθεν οὗτος καὶ πάντας ἀπώλεσε τοὺς κατὰ γῆν οἰκοῦντας, ἢ τὸν Νῶε εἰσελθεῖν εἰς τὴν κιβωτόν. Κατὰ τὰ αὐτὰ τοίνυν καὶ ἐπὶ τῆς συντελείας οὐ πρότερον ἔσεσθαι τὸν κατακλυσμὸν τῆς ἀπωλείας τῶν ἀσεβῶν φησιν, ἢ συναχθῆναι εἰς τὴν ἐπουράνιον τοῦ Θεοῦ κιβωτόν, καὶ διασωθῆναι τοὺς τότε εὑρεθησομένους τοῦ Θεοῦ ἀνθρώπους, κατὰ τὸ παράδειγμα τὸ ἐπὶ τοῦ Νῶε· οἷς καὶ λεχθήσεται κατὰ καιρὸν τὸ προφητικὸν ἐκεῖνο· «Βάδιζε, λαός, μου, εἴσελθε εἰς τὸ ταμεῖόν σου», καὶ τὰ ἑξῆς, «ἕως οὗ παρέλθοι ἡ ὀργὴ Κυρίου·[2]» ὥσπερ καὶ ἐπὶ τοῦ Λὼτ ἐποίησεν, ἵνα μὴ οἱ δίκαιοι συναπόλωνται τοῖς ἀσεβέσιν· οὕτως καὶ ἐπὶ τῆς συντελείας τοῦ αἰῶνος οὐ πρότερον αὕτη ἔσται, ἢ πάντας τοὺς ἐπὶ γῆς δικαίους καὶ θεοσεβεῖς ἀφορισθῆναι τῶν ἀσεβῶν, καὶ συναχθῆναι εἰς τὴν ἐπουράνιον τοῦ Θεοῦ κιβωτόν· οὕτω γὰρ μηκέτι μηδενὸς δικαίου ἐν ἀνθρώποις εὑρισκομένου, πάντων δὲ ἀθέων ἀσεβῶν τῶν ὑπὸ τοῦ Ἀντιχρίστου γεγονότων, τῆς τε ἀποστασίας καθ' ὅλης τῆς οἰκουμένης κρατησάσης, ἡ τοῦ Θεοῦ ὀργὴ τοὺς ἀσεβεῖς μετελεύσεται.

«Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὃς ἂν ἔσται ἐπὶ τοῦ δώματος[3]», κ.τ.λ.

Σημαίνει δὲ διὰ τούτων τὸν κατὰ τῶν θεοσεβῶν ἐπενεχθησόμενον διωγμὸν ὑπὸ τοῦ υἱοῦ τῆς ἀπωλείας. Ἡμέραν δὲ ἐκείνην ὀνομάζει τὸν χρόνον τὸν πρὸ τῆς συντελείας, ἐν ᾧ φησιν· «Ὁ φεύγων μὴ ἐπιστρεφέτω, μηδὲ μιμητὴς γινέσθω τῆς γυναικὸς Λώτ», ἥτις μετὰ τὸ φυγεῖν καὶ ἔξω γενέσθαι τῆς Σοδομιτῶν χώρας, στραφεῖσα εἰς τὰ ὀπίσω, ἀπενεκρώθη, στήλη ἁλὸς γενομένη. Ἀφειδεῖν γὰρ τότε προσήκει οὐχ ὑπαρχόντων μόνον, ἀλλὰ καὶ τῆς ἑαυτῶν ζωῆς τε καὶ ψυχῆς τοὺς ἐν μέσῳ τῆς ἀποστασίας καταληφθησομένους, μήποτε, βουληθέντες τῆς ἑαυτῶν περιποιήσασθαι προσκαίρου ζωῆς, σὺν ταύτῃ καὶ τὴν αἰώνιον ζωὴν ἀπολέσειαν, τῇ ἀποστασίᾳ ἑαυτοὺς παραδόντες.

«Ταύτῃ τῇ νυκτὶ ἔσονται δύο ἐπὶ κλίνης μιᾶς[4]», κ.τ.λ.

Σφόδρα δὲ θαυμαστῶς τὸν τῆς ἀποστασίας καιρὸν καὶ τὴν στέρησιν τοῦ νοεροῦ λογικοῦ φωτὸς νύκτα ὠνόμασε· νυκτὸς γὰρ καὶ σκότους χείρων ἡ τότε τῶν ἀνθρώπων ἔσται κατάστασις διὰ τὴν ἐπικρατήσασαν αὐτῶν ἄνοιάν τε καὶ πλάνην. Διό φησι· «Λέγω ὑμῖν· Δύο ἔσονται ἐπὶ κλίνης καὶ δύο ἐπὶ μυλῶνος, εἷς παραλαμβανόμενος ὡς ἀλλότριος τῆς ὀργῆς, καὶ εἷς ἐφιέμενος, ὥστε τῇ ὀργῇ παραδο-

---

1. Ἀμ. 5, 18. 2. Ἡσ. 26, 20. 3. Λουκ. 17, 31. 4. Λουκ. 17, 34.

θησόμενος, ὁ θησαυρίσας ἑαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς·» δι' ὧν παρίστησι τὸν χωρισμὸν τῶν ἁγίων καὶ θεοφιλῶν ψυχῶν τὸν ἀπὸ τῶν ἀσεβῶν. Ἵνα γὰρ μὴ ἀδιακρίτως ἐπελθοῦσα ἡ ὀργὴ καὶ τῶν δικαίων παραλήψεται, προλαβὼν ὁ Θεὸς ὥσπερ τὸν Λὼτ προεξήγαγε τῆς Σοδόμων καταστροφῆς. Τὸν αὐτὸν τρόπον καὶ πρὸ τῆς συντελείας, πρὶν ἐπελθεῖν τὴν κατὰ τῶν ἀσεβῶν ὀργήν, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶσιν οἱ δίκαιοι, χωρισμὸς ἔσται τῶν θεοφιλῶν ψυχῶν, ἀγγέλων αὐτὰς διαχωριζόντων καὶ παραληψομένων· ὥστε ἐν μιᾷ στρωμνῇ δυοῖν κατακειμένων ἕνα μὲν τὸν τοῦ Θεοῦ ἄξιον παραλαμβάνεσθαι, τὸν δὲ ἕτερον καταλείπεσθαι, ὡς ἄξιον τῆς τότε καταληψομένης τοὺς ἀσεβεῖς ὀργῆς. Καὶ ἐπὶ τῶν ὑφ' ἑνὶ μυλῶνι ἀληθουσῶν, ὁ αὐτὸς λόγος ἔσται. Ἀληθούσας δὲ ὠνόμασε τὰς τὸν εὐτελῆ καὶ πενιχρὸν καὶ ἔσχατον ἐν ἀνθρώποις διαντλούσας βίον· ἐπὶ κλίνης δὲ τοὺς τὸν ἐλεύθερον καὶ ἄνετον βίον μετερχομένους. Τοῦτο δὲ παραστήσει ἡ Μωϋσέως γραφὴ ἐν ᾗ φησιν ὁ λόγος ἥξειν τὴν ὀργὴν ἀπὸ πρωτοτόκου Φαραώ, καὶ ἕως τῆς ἀληθούσης καὶ πεσούσης ἐν τῷ μυλῶνι. Τὰ γὰρ ἄκρα τῶν κατ' ἀνθρώπους βίων, τοῦ τε ἐνδόξου τοῦ ἀπερριμμένου καὶ ἐσχάτου, διὰ τούτων ὁ λόγος παρέστησεν· οὕτως οὖν καὶ ἐνταῦθα δύο ἐπὶ κλίνης μιᾶς εἰσήγαγε, τοὺς τὴν ἐλευθέραν ζωὴν μετιόντας αἰνιξάμενος· ὁ εἷς παραληφθήσεται, ὁ ἄξιος τῆς ἀπὸ τοῦ Θεοῦ ἐκλογῆς· ὁ δὲ ἕτερος ἀφεθήσεται, δηλονότι ὁ τῆς ὀργῆς οἰκεῖος· ὡσαύτως δύο ἀλήθουσαι εἶεν ἂν αἱ ἐν ἀνθρώποις τὸν ἄτιμον καὶ πενιχρὸν βίον μετιοῦσαι· ὧν πάλιν ἡ κρείττων παραληφθήσεται, ἡ δὲ ἑτέρα ἀφεθήσεται.

«Λέγουσιν αὐτῷ· Ποῦ, Κύριε; Ὁ δὲ εἶπεν αὐτοῖς· Ὅπου τὸ σῶμα, ἐκεῖ συναχθήσονται καὶ οἱ ἀετοί.[1]»

Ἐρωτησάντων τῶν μαθητῶν· «Κύριε, ποῦ;» καὶ βουληθέντων μαθεῖν ποῦ καταλειφθήσεται ὁ ἕτερος τῶν (μὴ) παραληφθέντων· «Ὅπου» φησί, «τὸ σῶμα ἢ τὸ πτῶμα» κατὰ Ματθαῖον, «ἐκεῖ συναχθήσονται καὶ οἱ ἀετοί·[2]» ὥσπερ οἰωνούς τινας νεκροβόρους, τοὺς ἄρχοντας τοῦ αἰῶνος τούτου αἰνιξάμενος, τοὺς τότε διώκοντας τοὺς ἁγίους τοῦ Θεοῦ· ὧν ἐπὶ τὸ αὐτὸ συναχθέντων, ἐκεῖ καὶ παρ' αὐτοῖς συναχθήσεται ὁ ἀνάξιος τῆς παραλήψεως. Ἦν δ' οὗτος τῶν ἐπὶ κλίνης καθευδόντων ὁ ἕτερος· ἢ τῶν ἀληθουσῶν ἡ μία· οἳ καὶ παραδοθήσονται τοῖς ἐπισυναχθεῖσι κατ' αὐτῶν ἀετοῖς. Ἀετοὺς δὲ καὶ τοὺς τῆς Ἱερουσαλὴμ πολιορκητὰς ὁ προφητικὸς λόγος ὠνόμασεν· ὡς ὅτε περὶ τοῦ Ναβουχοδονόσορ λέγει· «Ὁ ἀετὸς ὁ μέγας ὁ μεγαλοπτέρυγος·[3]» μή ποτ' οὖν καθ' ἑτέραν διάνοιαν αἱ τιμωρητικαὶ καὶ κολαστικαὶ δυνάμεις, αἱ τοὺς ἀσεβεῖς μετελευσόμεναι, διὰ τῶν ἐνταῦθα λεγομένων ἀετῶν ἐδηλώθησαν· αἷς ἵνα μὴ παραδοθῶμεν, ἑξῆς ὁ Σωτὴρ παραινεῖ εὐχαῖς σχολάζειν.

---

1. Λουκ. 17, 37. 2. Ματθ. 24, 48. 3. Ἰεζ. 17, 3.

«Κριτής τις ἦν τὸν Θεὸν μὴ φοβούμενος.[1]»

Ἐπισυνάπτει γοῦν καὶ παραβολὴν τὴν περὶ τοῦ κριτοῦ τῆς ἀδικίας, πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι καὶ μὴ ἐκκακεῖν. Τὸ δὲ εἰπεῖν· Ἄρα ἐλθὼν ὁ Υἱὸς τοῦ ἀνθρώπου εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς;[2] ἔκλειψιν δηλοῖ τῆς πίστεως, ὡς μηδένα πιστὸν εὑρεθήσεσθαι, ἢ εἴ που ἄρα σπάνιόν τινα κατὰ τὸν τῆς δευτέρας αὐτοῦ θεοφανείας χρόνον. Ὅπερ μέγα τεκμήριον τυγχάνει τοῦ καιροῦ τῆς ἀποστασίας, ἐν ᾧ σπάνιος ἔσται ὁ εὑρεθησόμενος πιστός· τάχα δὲ οὐδὲ εἷς ἔσται, διὰ τὸ τοὺς μὲν παραληφθήσεσθαι, τοὺς δὲ καταλειφθήσεσθαι τοῖς ἀετοῖς παραδοθησομένους· οὕτω τε ἐξ ἀνθρώπων ἐκλειπούσης τῆς πίστεως, αὐτὸς λοιπὸν ἐπιστήσεται τὴν ἐκδίκησιν ποιησόμενος τῶν ἁγίων αὐτοῦ τῶν ὑπὸ τῶν ἀσεβῶν ἀνῃρημένων. Ἐν τάχει δὲ ποιήσει τὴν ἐκδίκησιν, διὰ τὸ βοᾶν πρὸς αὐτὸν νυκτὸς καὶ ἡμέρας· βοᾶν δὲ πρὸς αὐτὸν ἐδίδαξε διὰ τῆς παραβολῆς τοῦ κριτοῦ τῆς ἀδικίας.

«Ἄνθρωπός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακρὰν λαβεῖν ἑαυτῷ βασιλείαν, καὶ ὑποστρέψαι.[3]»

Τοσαῦτα διὰ τῆς παραβολῆς διδασκόμεθα, τὴν μέλλουσαν αὐτοῦ καὶ μηδέπω παροῦσαν βασιλείαν, κἂν αἰσθητὴν ταύτην τινὲς ἐφαντάζοντο, τὴν ἀπὸ γῆς εἰς οὐρανὸν μετάστασίν τε καὶ ἀνάληψιν, τὴν δευτέραν καὶ ἔνδοξον αὐτοῦ θεοφάνειαν, τὴν κριτικὴν καὶ τοῦ κατ' ἀξίαν ἑκάστῳ διανεμητικὴν ἐξουσίαν, τὴν τῶν οἰκείων αὐτοῦ καὶ πιστῶν θεραπευόντων εὐδοκίμησιν, τὴν τῶν μὴ τοιούτων κατάγνωσιν, τὴν τῶν πολιτῶν τοῦ βασιλέως κατ' αὐτοῦ συσκευήν, τὴν μετελευσομένην αὐτοὺς ἐπαξίως ὧν ἔδρασαν δίκην· ταῦτα γὰρ ὁμοῦ πάντα διὰ τῶν ἐκτεθεισῶν φωνῶν ἐδήλου. Καὶ πρῶτον μὲν ἄνθρωπον αὐτὸς ἑαυτὸν ὠνόμαζε διὰ τὴν κατὰ σάρκα γέννησιν, τὴν κατὰ ἄνθρωπον αὐτῷ συστᾶσαν· ἔπειτα εὐγενῆ, ἀλλ' οὔπω βασιλέα ἑαυτὸν ἐκάλει, διὰ τὸ μηδέπω τῇ βασιλικῇ ἀξίᾳ κατὰ τὴν πρώτην θεοφάνειαν κεχρῆσθαι. Τῆς δ' εὐγενείας αὐτοῦ μάρτυρες οἱ τοῦ γένους καὶ τῆς ἐκ προγόνων διαδοχῆς τὴν ἱστορίαν γραφῇ παραδεδωκότες· ὧν ὁ μέν τις, τὴν κατὰ ἀνθρώπους εὐγένειαν αὐτοῦ παριστάς, ἔνθεν δή ποθεν εὐηγγελίζετο λέγων· «Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαβίδ, υἱοῦ Ἀβραάμ·[4]» εἶθ' ἑξῆς τούτοις τὴν γενεαλογίαν δι' ἐπιδήμων ἀνδρῶν καὶ διὰ βασιλικοῦ γένους ἐπ' αὐτὸν κατάγων ἵστησιν· ὁ δὲ τὴν ἀνωτάτω καὶ πρὸ πάντων αἰώνων ἐκ Θεοῦ γέννησιν αὐτοῦ διδάσκων, τὴν ἀληθῶς πρώτην καὶ μόνην εὐγένειαν παρεδίδου λέγων· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος. Πάντα δι' αὐτοῦ ἐγένετο.[5]»

Ἀλλὰ γὰρ οὗτος ὁ πρὸ πάντων αἰώνων Θεὸς Λόγος, γενόμενος ἄνθρωπος εὐγενής, καὶ τὸν σὺν ἀνθρώποις διεξελθὼν βίον τὸν ἐμφε-

---

1. Λουκ. 18, 2. 2. Λουκ. 18, 8. 3. Λουκ. 19, 12. 4. Ματθ. 1, 1. 5. Ἰω. 1, 1.

ρόμενον ταῖς περὶ αὐτοῦ εὐαγγελικαῖς γραφαῖς, μετὰ τὴν παρὰ ἀνθρώποις αὐτάρκη διατριβήν, ἐπανιὼν πρὸς τὸν ἑαυτοῦ Πατέρα, ἐπορεύθη εἰς χώραν μακρὰν λαβεῖν ἑαυτῷ βασιλείαν καὶ ὑποστρέψαι. Χώραν δὲ μακρὰν τὴν ἀπὸ γῆς εἰς οὐρανὸν ἄνοδον ἐδήλου· λαβεῖν τε τὴν βασιλείαν αὐτὴν ἐκείνην φησίν, ἣν ὁ προφήτης Δανιὴλ ἠνίττετο λέγων· «Καὶ ἰδοὺ Υἱὸς ἀνθρώπου ἐπὶ νεφελῶν ἐρχόμενος ἦν· καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμή, καὶ ἡ βασιλεία.[1]» Εὖ δὲ καὶ τὸ «λαβεῖν» εἴρηται· πάντως γὰρ τοῦ Πατρὸς διδόντος ἐλάμβανε, κατὰ τό· «Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου·[2]» ἃ δὴ δοθέντα αὐτῷ παρὰ τοῦ Παλαιοῦ τῶν ἡμερῶν ὑποδεξάμενος, αὖθις ἐπανήξει. Διό φησι λαβεῖν ἑαυτῷ βασιλείαν καὶ ὑποστρέψαι· καὶ ὅπως δὲ ποιήσεται τὴν ἐπάνοδον, ὁ θεῖος Ἀπόστολος διασαφεῖ λέγων· «Ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπὸ οὐρανοῦ.[3]» Ἡ δὲ ἀποδημία καὶ τὴν μακροθυμίαν δηλοῖ. Ἔδει δὲ αὐτὸν ἀναγκαίως εἰς τὴν δηλωθεῖσαν μακρὰν χώραν στείλασθαι, κἀκεῖ χρόνον διατρίψαι πολλῶν ἕνεκα· ὡς ἂν ἐν τῷ μεταξὺ οἱ αὐτοῦ θεράποντες τῆς ἑαυτῶν ἐργασίας τὴν δοκιμὴν δοῖεν.

«Καλέσας δὲ δέκα δούλους ἑαυτοῦ, ἔδωκεν αὐτοῖς δέκα μνᾶς.[4]»

Ἐσήμαινε τοίνυν διὰ τῶν λαβόντων τὰς μνᾶς τοὺς ἑαυτοῦ μαθητάς, οἷς ἀνὰ μίαν μνᾶν παραδούς, ἴσην τε καὶ ὁμοίαν πᾶσιν ἐγχειρίσας τὴν οἰκονομίαν, πραγματεύσασθαι παρεκελεύσατο, ἕως ἂν ἐπανέλθῃ τῆς μακρᾶς ἀποδημίας. Ἡ δὲ πραγματεία οὐκ ἄλλη τις ἦν ἀλλὰ τὸ κήρυγμα τὸ περὶ τῆς αὐτοῦ βασιλείας εἰς πάντας ἀνθρώπους ὑπὸ τῶν αὐτῶν αὐτοῦ μαθητῶν κατηγγελμένον. Ἀλλ' ἓν μὲν ἦν τοῦτο, ἐπεὶ καὶ μία τῶν πάντων διδασκαλία, καὶ μία πίστις, καὶ ἓν βάπτισμα[5] καὶ ὁ αὐτὸς λόγος· διὸ καὶ μία ἡ μνᾶ, διάφορος δὲ αὐτοῖς ἡ ἐργασία ἐγένετο, καὶ ἡ πραγματεία λαμπρά, ὅ τ' ἐπὶ ταύτῃ πόρος πλούσιος. Καὶ ταῦτα μὲν ἦν ὡς ἕνεκα τὴν μακρὰν πορείαν ὁ εὐγενὴς ἐστέλλετο ἄνθρωπος. Ὅθεν ἐλέγετο αὐτῷ ὑπὸ τοῦ Πατρός· «Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.[6]» Ποίους δέ, εἴ τις πύθοιτο μαθεῖν ἐθέλων, ἐχθρούς, ὁ διὰ τῆς παραβολῆς διδάξει λόγος, συμπολίτας εἰσάγων τοῦ βασιλέως μισοῦντας αὐτὸν καὶ παραιτουμένους αὐτοῦ τὴν ἀρχήν, γυμνῇ τε τῇ κεφαλῇ λέγοντας καὶ ἀχαλίνῳ στόματι· Οὐ θέλομεν τοῦτον βασιλεύειν ἐφ' ἡμᾶς. Ἀλλ' οἱ μέν, καίπερ ὄντες πολῖται, τὸν βασιλέα ἠρνοῦντο, ὁ δὲ ὑπὸ τοῦ Πατρὸς ἀκούει· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν ὑπὸ πόδας τεθῶσιν οἱ ἐχθροί σου· καί· «Κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου.[7]»

Ἐπεὶ δὲ ἔξαρνοι τῆς βασιλείας αὐτοῦ ἐγένοντο οἱ ἐχθροὶ αὐτοῦ πολῖται, εἰκότως πρὸς αὐτοὺς ἔφασκεν· «Ἀρθήσεται ἀφ' ὑμῶν ἡ βα-

1. Δαν. 7, 13. 2. Ψαλμ. 2, 8. 3. Α' Θεσσ. 4, 15-16. 4. Λουκ. 19, 13. 5. Ἐφ. 4, 5. 6. Ψαλμ. 109, 1. 7. Ψαλμ. 109, 2.

σιλεία τοῦ Θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς.[1]» Ποῖον δὲ ἦν τὸ ἔθνος τὸ τῆς βασιλείας ἄξιον, ἐδήλου ὁ εἰπών· «Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου.» Ἐδήλου δὲ πολίτας ἐχθροὺς αὐτοῦ οὐχ ἑτέρους τοῦ Ἰουδαίων ἔθνους, οἳ δή, πρῶτοι τῆς τοῦ Σωτῆρος χάριτος ἠξιωμένοι, τοῖς ἐναντίοις αὐτὸν ἠμύναντο. Διὸ περὶ αὐτῶν προφητικῶς ἔλεγεν· «Ἀνταπεδίδοσάν μοι πονηρά· ἀντὶ ἀγαπᾶν με, ἐνδιέβαλλόν με, καὶ ἐπολέμησαν δωρεάν, καὶ ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσαν·[2]» δι' ὧν προβάλλεσθαι εἰώθασι κατ' αὐτοῦ βλασφήμων λόγων, κατευχόμενοί τε αὐτοῦ, καὶ μόνον οὐκ αὐτοῖς λέγοντες τοῖς ἔργοις· Οὐ θέλομεν τοῦτον βασιλεῦσαι ἐφ' ἡμᾶς. Διὸ δὴ οὐ μόνον τῆς βασιλείας στερηθήσονται, ἀλλὰ καὶ πείσονται τὰ ἐπίχειρα τῆς αὐτῶν δυσσεβείας. Πολίτας δὲ αὐτοὺς διὰ τῆς παραβολῆς ὠνόμαζεν, ἅτε δὴ ἐκ τῆς αὐτῆς ὁρμωμένους αὐτῷ συγγενείας· ἐπεὶ καὶ αὐτὸς ἐκ τῶν αὐτῶν ὡρμᾶτο προπατόρων κατὰ τὴν ἔνσαρκον αὐτοῦ γένεσιν, καὶ ἐπείπερ τῆς νομίμου ὁμοίως αὐτοῖς μετῄει πολιτείας. Ταῦτα μὲν οὖν παραστατικὰ ἂν εἴη τῆς πρώτης αὐτοῦ ἀφίξεως. Ἐπεὶ δὲ ταῦτα ὁ Σωτὴρ τοῦτον ἐδίδαξε τὸν τρόπον, ἀκολούθως τὴν ἐπάνοδον αὐτοῦ τὴν ἔνδοξον καὶ βασιλικὴν παρίστη, μαρτυρόμενος ὁποίαν τότε ποιήσεται τὴν κατὰ πάντων δικαιοκρισίαν· τοῖς μὲν γὰρ εὖ καὶ πιστῶς τὴν μνᾶν πολυπλασιάσασι τὴν πρέπουσαν ἀποδιδοὺς ἀμοιβήν, συνάρχειν αὐτῷ καὶ συμβασιλεύειν ἐπιτρέψει· τῷ δὲ κατ' ὄκνον καὶ ῥαθυμίαν ἠμεληκότι τῆς τοῦ Δεσπότου παρακελεύσεως, ἀργίαν τε καὶ σχολὴν ἠγαπηκότι, μηδὲ βουληθέντι τὸν πόνον ὑπομεῖναι τῆς πραγματείας, πικρὰν ἐπαρτήσει δίκην.

«Ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων.[3]»

Βασιλεῖαι γὰρ αὗται, πρέπουσαι προαγωγαί, ἀρχὰς ἀνθρώπων καὶ ἡγεμονίας τῶν ἀτελεστέρων ἔτι ψυχῶν τοῖς ἐν ὀλίγῳ τὴν δοκιμὴν παρεσχημένοις, ἐπαξίως ὧν ἐπραγματεύσαντο κατὰ τὸν πρῶτον βίον, χαριζόμεναι. Μάθοις δ' ἂν τῶν εἰρημένων δούλων τὸ γνήσιον, καὶ τὸ πιστὸν τῆς πραγματείας ἔργοις αὐτοῖς παραλαβών· ὡς «εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.[4]» Δι' αὐτῶν γὰρ ἐκείνων τῶν τοῦ Σωτῆρος γνωρίμων, καὶ διὰ τῶν μετὰ ταῦτα τὸν ὅμοιον ἐκείνοις ἐπανῃρημένων ζῆλον, ἐξ ἁπάντων τῶν ἐθνῶν ἀφορισθεῖσα τῷ Θεῷ Ἐκκλησία, ἐν ὀλίγῳ χρόνῳ τὴν σύμπασαν οἰκουμένην ἐπλήρου. Καὶ καθ' ἕτερον δὲ τρόπον τὴν ἐργασίαν ποιήσονται οἱ τὸν σωτήριον λόγον τὸν εὐαγγελικὸν πιστευθέντες, δι' ἔργων καὶ πράξεων, βίου τε καὶ πολιτείας θεοπρεποῦς, τὰς τοῦ λόγου διδασκαλίας ἀποπληροῦντες. Ὧν τοὺς μὲν διαφόρως ἐργασαμένους, διαφόροις τιμαῖς ἀμείψεται ὁ δίκαιος κριτής, ἀποδώσων ἑκάστῳ τὴν προσήκουσαν ἐν ἀγαθοῖς ἀμοιβήν·

---

1. Ματθ. 21, 43. 2. Ψαλμ. 108, 2-3. 3. Λουκ. 19, 17. 4. Ψαλμ. 18, 5.

τῷ δ' ἐγκρύψαντι τοὺς λόγους καὶ καταδήσαντι παρ' ἑαυτῷ, μηδέν τε εἰργασμένῳ πονηρῷ δούλῳ καὶ ὀκνηρῷ, τἀπίχειρα τῆς πονηρίας ἐποίσει. — Τὸ ἐπάνω δέκα ἢ πέντε πόλεων ἀρχήν τινα καὶ ἐξουσίαν δηλοῖ δοθησομένην τοῖς ἁγίοις κατὰ ὑποδεεστέρων καὶ τοῦ διευθύνεσθαι ἀξίων.

Ἀλλὰ γὰρ τῶν μὲν αὐτοῦ θεραπόντων τοιαύτην ποιήσεται τὴν διάκρισιν· τῶν δὲ μὴ τῆς αὐτῆς δουλείας κατηξιωμένων, ἄλλως δὲ πολιτῶν αὐτοῦ γεγενημένων, ἐν ἐχθρῶν δὲ καὶ μισούντων αὐτὸν χώρᾳ ἑαυτοὺς καταλεξάντων, πρεσβείαν τε ἀπεσταλκότων ἀπαρνουμένην αὐτοῦ τὴν βασιλείαν, ὁποῖον ἔσται τέλος, παρίστη δι' ὧν ἐπανελθόντα τὸν βασιλέα κατὰ τὴν δευτέραν καὶ βασιλικὴν αὐτοῦ θεοφάνειαν, φοβερὰν ἀπόφασιν ἐξοίσειν κατ' αὐτῶν προὔλεγε τὴν φήσασαν· Πλὴν τοὺς ἐχθρούς μου ἐκείνους, τοὺς μὴ θελήσαντάς με βασιλεῦσαι ἐπ' αὐτούς, ἀγάγετε ὧδε, καὶ κατασφάξατε ἔμπροσθέν μου.

«Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς;[1]»

Αὐτὸς μὲν ἔργα θεϊκῆς δυνάμεως ἐπιτελῶν, τεραστίας καὶ παραδόξους πράξεις ἐνεδείκνυτο, ἐδίδασκέ τε οὐράνια μαθήματα· οἱ δ' ἀποθαυμάζειν δέον, γνωρίζειν τε ἐκ τῶν λόγων καὶ τῶν πράξεων, ὡς ἄρα αὐτὸς εἴη ὁ Χριστὸς ὁ ὑπὸ τῶν προφητῶν κεκηρυγμένος, τοῦτο μὲν οὐκ ἔπραττον, ἐπ' ἀνατροπῇ δὲ τοῦ πλήθους ἐπιστάντες ἀθρόως, ἐπετίμων πυνθανόμενοι ἐν ποίᾳ ἐξουσίᾳ εἴη ταῦτα ποιῶν, καὶ παρὰ τίνος εἰλήφει τὴν τοῦ τὰ τοιάδε πράττειν ἀδεῶς ἐξουσίαν.

«Ἐρωτήσω ὑμᾶς κἀγώ[2]», κ.τ.λ.

Ἀνεξικάκως καὶ πράως αὐτοὺς δεξάμενος ὁ Κύριος ἀνερωτᾷ περὶ Ἰωάννου τοῦ Βαπτιστοῦ, οὐ πόθεν εἴη αὐτός, ἀλλὰ πόθεν τὸν τοῦ βαπτίσματος νόμον εἰλήφοι. Τὸ μὲν γὰρ αὐτὸν περὶ ἑαυτοῦ μαρτυρεῖν ἐπαχθὲς ἡγεῖτο καὶ περιαυτολόγον· τὸ δ' ἐπὶ Ἰωάννην ἀναπέμπειν λεληθυῖαν τὴν περὶ ἑαυτοῦ διδασκαλίαν περιεῖχεν· ὡμολόγητο γὰρ παρὰ παντὶ τῷ λαῷ Ἰωάννης ἐξ οὐρανῶν ὡρμημένος. Οὗτος δὲ αὐτὸς ἐμαρτύρει τῷ Σωτῆρι πόθεν εἴη τὴν ἐξουσίαν εἰληφώς. Ὡς γὰρ ἀπήγγελλον αὐτῷ τινες, ὅτι Ἰησοῦς βαπτίζει, ἀποκριθεὶς εἶπεν αὐτοῖς· Οὐ δύναται ἄνθρωπος λαμβάνειν ἀφ' ἑαυτοῦ οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ ἄνωθεν. Αὐτοὶ ὑμεῖς μαρτυρεῖτέ μοι, ὅτι εἶπον· Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός, ἀλλ' ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου·[3] καὶ πάλιν· «Ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστί·[4]» καὶ αὖθις· «Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱόν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ.[5]» «Ὁ πιστεύων εἰς τὸν Υἱὸν ἔχει ζωὴν αἰώνιον.[6]» Οὐκοῦν ἀπὸ τῆς Ἰωάννου περὶ αὐτοῦ μαρτυρίας δῆλος ἦν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ἔπραττεν ὁ Σωτήρ, καὶ τίς αὐτῷ δεδώκει τὴν τοιαύτην ἐξουσίαν.

---

1. Λουκ. 20, 2. 2. Λουκ. 20, 3. 3. Ἰω. 3, 28. 4. Ἰω. 3, 31. 5. Ἰω. 3, 35. 6. Ἰω. 3, 36.

«Ἔσται σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ, καὶ ἄστροις.[1]»

Τηνικαῦτα γὰρ τῆς συντελείας τοῦ θνητοῦ βίου γενομένης, παρελθόντος τε τοῦ σχήματος τοῦ κόσμου τούτου κατὰ τὸν Ἀπόστολον[2], νέος αἰὼν διαλήψεται. Ἀντὶ γὰρ πάντων τῶν αἰσθητῶν φωστήρων τῶν πρὶν φωτιζόντων τὸν πρὸ τούτου αἰῶνα ἐπιλάμψει λοιπὸν αὐτὸς καὶ ἐπιφανήσεται ὁ Σωτὴρ ἡμῶν, ἀρχηγὸς καὶ φωστήρ, καὶ βασιλεὺς τοῦ νέου αἰῶνος καταστησόμενος. Τοσαύτη δέ τις ἔσται ἡ τῆς θεότητος αὐτοῦ δύναμις, καὶ ἡ ἀνυπέρβλητος αὐτοῦ δόξα, ὡς τὸν νῦν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς λοιποὺς ἐν οὐρανῷ φωστῆρας διὰ τὴν τοῦ κρείττονος παράθεσιν ἀποκρυβῆναι καὶ καλυφθῆναι τῇ αὐτοῦ δυνάμει.

«Τῶν ὑπερχομένων τῇ οἰκουμένῃ.[3]»

Τίνα δὲ τὰ ἐπερχόμενα, ἑρμηνεύει συνάπτων· «Αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται.» Τοῦ γὰρ Υἱοῦ τοῦ Θεοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς ἐπιστησομένου, καὶ τὴν ἄθεον καὶ μεγάλαυχον τυραννίδα τοῦ υἱοῦ τῆς ἀπωλείας καταργεῖν μέλλοντος τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ, ἀναλίσκειν τε τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, τῶν τε ἐπουρανίων πνευμάτων καὶ τῶν θείων καὶ ἀγγελικῶν λειτουργῶν τοῦ Θεοῦ τὸν Υἱὸν τοῦ Θεοῦ δορυφορούντων καὶ σὺν αὐτῷ παρεσομένων, αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται· ὡς τότε πληροῦσθαι τό· «Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.[4]» Ποῦ δὲ εἰσελεύσεται ἢ εἰς τὸν νέον αἰῶνα καὶ τὴν καινὴν οἰκουμένην; Καὶ δὴ τῶν δυνάμεων τῶν ἀφανῶν καὶ ἀσωμάτων, δι' ὧν ὁ σύμπας οὐρανὸς διοικεῖται, τῆς ἐξ αἰῶνος στάσεως παρακινηθεισῶν, καὶ αὐτὸς ὁ σύμπας οὐρανὸς ἥλιός τε καὶ σελήνη, καὶ ἀστέρες παρελεύσονται, ἀνοιγομένου τοῦ οὐρανοῦ, καὶ τῶν ἐξ αἰῶνος κεκλεισμένων αὐτοῦ πυλῶν ἀναπεταννυμένων, ὡς ἂν ὀφθεῖεν τὰ ἐπουράνια, καὶ ἡ ἐξ αἰῶνος τοῦ Θεοῦ βασιλεία φανηθείη τοῖς πᾶσιν· ἣν δὴ καὶ προσεύχεσθαι ᾗ τάχος ἐπιστῆναι, αὐτὸς ὁ Σωτὴρ ἐδίδαξε, λέγειν ἐν τῇ προσευχῇ παρακελευόμενος· «Ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς·» οὕτω τε τῶν φθαρτῶν καὶ σωματικῶν παρελθόντων, τὰ νοητὰ καὶ οὐράνια ἐπιστήσεται· ὅτε καὶ ἡ ἀσάλευτος βασιλεία τοῦ μηκέτι παρελευσομένου αἰῶνος καθηγήσεται, καινός τε καὶ νέος οὐρανός, γῆ τε καινὴ συστήσεται κατὰ τὸν φήσαντα προφήτην· «Ἔσται οὐρανὸς καινὸς καὶ ἡ γῆ καινή, ἃ ἐγὼ ποιῶ μένειν ἐνώπιόν μου, λέγει Κύριος.[5]»

«Αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται.[6]»

Αἱ τὸν πρότερον αἰῶνα διακονησάμεναι δυνάμεις ἐν τῇ συστάσει τοῦ προτέρου κόσμου, τοῖς τε αἰσθητοῖς μέρεσι τοῦ παντὸς ἐπιστατή-

---

1. Λουκ. 21, 25. 2. Πρβλ. Α' Κορ. 7, 31. 3. Λουκ. 21, 26. 4. Ψαλμ. 23, 7. 5. Ἡσ. 60, 17. 6. Λουκ. 21, 26.

σχσαι, τότε δὴ σαλευθήσονται, ὡς ἂν κρείττονος τύχοιεν στάσεως. Τέως μὲν γὰρ δουλεύουσι φθαρτοῖς σώμασι διακονούμεναι, κατὰ δὲ τὸν νέον αἰῶνα ἐλευθερωθήσονται καὶ αὐταὶ ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. Ἐπὶ μὲν γὰρ τοῦ παρόντος στενάζει ἡ κτίσις τῇ φθορᾷ τῶν αἰσθητῶν σωμάτων δουλεύουσα, καὶ τὴν οἰκείαν στάσιν φυλάττουσα, ἐν ᾗ κατέστησεν αὐτὴν ὁ τοῦ παντὸς Κύριος· τότε δέ, κατὰ τὴν σωτήριον θεοφάνειαν ἐλευθερωθεῖσα τῆς νῦν στάσεως, ἐπὶ τὰ κρείττω μεταβήσεται.

«Ἀρχομένων δὲ τούτων γίνεσθαι, ἀνακύψατε καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν.[1]»

Λέγει δὲ ταῦτα πρὸς τοὺς μαθητάς, οὐχ ὡς μέλλοντας αὐτοὺς ζήσεσθαι, καὶ παραμένειν τῷ βίῳ μέχρι τῆς συντελείας, ἀλλ' ὡς ἑνὸς ὄντος σώματος αὐτῶν τε καὶ ἡμῶν, τῶν τε ταῦτα μέχρι τῆς συντελείας εἰς αὐτὸν πεπιστευκότων, καὶ δι' αὐτὸν κατὰ τὸν παρόντα βίον τεταπεινωμένων. Τότε γοῦν ἀπολαβόντες τὰς ἐπαγγελίας ἐφ' αἷς ἠλπίζομεν, ἀνακύψομεν οἱ τότε συγκεκυφότες, καὶ ἐπαροῦμεν τὰς κεφαλὰς ἡμῶν οἱ πάλαι τεταπεινωμένοι. Ἡ γὰρ ἀπολύτρωσις ἡμῶν ἡ προσδοκωμένη αὐτὴ ἐκείνη ἔσται, ἣν καὶ ἡ πᾶσα κτίσις προσδοκᾷ κατὰ τὴν ἀποστολικὴν διδασκαλίαν, ἣν καὶ Παῦλος ἀπεκδεχόμενος στενάζει ταῖς σωτηρίοις φωναῖς δουλεύων. Πότε δὲ ἐγγίζει ἡ ἀπολύτρωσις, ἀκριβῶς ἐδίδαξεν εἰπών, ὅτι τούτων ἀρχομένων γίνεσθαι. Μὴ γὰρ ἀρχομένων, ἀλλ' ἤδη εἰς ἔργα χωρούντων τῶν λεγομένων, οὐκέτι ἐγγίζειν εἰκὸς τὴν ἀπολύτρωσιν, ἀλλ' ἔργοις ἐπιτελεῖσθαι. Ὁ δὲ θεῖος Ἀπόστολος καὶ ὅλης αὐτῆς τῆς κτίσεως ἀπολύτρωσιν καὶ ἐλευθερίαν τότε γενήσεσθαι διδάσκει, διὰ τὸν μέλλοντα καὶ αὐτῆς γίνεσθαι ἐπὶ τὸ κρεῖττον μετασχηματισμόν. Διό φησι· «Καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ.[2]» Ἀφθάρτων γὰρ ἁπάντων καὶ ἀθανάτων τῶν τέκνων τοῦ Θεοῦ τὸν νέον οἰκησάντων αἰῶνα, ἐχρῆν δήπου καὶ τὴν κτίσιν αὐτὴν τὴν νῦν τῇ φθαρτῇ φύσει δουλεύουσαν, εἰς ἄφθαρτον οὐσίαν μεταβαλεῖν, τῆς παρούσης καταστάσεως ἐλευθερωθεῖσαν. Εὐκαίρως μέντοι τῷ· «Καὶ τότε ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ μετὰ δόξης[3]», παραθήσεις τὴν τοῦ Δανιὴλ προφητείαν, δι' ἧς καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου, καὶ ἡ νεφέλη, καὶ ἡ τῷ τοῦ ἀνθρώπου δοθησομένη βασιλεία ἐθεωρεῖτο. Ἀλλὰ τότε μὲν εἷς προφήτης θείῳ Πνεύματι θεοφορούμενος τὸ μέλλον ἔσεσθαι ἐθεᾶτο· κατὰ δὲ τὸν τῆς συντελείας καιρὸν πάντες, ὥς φησιν ὁ Σωτήρ, αὐτὸν ὄψονται ἐρχόμενον ἐν νεφέλῃ[4] μετὰ δυνάμεως πολλῆς ζωοποιητικῆς καὶ φωτιστικῆς τοῦ νέου αἰῶνος, καὶ μετὰ δόξης πολλῆς, τῆς πατρικῆς δηλαδὴ θεότητος.

Πότε δὲ ταῦτα ἔσται; Ὅταν πληρωθῶσι καιροὶ ἐθνῶν. Περαιω-

---

1. Λουκ. 21, 28. 2. Ῥωμ. 8, 21. 3. Δαν. 7, 13. 4. Ματθ. 26, 64.

θείσης γὰρ τῆς ὡρισμένης τοῖς ἔθνεσι προθεσμίας, ἔσται σημεῖα τῆς τοῦ κόσμου συντελείας. Ποταπὰ δὲ σημεῖα, τῷ Ματθαίῳ ὁ Λουκᾶς παρεχώρησεν ἐξειπεῖν. Ἐχρῆν γάρ, μέλλοντος τοῦ μεγάλου φωστῆρος, αὐτοῦ δὲ τοῦ Θεοῦ Λόγου μετὰ δυνάμεως καὶ δόξης πολλῆς τὴν δευτέραν αὐτοῦ ποιεῖσθαι παρουσίαν ὑποστέλλεσθαι καὶ ὑπαναχωρεῖν τὸν ἥλιον καὶ τὴν σελήνην, καὶ τοὺς ἀστέρας, ἵνα ἀντὶ πάντων αὐτὸς ὁ Υἱὸς τοῦ ἀνθρώπου καταλάμψας φωτίσῃ τὸν νέον αἰῶνα, τοῦ προτέρου σχήματος τοῦ κόσμου παρελθόντος κατὰ τὴν ἀποστολικὴν μαρτυρίαν, ἥ φησι· «Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου·[1]» ἐπειδὰν οὖν τοῦτο παρέλθοι τὸ σχῆμα, συμπαρελεύσεται αὐτῷ καὶ ὁ ἥλιος καὶ ἡ σελήνη, καὶ οἱ ἀστέρες. Σκοτισθήσεται δὲ ὁ ἥλιος τότε, οὐχ ὥστε στερηθῆναι τοῦ οἰκείου φωτός, ἀλλὰ παραθέσει τοῦ κρείττονος ἀμαυρούμενος· ἀμοιβῆς γοῦν τῶν αὐτοῦ καμάτων καὶ αὐτὸς τεύξεται, ἑπταπλασίων γενησόμενος· ἥ τε σελήνη καὶ αὐτὴ ἔσται ὡς ὁ ἥλιος· καὶ οἱ ἀστέρες δὲ τῆς ὁμοίας τεύξονται ἐπὶ τὸ κρεῖττον μεταβολῆς. Ἀργήσει δὲ τότε ὁ ἥλιος καὶ ἡ σελήνη· ἀλλ' οὐδὲ ἄστρων ἔσται τις τότε χρεία, νυκτὸς μὴ οὔσης· ἀναπαύσονται δὲ καὶ αὐτοὶ ἐλευθερωθέντες σὺν τῷ οὐρανῷ· οὕτω τε ὁ νέος αἰὼν ἀνήλιος ἔσται καὶ ἀσέληνος καὶ ἄναστρος, ἡμέρας τοῦ ἡμετέρου φωτὸς τὰς ἁγίας καταυγαζούσης ψυχάς.

Τίνα γε μὴν ἐπερχόμενα τῇ οἰκουμένῃ μετὰ τὸ τοὺς φωστῆρας σκοτισθῆναι, καὶ διὰ τί, καὶ πόθεν ἡ συνοχὴ τῶν ἐθνῶν ἔσται, παρίστησιν ἑξῆς λέγων· «Ἐν ἀπορίᾳ ἠχούσης θαλάσσης καὶ σάλου ἀποψυχόντων ἀνθρώπων.» Καί μοι δοκεῖ τῆς τότε γενησομένης τοῦ παντὸς τροπῆς τὴν ἀρχὴν ἔσεσθαι διδάσκειν ἀπὸ ἐκλείψεως τῆς ὑγρᾶς οὐσίας. Ταύτης γὰρ πρώτης ἀναποθείσης ἢ ἀποπαγείσης, ὡς μηκέτ' ἦχον θαλάσσης ἀκούσεσθαι, μηδὲ τὸν τῶν κυμάτων αὐτῆς σάλον γίνεσθαι δι' αὐχμὸν ὑπερβάλλοντα, τὰ λοιπὰ μέρη τοῦ κόσμου μηκέτι τῆς συνήθους μεταλαμβάνοντα ἀναθυμιάσεως ἐκ τῆς ὑγρᾶς οὐσίας ἀναπεμπομένης, τροπὴν καὶ μεταβολὴν πείσεται· ὡς ἐκ τούτου γενήσεται σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις. Ἀνακλήσεώς τε γὰρ τοῦ παντὸς γενομένης, καὶ συντελείας τοῦ κόσμου, καὶ παράγοντος τοῦ σχήματος τούτου τοῦ φαινομένου (παρελεύσεται γὰρ τὰ πρῶτα ἵν' ἐπιστῇ τὰ δεύτερα), ἀκόλουθον ἦν καὶ τῶν κατ' οὐρανὸν φωστήρων τροπήν τινα ἔσεσθαι.

Ταῦτα δὲ ἐπὶ τέλει τῶν χρόνων ἔσται, τῆς ἀποστασίας ἐνεργουμένης. Μελλούσης γὰρ τὰ τῆς θεομαχίας τέρατα καταργεῖν τῆς ἐπιφανείας τοῦ Σωτῆρος, τὰ τῆς ὀργῆς προοίμια ἐκ τῶνδε ἄρξεται, ἐξ αὐχμῶν δηλαδὴ καὶ ἀπορίας ἤχου θαλάσσης· οὗ γενομένου ἐπακολουθήσει συνοχὴ τῶν ἐπὶ γῆς ἐθνῶν, ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ. Τίνα δὲ τὰ ἐπερχό-

1. Α' Κορ. 7, 31.

μενα, ἑρμηνεύει ἑξῆς καὶ λέγων· «Αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται·» τοῦ Υἱοῦ τοῦ Θεοῦ μετὰ δόξης ἐπιστησομένου καὶ τὴν μεγάλαυχον τυραννίδα τοῦ υἱοῦ τῆς ἁμαρτίας καταργεῖν μέλλοντος, τῶν τε ὑπερουρανίων ταγμάτων δορυφορούντων.

«Καὶ εἶπε παραβολὴν αὐτοῖς· Ἴδετε τὴν συκῆν», κ.τ.λ. «Οὕτω καὶ ὑμεῖς ὅταν ἴδητε ταῦτα γινόμενα[1]», κ.τ.λ.

Ποῖα ταῦτα γινόμενα ἀλλ' ἢ τὰ προλεγόμενα; Ἱερουσαλὴμ πατουμένην ὑπὸ ἐθνῶν, τὴν συμπλήρωσιν τῶν καιρῶν τῶν ἐθνῶν, τοὺς τῆς ἀποστασίας χρόνους, τὰ ἐν τοῖς φωστῆρσι καὶ τοῖς ἄστροις σημεῖα, τὴν ἐπὶ γῆς συνοχὴν τῶν ἐθνῶν, τὴν ἔκλειψιν καὶ ἀπορίαν τοῦ ἤχου τοῦ σάλου τῆς θαλάσσης. Ταῦτα, φησίν, ἅπαντα ὅταν ἴδητε γινόμενα, γινώσκετε ὅτι ἐπὶ θύραις ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, ἑτέρα οὖσα παρὰ τὰ προλεχθέντα. Τὰ μὲν γὰρ προοίμια ἦν καὶ μελλόντων ἀγαθῶν σημεῖα, ὡς καὶ οἱ τῆς συκῆς ἁπαλοὶ κλάδοι καὶ τὰ φύλλα σημεῖα τοῦ μέλλοντος θέρους τῆς τε τῶν λοιπῶν φυτῶν καὶ σπερμάτων καρποφορίας· τὰ δὲ τοῦ μέλλοντος καὶ τῆς ἐν αὐτῷ συστησομένης βασιλείας οὐρανῶν προοίμια καὶ σημεῖα τὰ προλεχθέντα ἦν. Αὕτη δὲ ἡ βασιλεία καὶ τὰ ἐν αὐτῇ οὐκέτι λόγῳ παραδοτέα, οὐδὲ θνητῶν ἀκοαῖς λεκτέα. Διόπερ ἀποσιωπητέον ταῦτα. «Ὀφθαλμὸς γὰρ οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ὅσα ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.[2]» Πλὴν ὥσπερ κατὰ τὸν ἐνεστῶτα βίον ἥλιος μετὰ χειμερίους τροπὰς ἔαρος ἐνισταμένου θερμὴν ἀκτῖνα βάλλων, τὰ ὑπὸ γῆν κρυπτόμενα ζωοποιεῖ σπέρματα, τοῦ προτέρου μεταβαλόντα σχήματος, νεαρὰ δὲ φύει καὶ τέθηλεν, ὡραίαν καὶ πολυανθῆ τὴν τῶν ἄρτι φυέντων βλάστην παρεχόμενα· κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ ἔνδοξος τοῦ Μονογενοῦς τοῦ Θεοῦ ἄφιξις, φωτὸς ζωογόνοις ἀκτῖσι τὸν νέον αἰῶνα καταυγάσασα, τὰ ἀποκρυφθέντα πάλαι κατὰ τὸν ἔμπροσθεν αἰῶνα, καὶ ἐν τῷ παντὶ κόσμῳ διασκεδασθέντα σπέρματα, τουτέστι τοὺς ἐν γῆς χώματι κεκοιμημένους, κρείττοσι σώμασιν ἢ κατὰ τὰ πρότερον θειότερόν τε μετεσχηματισμένοις εἰς φῶς προάξει· καὶ τοῦ θανάτου καταργηθέντος, αὐτὴ λοιπὸν ἡ ζωὴ βασιλεύσει τοῦ νέου αἰῶνος.

«Οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη.[3]»

Ποία γενεὰ ἀλλ' ἡ καινὴ καὶ νέα, ἣν αὐτὸς συνεστήσατο; περὶ ἧς ἐν προφητείαις εἴρητο· «Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον·[4]» καὶ πάλιν· «Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη.[5]» Διόπερ δεικτικῶς εἰς τοὺς ἀποστόλους αὐτοῦ, καὶ τὴν ἐξ αὐτῶν καὶ δι' αὐτῶν καθ' ὅλης τῆς οἰκουμένης συστησομένην καινὴν γενεὰν τῆς ἁγίας Ἐκκλησίας αὐτοῦ ἀφορῶν, ἔλεγεν· «Οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν πάντα γένηται.» Δια-

---

1. Λουκ. 21, 29-31. 2. Α' Κορ. 2, 9. 3. Λουκ. 21, 32. 4. Ψαλμ. 101, 10. 5. Ψαλμ. 21, 31.

μενεῖν γάρ φησι καὶ διαρκέσειν τὸν λαὸν αὐτοῦ καὶ τὴν Ἐκκλησίαν εἰς ἐκεῖνο καιροῦ εἰς ὅτε αὐτοπτήσεις πάντα, καὶ τὰς ἐκβάσεις τῶν τοῦ Σωτῆρος προρρήσεων ὀφθαλμοῖς παραλάβοι.

«Προσέχετε ἑαυτοῖς μήποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ.[1]»

Διεγείρει τοὺς μαθητὰς ἐπὶ τὸ πάντοτε ἑτοίμους εἶναι παρασκευαζομένους εἰς τὴν αὐτοῦ παρουσίαν, ἐφ' ἣν αὐτὸς ἡμᾶς παρορμῶν τοὺς πάντας τῆς διδασκαλίας ἐποιεῖτο λόγους· νήφειν τε καὶ ἐγρηγορέναι παρακελεύεται, καὶ ἀγρυπνεῖν διὰ πάσης τῆς τοῦ θνητοῦ βίου νυκτός, διὰ τὸ μηδενὶ γνώριμον τὸν καιρὸν τῆς συντελείας ὑπάρχειν. — Ἀλλ' ὑμῖν γε, φησί, φυλακτέον τὸ ἐντεῦθεν βάρος, ἵνα δυνήσησθε νήφειν, μήποτε ἐπιστῇ αἰφνίδιος ἐφ' ὑμᾶς ἡ ἡμέρα ἐκείνη· περὶ ἧς καὶ ὁ ἱερὸς Ἀπόστολος παρῄνει γράφων· Ἀδελφοί, οἴδατε ἀκριβῶς, ὅτι ἡ ἡμέρα Κυρίου, ὡς κλέπτης ἐν νυκτί, οὕτως ἔρχεται.[2] Ὅταν δὲ εἴπωσιν εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος. Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σκότει, ἵνα ὑμᾶς ἡ ἡμέρα ὡς κλέπτης καταλάβῃ· πάντες γὰρ ὑμεῖς υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας.[3] Γρηγορητέον οὖν ἡμῖν οὐ μόνον διὰ τὴν ἀθρόαν καὶ ἀπροσδόκητον τοῦ Δεσπότου ἄφιξιν, ἀλλὰ καὶ διὰ τὸν κλέπτην τὸν ἐφεδρεύοντα. Ὁ δὲ κλέπτης ἐστὶν ὁ καιρὸς τῆς ἑκάστου τελευτῆς· ἢ καὶ ὁ μέλλων τὴν ἑκάστου ψυχὴν παραλαμβάνειν ἄγγελος. Ὡς παγὶς γὰρ ἡ τοῦ Κυρίου παρουσία ἐπελεύσεται ἐπὶ πάντας τοὺς ἐν τῇ γῇ· οἱ μὲν οὖν προσέχοντες ἑαυτοῖς σῴζονται, ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος· οἱ δὲ τῇ μέθῃ βεβαρημένοι, καὶ εἰς θάνατον ὑπνώττοντες, ἐκπίπτουσιν εἰς ἀδόκητον κίνδυνον.

«Ἀγρυπνεῖτε οὖν ἐν παντὶ καιρῷ δεόμενοι[4]», κ.λ.π.

Τούτοις συνᾴδων ὁ Ἀπόστολος ἔλεγε· «Διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καὶ ἅπαντα κατεργασάμενοι στῆναι. Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ.[5]»

«Ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου.[6]»

Τοιούτων ἔσται πλήρης ἀγαθῶν τράπεζα, ἧς μεταλήψονται οἷς τὴν Διαθήκην διέθετο διὰ τὸ μεμενηκέναι μετ' αὐτοῦ ἐν τοῖς πειρασμοῖς· ἵνα ἐσθίωσι καὶ πίωσιν ἐπὶ τῆς τραπέζης αὐτοῦ· ἄρτῳ μὲν οὐρανίῳ ψυχῶν ἁγίων θρεπτικῶς τραφησόμενοι, οἴνου δὲ τοῦ καινοῦ γεννήματος τῆς ἀληθινῆς ἀμπέλου μεταληψόμενοι· ἣν αὐτὸς ὁ τῶν ὅλων Θεὸς γεωργῶν τὸ καινὸν ἐξ αὐτῆς γέννημα τοῖς τότε ἀξίοις παρέξει.

«Ὁ δὲ ἠρνήσατο αὐτὸν λέγων· Γύναι, οὐκ οἶδα αὐτόν.[7]»

Ὅρα δὲ τὸ φιλάληθες τοῦ εὐαγγελιστοῦ, πῶς οὐ καταχαρίζεται

---

1. Λουκ 21, 31. 2. Α' Θεσσ. 5, 2. 3. Α' Θεσσ. 5, 4, 5. 4. Λουκ. 21, 36. 5. Ἐφ. 6, 13. 6. Λουκ. 22, 30. 7. Λουκ. 22, 57.

τῷ Πέτρῳ, ἀλλὰ τὸ πάθος αὐτοῦ ὡς ἔχει διηγεῖται, ὅτι οἱ μὲν ἄλλοι ἀπολιπόντες τὸν διδάσκαλον ᾤχοντο, ὁ δὲ πάντων αὐτῶν προκεκριμένος ἀπόστολός τε καὶ μαθητής, αὐτὸς ἐκεῖνος ὁ βοώμενος Πέτρος, βασάνων ἐκτὸς καὶ ἀρχοντικῆς ἀπειλῆς, τρόπον αὐτὸν ἐξωμόσατο.

«Δύο ἄνδρες ἐπέστησαν αὐταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις.[1]»

Χαρᾶς καὶ γέλωτος σημεῖα γνωρίσματά τε τῆς σωτηρίου ἀναστάσεως ὁρᾶν παρέχονται καὶ διὰ τῆς λευκῆς περιβολῆς, ὥστε καὶ ἀπὸ τοῦ σχήματος συμβαλεῖν τὰς γυναῖκας τὸ φαιδρὸν τῆς ἐγέρσεως, καὶ τῆς τοῦ Πάσχα ἑορτῆς σὺν τοῖς λευχείμοσιν ἀγγέλοις ἀπάρξασθαι. Μωϋσῆς μὲν γὰρ πληγὰς Αἰγυπτίων μέλλων διακονεῖσθαι καταλλήλως ἐν φλογὶ πυρὸς τὸν ἐπὶ τῆς βάτου ἄγγελον ἑώρα· [2] ὁ δ' αὐτὸς μοχθηροῖς ἀνδράσι νομοθετῶν, πῦρ καταναλίσκον τὸν Θεὸν εἶναι ἔλεγεν [3], τιμωρητικὸν καὶ κολαστὴν αὐτοῖς ἔσεσθαι αὐτὸν αἰνιττόμενος· διὸ καὶ ἐν στύλῳ πυρὸς ἡγεῖτο αὐτῶν ὁ Θεός. Οὕτω τοῖς ἀσεβέσι γενέσθαι τοὺς ἀγγέλους πυρὸς φλόγα ἐδίδαξεν εἰπών· «Ὁ ποιῶν τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.[4]» Ἀλλ' οὐ τοιούτους αἱ γυναῖκες τοὺς εἴσω τοῦ μνήματος ἑώρων, γαληνοὺς δέ τινας καὶ φαιδρούς, οἵους ἐχρῆν ἐπὶ Δεσπότου χαρᾷ καὶ βασιλείᾳ φαίνεσθαι. Ἐπὶ μὲν γὰρ τῷ πάθει τοῦ Σωτῆρος ὁ ἥλιος ἐξέλιπε, σκότος περιβαλὼν τῷ παντί, θρήνων τε καὶ πένθους σύμβολα τοῖς σταυροῦσι τὸν Υἱὸν τοῦ Θεοῦ δεικνύς· καὶ οὐδεὶς μὲν ἐφαίνετο τῶν ἀγγέλων τὸ τηνικαῦτα ὡς εἰκὸς τοῖς μαθηταῖς, ὁμοίως καὶ αὐτῶν ὧδε κἀκεῖ διασκεδασθέντων. Εἰ δ' ἄρα καὶ ὀφθῆναί τινα ἐχρῆν, τάχα που τὴν ἐναντίαν τοῖς λευχείμοσιν ἀνθρώποις τὴν ἀναστολὴν ἀνεδείξατο· αὐτίκα γοῦν ἐπὶ τῷ πάθει οὐχ ἥλιος μόνον ἐσκότασεν, ἀλλὰ καὶ ὁ Σωτὴρ φωνῇ μεγάλῃ κράξας ἀφῆκε τὸ πνεῦμα, τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, μονονουχὶ περιρρηξαμένων καὶ αὐτῶν τῶν πάλαι τὸ ἱερὸν ἐνοικούντων ἀγγέλων, περιρρηξάντων τε τὸ σεμνὸν ὕφασμα, ὡς ἄν, γυμνὸς καὶ ἔρημος ἀπολειφθεὶς τῆς αὐτῶν φρουρᾶς, ὁ τῶν ἀβάτων καὶ ἀδύτων τόπος, ἕτοιμος ἐχθροῖς καὶ πολεμίοις κατασταίη. Ἀλλὰ ταῦτα μὲν ἐπὶ τῷ πάθει συνέβαινεν· ἐπὶ δὲ τῇ σωτηρίῳ ἀναστάσει, ὡς ζωῆς ἄγγελοι καὶ τῆς ἀναστάσεως κήρυκες, τὸν τόπον οὗ ἔκειτο τὸ σῶμα περιεῖπον, ἐξ αὐτῆς ὥσπερ τῆς ἐπαφῆς τοῦ τόπου ἁγιωσύνης κρείττονος ἢ κατ' αὐτοὺς μετασχόντες, καὶ τῆς ἀναστάσεως αὐτοῦ κοινωνοῦντες. Διὸ φαιδρὰ καὶ μειδιῶντα πρόσωπα, σχῆμά τε σωτηρίου ἑορτῆς παρέφαινον λευχειμονοῦντες.

---

1. Λουκ. 24, 4. 2. Ἐξ. 3, 2. 3. Δευτ. 4, 24. 4. Ψαλμ. 103, 4.

ΕΥΣΕΒΙΟΥ ΑΠΟΣΠΑΣΜΑ ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ

('Εκ κώδ. τῶν Μεδιολάνων. J. P. Migne, τ. 22, σ. 605.)

Εἰς τὸ κεφ. XII, 18. ΕΥΣΕΒΙΟΥ. Λέγεται γὰρ κατάβασις θεία ἐπὶ τὸ ὄρος γεγονέναι καθ' ὃν ἐνομοθέτει καιρόν, ἵνα πάντες θεάσωνται τὴν ἐνέργειαν τοῦ Θεοῦ· κατάβασις γὰρ αὕτη σαφής ἐστιν, οὐ μὴ τοπική. Τῶν γοῦν φυομένων κατὰ τὸ ὄρος φλεγομένων σφοδρῶς, οὐδὲν τὸ πῦρ ἐξηνάλωσε· σαλπίγγων τε φωναὶ σφοδρότερον συνηκούοντο, μὴ προκειμένων ὀργάνων τοιούτων, μηδὲ τοῦ φωνήσαντος, ἀλλὰ θείᾳ κατασκευῇ γινομένων ἁπάντων. Ὥστε σαφὲς εἶναι διὰ ταῦτα τὴν κατάβασιν θείαν γεγονέναι, καὶ τὸν Θεὸν ἄνευ τινὸς δεικνύναι τὴν ἑαυτοῦ διὰ πάντων μεγαλειότητα.

ΕΚΛΟΓΗ ΕΝ ΣΥΝΤΟΜΩ ΕΚ ΤΩΝ ΣΥΝΤΕΘΕΝΤΩΝ
ΥΠΟ ΕΥΣΕΒΙΟΥ ΠΡΟΣ ΣΤΕΦΑΝΟΝ
ΠΕΡΙ ΤΩΝ ΕΝ ΕΥΑΓΓΕΛΙΟΙΣ ΖΗΤΗΜΑΤΩΝ ΚΑΙ ΛΥΣΕΩΝ *

Α΄.

«Διὰ τί τὸν Ἰωσήφ, ἀλλ' οὐ τὴν Μαρίαν, οἱ εὐαγγελισταὶ γενεαλογοῦσιν.»

Πόθεν τὸν Χριστὸν ὡς υἱὸν Δαβὶδ γενεαλογοῦσι; πάντως ὅτι διὰ τὸν Ἰωσὴφ τὸν ἐκ Δαβὶδ γεγονότα· ἀλλ' οὐκ ἐκ τοῦ Ἰωσὴφ ὁ Χριστός, ἀλλ' ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας, ὥς φησιν ἡ Γραφή· ἐχρῆν τοίνυν τὴν Μαρίαν γενεαλογεῖν, εἴπερ τὸν Χριστὸν γενεαλογεῖν ἐβούλοντο, ἀλλ' οὐ τὸν Ἰωσήφ, ᾧ μηδὲν προσήκων τυγχάνει κατὰ σάρκα ὁ Χριστός, μὴ ἐξ αὐτοῦ γεγεννημένος· εἰ δὲ μὴ ἐξ αὐτοῦ τυγχάνει ὤν, ἀλλ' ἐκ μόνης τῆς Μαρίας, οὐκ ἂν εἴη ἐκ τοῦ Δαβίδ, ἐπειδὴ τὴν Μαρίαν οὐδεὶς λόγος ἀποδείκνυσιν ἀπὸ Δαβὶδ γενομένην· μάτην ἄρα τὸν Χριστὸν ἐκ σπέρματος Δαβὶδ θρυλλοῦσι, μήτε τοῦ Ἰωσὴφ ὄντα υἱόν, μήτε τῆς Μαρίας ἀπὸ Δαβὶδ γενεαλογουμένης· τοιαῦτα μέν τινα τὸ πρῶτον τῶν ἠπορημένων περιεῖχε· λύσις δ' ἂν εἴη αὐτῷ ἥδε.

α΄. Τῶν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πράξεων, τὰ μὲν σιωπᾶσθαι ἀναγκαῖον ἦν τοῖς τότε, τὰ δὲ εἰς πολλῶν ἀκοὰς διεδίδοτο, ὅσα πρὸς ὠφέλειαν ἤμελλε συμβάλλεσθαι τοῖς ἀκροωμένοις· οἷον ὡς ἐπὶ παραδείγματος τριακοστὸν ἄγων τῆς τοῦ σώματος ἡλικίας ἔτος, πάρεισιν ἐπὶ τὸ παρὰ τῷ Ἰωάννῃ βάπτισμα· καὶ ἐντεῦθεν ἀπάρχεται τῆς διδασκαλίας καὶ τῶν τεραστίων ἔργων· τίνα δὲ τὰ πρὸ τοῦ βαπτίσματος ἐντὸς ὅλων ἐτῶν τριάκοντα πραχθέντα αὐτῷ, οὐδεμία ἱστορία δηλοῖ, οὐδ' ἔστιν ἀπό τινος θείας Γραφῆς τὸν πρὸ τούτου καταμαθεῖν αὐτοῦ βίον. Ἀλλὰ καὶ ἐξ οὗπερ εἰς πάντας ἐγνώσθη, τὰ μὲν εἰς ἀκοὰς πάντων ἐκήρυττε, τὰ δὲ μόνους τοὺς αὐτοῦ μαθητὰς ἐμυσταγώγει· καὶ ποτὲ μὲν παραδοξοποιῶν παρῄνει μηδενὶ λέγειν, ποτὲ δὲ ἄνευ τῆς τοιᾶσδε παραινέσεως τὰ θαυμάσια κατειργάζετο. Ἓν δὴ οὖν μάλιστα τῶν σεσιγῆσθαι δεδογμένων, τὸ κατὰ τὴν γένεσιν αὐτοῦ θαῦμα ἦν· οὐδενὸς τῶν καθ' ὃν ἐνηνθρώπησε χρόνον, ὀλίγων ἐκτὸς τούτου γνῶσιν κεκτημένου.

β΄. Φησὶ δέ που ὁ ἅγιος ἀνὴρ (Ἰγνάτιος ὄνομα αὐτῷ), τῆς Ἀντιοχέων Ἐκκλησίας δεύτερος γεγονὼς μετὰ τοὺς ἀποστόλους ἐπίσκοπος, ὡς ἄρα καὶ τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου ἔλαθεν ἡ παρθενία Μαρίας,

* Κατὰ τὴν ἔκδοσιν τῆς Πατρολογίας τοῦ J. P. Migne, τ. 22, σ. 880 ἑξ.

καὶ ἡ τοῦ Σωτῆρος ἐξ αὐτῆς γένεσις· λέγει δ' οὕτως· «Καὶ ἔλαθε τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου ἡ παρθενία Μαρίας, καὶ ὁ τοκετὸς αὐτῆς, ὁμοίως καὶ ὁ θάνατος τοῦ Χριστοῦ· τρία μυστήρια κραυγῆς, ἅτινα ἐν ἡσυχίᾳ Θεοῦ ἐπράχθη.» Ἔστι δὲ καὶ λογισμῷ λαβεῖν, ὅτι μὴ πάντων ἦν τῶν ἐν σαρκὶ βιούντων τὸν Χριστὸν Θεοῦ καὶ σὺν ἀνθρώποις ἀναστραφέντα οἷα κοινὸν ἄνθρωπον ὁρώντων, τὸ δύνασθαι πιστεύειν ἐξ ἀπειρογάμου κόρης αὐτὸν δίχα πατρὸς γεγονέναι οὐδ' εἰς πολλοὺς ἐκφέρειν, ὅτι μὴ ἐκ τοῦ Ἰωσὴφ ἡ Μαρία συλλαβοῦσα τὸν Ἰησοῦν ἐγέννα, λυσιτελὲς ἦν· ἢ γὰρ ἂν καὶ δίκην κατὰ τὸν Μωϋσέως νόμον ἡ παρθένος ὑπέσχεν, ὡς πρὸ ὥρας γάμου διαφθαρεῖσα τὴν παρθενίαν· διόπερ εἰκότως ἐπισημαίνεται ἀκριβῶς φήσασα ἡ Γραφή, «Πρὶν ἢ συνελθεῖν αὐτούς, εὑρέθη ἐν γαστρὶ ἔχουσα·» μονονουχὶ διδάσκουσα ὅτι μὴ πρὸ γάμου συνείληφε, μηδὲ πρὸ τοῦ παρὰ τὸν ἄνδρα ἐλθεῖν· μετὰ δὲ τὸ συναφθῆναι τὸν Ἰωσὴφ καὶ παρ' αὐτῷ γενέσθαι, παρὰ πᾶσί τε γυναῖκα αὐτοῦ χρηματίσαι, συνόντων ἀλλήλοις, καὶ τῆς γαμικῆς ὁμιλίας ἅπτεσθαι ἤδη γοῦν μελλόντων, αὐτῆς ὡς εἰπεῖν ὥρας πρὶν ἢ συνελθεῖν αὐτούς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου. Καὶ τοῦτό γε παγχρησίμως εἰς τὸ λαθεῖν τοὺς πολλοὺς ᾠκονόμητο· εἰ γὰρ δὴ παρὰ τοῖς αὐτῆς γονεῦσιν οὖσαν ἔτι συνέβη κατὰ γαστρὸς λαβεῖν, κἂν εἰκὸς ἦν βοηθῆναι τὸ πρᾶγμα ὅτι μὴ ἐκ προδήλου ἐκυοφορήθη, θᾶττον δ' ἂν καὶ ἀνῄρητο κατὰ τὸν νόμον· ἢ εἰ μὴ τοῦτο, αἰσχρᾶς δ' οὖν οὐκ ἂν ἠλευθέρωτο ὕβρεως· οὐ γὰρ δήπου μάρτυς αὐτὴ ἑαυτῆς καὶ τῶν περὶ αὐτῇ πεπραγμένων ἀξιόπιστος ἦν· οὐδ' ἂν ἐπείσθη τις ἢ ἀγγέλου ἐπιφάνειαν, καὶ τὰ πρὸς αὐτὴν εἰρημένα πρὸς τοῦ Γαβριὴλ αὐτῇ διηγουμένῃ, οὐδ' ἂν κύουσαν ἤδη προσήκατο εἰς τὸν ἑαυτοῦ οἶκον Ἰωσήφ, ἀνὴρ δίκαιος εἶναι μεμαρτυρημένος· διόπερ εἰκότως οὐ παρὰ τοῖς αὐτῆς γονεῦσιν, ἀλλ' ἤδη παρ' αὐτῷ γενομένη ἐγκύμων σὺν αὐτῷ γενομένη, παρ' αὐτὴν ὡς εἰπεῖν τὴν τοῦ γάμου τάξιν· πρὸ γὰρ τοῦ συνελθεῖν αὐτούς, ὡς ἡ Γραφὴ μαρτυρεῖ, εὑρέθη ἐν γαστρὶ ἔχουσα.

γ'. Τίνι δ' ἄρα εὑρέθη, ἀλλ' ἢ τῷ Ἰωσήφ; πῶς δὲ καὶ τίνα τρόπον εὕρηται τοῦτο τῷ Ἰωσήφ, ὁ λόγος διδάξει φάς, ἐκ Πνεύματος ἁγίου γνωστὸν γέγονεν οὕτω καὶ τῷ Ἰωσήφ· δίκαιος γὰρ ἦν· δίκαιος δὲ τυγχάνων, οὐ θαυμαστὸν εἰ καὶ θείου Πνεύματος ἠξίωτο πρὸς τὸ συνεῖναι μὲν τῆς μελλούσης γαμετῆς κύησιν, ἐπισχεῖν δὲ τὴν κατὰ ἄνδρα κοινωνίαν. Αὐτίκα συνεὶς καὶ καταπλαγεὶς ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν· μείζονα ἢ κατὰ τὴν σὺν αὐτῷ διατριβὴν τὰ πεπραγμένα εἶναι λογισάμενος. Καὶ τοῦτο ἄρα ἦν τὸ αἴτιον, δι' ὅ, δίκαιος ὤν, οὐκ ἔκρινε μὲν δίκαιον εἶναι δειγματίσαι αὐτήν, ἐβουλήθη δὲ λάθρα ἀπολῦσαι αὐτήν· καὶ μὴν εἰ μὴ ἐξ ἁγίου Πνεύματος πέπειστο αὐτὴν συνειληφέναι, ἀκριβῶς εἰδὼς ὅτι μηδὲ ἐξ αὐτοῦ τὸ κατὰ γαστρὸς ἔφερε, τί δῆτα δίκαιος ὢν ὁ ἀνήρ, οὐκ εἰς πάντας ἐξάγων τὴν διαφθαρεῖσαν πρὸ γάμου τὴν ὥραν, τοῖς τὰ τοιαῦτα κρίνειν παρεδίδου δρά-

σασαν δειγματίσαι; πῶς δὲ δίκαιος ὁ τὴν παράνομον πρᾶξιν ἐπισκιάζειν καὶ ἐπικρύπτειν προθυμούμενος; ἀλλ' οὐκ εἰκὸς τὸν εὐαγγελιστὴν δίκαιον αὐτὸν ἐπὶ τούτοις φάναι, ἀλλὰ γὰρ συναισθόμενον διὰ ἁγίου Πνεύματος τὴν θειοτέραν τῆς Παρθένου γεγονέναι κύησιν, καὶ κρείττονα τῆς σὺν αὐτῷ διατριβῆς ἡγησάμενον εἶναι τὴν οἰκονομίαν, εἰκότως φησὶν αὐτὸν διανενοῆσθαι λάθρα ἀπολῦσαι αὐτὴν μὴ δειγματισθεῖσαν ὑπ' αὐτοῦ, μηδὲ τοῖς πολλοῖς φανερὰν γενομένην· εὖ γοῦν καὶ τὸ μὴ θέλων αὐτὴν δειγματίσαι εἰρῆσθαι δοκεῖ ὑπὸ τοῦ εὐαγγελιστοῦ· οὐ γὰρ ἔφησε μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἀλλὰ μὴ δειγματίσαι θέλων· πολλῆς οὔσης ἐν τούτοις διαφορᾶς ὡς γὰρ οὐ ταὐτὸν σημαίνει τὸ γράψαι καὶ παραγράψαι, καὶ τὸ λογίσασθαι καὶ παραλογίσασθαι, καὶ ψηφίσαι καὶ παραψηφίσαι· οὕτως οὐδὲ τὸ δειγματίσαι καὶ παραδειγματίσαι· τὸ μὲν γὰρ παραδειγματίσαι, τὴν ἐπὶ κακῶς πράξαντι εἰς πάντας φανέρωσίν τε καὶ διαβολὴν ὑποβάλλει νοεῖν· τὸ δὲ δειγματίσαι, τὸ φανερὸν ἁπλῶς ποιῆσαι.

δ'. Ἐπειδὴ δὲ τούτου γενομένου, εἰ καὶ λάθρα αὐτὴν ἀπολελύκει, μεῖζον ἦν τὸ πρᾶγμα, ἢ κατὰ τὸ λαθεῖν τοὺς πολλούς, εἰκότως ἐπιστὰς ὄναρ ὁ ἄγγελος ἔφη τῷ Ἰωσήφ· «Ἰωσὴφ Ἰωσὴφ υἱὸς Δαβίδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου.[1]» Καὶ θέα γε ὡς πρῶτον υἱὸν Δαβὶδ ἀνακαλεῖ, ἀναπέμπων ἐπὶ τὸν προπάτορα, διὰ τὸν ἐκ σπέρματος Δαβὶδ τοῖς πᾶσι προσδοκώμενον· ἐπεὶ διὰ τί μὴ υἱὸν αὐτὸν ἔφησεν Ἰακώβ; οὗτος γὰρ ἦν αὐτοῦ κατὰ σάρκα πατήρ, ὡς μαρτυρεῖ ὁ εὐαγγελιστής· «Ματθὰν δὲ ἐγέννησε τὸν Ἰακώβ· Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰωσήφ·[2]» νῦν δὲ παρεὶς τοῦ πατρὸς τὴν μνήμην, τοῦ προπάτορος ὑπομιμνήσκει· μονονουχὶ σημαίνων ὡς ἄρα ὁ ἐπηγγελμένος τῷ Δαβίδ, οὗτος ἦν ὁ παραδόξως ὁ μὴ ἐξ αὐτοῦ, ἐκ Πνεύματος δὲ ἁγίου ὑπὸ τῆς Μαρίας κυούμενος· ἔπειτα δὲ αὐτῷ θαρσεῖν παρακελεύεται δι' ὃν εἶχεν φόβον· οὐχ ὁ τυχὼν γὰρ φόβος ἦν αὐτῷ συναισθομένῳ μὴ ἐξ ἀνδρὸς κεκυηκέναι τὴν Μαρίαν· κἄπειτα αὐτὸν διδάσκει οὐχ ὃ μὴ ἠγνόει, ἀλλὰ τοῦ καὶ πρότερον γιγνωσκομένου τὴν αἰτίαν· λέγει δ' οὖν· «Τὸ γὰρ ἐν αὐτῇ γεννηθέν, ἐκ Πνεύματός ἐστιν ἁγίου.»

ε'. Τοιαύτη τις καὶ τοσαύτη γενέσθαι οἰκονομία ὑπὲρ τοῦ λαθεῖν τὴν τῆς παρθένου κύησιν τοὺς ἀπίστους, ἐκ τῆς θείας ὑποφαίνεταί μοι Γραφῆς· καὶ γὰρ οὐκ ἂν ἐπιστεύθη ῥαδίως ὁ λόγος παρὰ τοῖς τοῦτο ἀκούουσιν, ἄνδρα τε αὐτὸν ἡμῖν ὁμοιοπαθῆ τὸ σῶμα, καὶ κατ' οὐδὲν τὴν θνητὴν φύσιν παραλλάττοντα θεωμένοις· τί γὰρ εἰ καὶ μετὰ ταῦτα παραδοξοποιῶν καὶ τὰς ἐνθέους εὐεργεσίας εἰς πολλοὺς ἐκτείνων ἐξέπληττε τοὺς ὁρῶντας; οὐχὶ δὲ καὶ Μωϋσῆς πολλὰ θαυματουργήσας, τῆς κοινῆς ὅμως γενέσεως οὐκ ἠμοίρει; Ἠλίας τε καὶ Ἐλισσαῖος, καὶ ὁ καθεὶς τῶν προφητῶν; οὐδὲν οὖν πρὸς τὸ μὴ ἐξ ἀνδρὸς νομί-

---

1. Ματθ. 1, 20. 2. Ματθ. 1, 15.

ζεσθαι τὸν Ἰησοῦν ἡ τῶν τεραστίων ἔργων ἐπίδειξις αὐτῷ συνεβάλλετο· αὐτίκα οἱ κατ' αὐτὸν οὐδ' ἄλλο τι περὶ τῆς γενέσεως αὐτοῦ φανταζόμενοι, καίπερ τὰ δρώμενα ὑπ' αὐτοῦ ὁρῶντες, ἔλεγον πρὸς ἀλλήλους· «Πόθεν τούτῳ πᾶσα ἡ σοφία αὕτη καὶ αἱ δυνάμεις; οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; οὐχὶ ἡ μήτηρ αὐτοῦ λέγεται Μαρία; καὶ οἱ ἀδελφοὶ αὐτοῦ, Ἰάκωβος καὶ Ἰωσὴφ καὶ Σίμων καὶ Ἰούδας; καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσι;[1]» Καὶ ἄλλοτε πάλιν τῆς μητρὸς καὶ τῶν ἀδελφῶν ἑστώτων ἔξω καὶ ζητούντων λαλῆσαι αὐτῷ, εἰπέ τις αὐτῷ· «Ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σε θέλοντες.[2]» Καὶ τί θαυμαστὸν ὅτε καὶ οἱ αὐτοῦ μαθηταὶ καὶ ἀπόστολοι ἐρωτηθέντες, «Τίνα με», φησίν, «οἱ ἄνθρωποι λέγουσιν;» ἀπεκρίναντο, ὡς ἄρα οἱ μὲν Ἰωάννην αὐτὸν εἶναι ἡγοῦνται, οἱ δὲ Ἠλίαν, οἱ μὲν Ἱερεμίαν, οἱ δὲ ἕτερόν τινα τῶν προφητῶν·[3] ἐρωτώμενοι δὲ τίνα ποτὲ καὶ αὐτοὶ δόξαν ἔχουσι περὶ αὐτοῦ, οἱ πάντες ἀπεσιώπησαν, ὡς οὐκ ἔχοντες εἰπεῖν· μόνου δὲ Πέτρου φήσαντος, ὡς ἄρα αὐτὸς εἴη ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ἅτε μόνῳ αὐτῷ τοῦτο γνωσθέντι ἐπιφέρει λέγων· «Μακάριος εἶ, Σίμων βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς.[4]» Μαρτυρεῖ δὲ καὶ ἡ Μαρία βαθεῖ λογισμῷ παρ' ἑαυτῇ κατέχειν τὰ γεγενημένα· φησὶ γοῦν ἡ Γραφή· «Ἡ δὲ Μαρία πάντα συνετήρει τὰ ῥήματα ταῦτα συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς.[5]»

ς'. Οὐκοῦν ἀποδέδεικται ὅτι χρησίμως κατ' ἐκεῖνο καιροῦ, ἡ μὲν ἐξ ἁγίου Πνεύματος τοῦ Ἰησοῦ γένεσις παρὰ τοῖς πολλοῖς ἀπεσιωπᾶτο, ὁ δὲ Ἰωσὴφ ἐν χώρᾳ πατρὸς παρελαμβάνετο· εἰκότως οὖν ὁ πατὴρ τοῦ παιδὸς ἐγενεαλογεῖτο· εἰ δὲ οὖν μὴ τοῦτο ἐγεγόνει, ἀπάτωρ ἂν ἐνομίσθη ὁ παῖς μὴ ἐκ πατρὸς γενεαλογούμενος· τοῦτο δὲ εἰς ἀσέβειαν ἤγαγεν ἂν τοὺς πολλούς, οἳ δι' ἄγνοιαν τῆς περὶ τὸ πρᾶγμα ἀληθείας ἐδυσφήμουν τὴν γένεσιν· χρησίμως οὖν καὶ τοῦ τέκτονος (υἱὸς) καὶ τῶν ὠνομασμένων τέκνων ἀδελφὸς ἐχρημάτιζεν· ἐπεὶ καὶ Θεὸς Λόγος ὤν, οὐκ ἀπηρνεῖτο ἑαυτὸν εἶναι ἄνθρωπον, ἀλλὰ καὶ παρήγγελλε τοῖς ἑαυτοῦ μαθηταῖς ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτὸς εἴη ὁ πάλαι πρὸ τῶν προφητῶν ἥξειν βοώμενος ὁ Χριστὸς τοῦ Θεοῦ·[6] οὐ γὰρ ἂν οὐδὲ ἐπίστευσαν οἱ πολλοὶ τῶν τότε θεωμένων αὐτὸν εὐτελὲς σχῆμα περιβεβλημένον· οὕτω δὲ καὶ ἐπὶ τῆς ἐν τῷ ὄρει μεταμορφώσεως ἐνετείλατο πάλιν τοῖς ἑαυτοῦ μαθηταῖς λέγων· «Μηδενὶ εἴπητε τὸ ὅραμα ἕως οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ·[7]» εἰκὸς γὰρ μηδὲ τοῦτο πιστεῦσαι τῶν τότε τοὺς πολλούς· εἰ δὲ ταῦτα μὴ εἰς φανερὸν ἥκειν ἔκρινεν, ἦ πού γε τὰ τῆς ἐκ παρθένου γενέσεως ἀποσιωπᾶσθαι τὸ τηνικαῦτα παρὰ τοῖς πολλοῖς ἐχρῆν, εἰς ἐπιτήδειον καιρὸν τῆς περὶ αὐτοῦ ἀληθείας ἀναφανησόμενα· οὗτος δὲ ἦν ὁ τῆς ἐκ νεκρῶν ἀναστάσεως

---

1. Ματθ. 13, 55. 2. Ματθ. 12, 47. 3. Ματθ. 16, 13-14. 4. Ματθ. 16, 17. 5. Λουκ. 2, 19. 6. Ματθ. 16, 20. 7. Ματθ. 17, 9.

αὐτοῦ, καὶ τῆς εἰς οὐρανοὺς ἀναλήψεως, τῆς τε εἰς πάντα τὸν κόσμον ὡς ἂν περὶ Λόγου Θεοῦ διαδραμούσης περὶ αὐτοῦ φήμης· ὅ τε τῆς τῶν ἐθνῶν κλήσεως, καθ' ὃν καὶ αἱ θεῖαι αὐτοῦ φωναὶ τέλος ἐλάμβανον, τὰ τῶν προγνώσεων αὐτοῦ καὶ προρρήσεων διὰ τῆς τῶν πραγμάτων ἐκβάσεως ἐναργῶς πιστούμεναι.

ζ'. Τοῖς γοῦν καθ' ἡμᾶς ταῦτα παραδεξαμένοις καὶ τὴν ὑπὲρ ἄνθρωπον αὐτοῦ φύσιν ἐπεγνωκόσιν, εἰκότως τά τε λοιπὰ καὶ τὰ τῆς γενέσεως πιστὰ εἶναι ὁμολογεῖται· πλὴν ἀλλ' οἱ θαυμάσιοι εὐαγγελισταὶ ἀναγκαίως τότε παρὰ Ἰουδαίοις τὸν Ἰωσὴφ ἐγενεαλόγουν αὐτὸν ἐκεῖνον τὸν παρὰ πᾶσι βοώμενον τοῦ Ἰησοῦ πατέρα· εἰ γὰρ τοῦτο παρελθόντες, μητρόθεν αὐτὸν ἐγενεαλόγουν, πρὸς τῷ καὶ ἀπρεπὲς εἶναι τοῦτο, καὶ τῆς τῶν θείων Γραφῶν συνηθείας ἀλλότριον, ὅτι μηδεὶς τὸ πρότερον ἐκ γυναικὸς γενεαλογηθεὶς ἱστορεῖται, ἔδοξεν ἂν ἀπάτωρ τις εἶναι καὶ δυσγενὴς ὁ γενεαλογούμενος· τοῦτο δέ, ὡς ἔφην, οὐ μικρᾶς ἦν δυσφημίας ὁμοῦ καὶ κατηγορίας· διὸ χρησίμως τὸν Ἰωσὴφ ἀπὸ Δαβὶδ διὰ τὴν ἀποδοθεῖσαν αἰτίαν γενεαλογοῦντες, ἐν ταυτῷ καὶ τὴν Μαριὰμ ἐκ Δαβὶδ γεγονέναι συνίστων, διὰ τοῦ μνηστῆρος τὸ τῆς γαμετῆς ὑποφαίνοντες γένος· νόμου γὰρ Μωϋσέως διαγορεύοντος μὴ ἄλλοθεν ἐξεῖναι πρὸς γάμον λαμβάνειν, ἢ ἐκ τοῦ γένους τοῦ οἰκείου καὶ τῆς ἰδίας φυλῆς, ὡς ἂν μὴ περιστρέφοιτο τοῦ γένους ὁ κλῆρος ἀπὸ φυλῆς εἰς φυλήν, αὐτάρκης ἦν ἡ περὶ τοῦ ἀνδρὸς ἀναγραφὴ καὶ τὴν γυναῖκα δηλῶσαι· νομικῶς γὰρ βιοὺς οὐδ' ἄλλοθεν ἐμνᾶτο τὴν γυναῖκα, ἢ πρῶτα μὲν ἐκ τῆς φυλῆς τῆς πατρικῆς αὐτοῦ, αὕτη δὲ ἦν ἡ τοῦ Ἰούδα· ἔπειτα ἐκ τοῦ δήμου καὶ τῆς αὐτῆς πατριᾶς, αὕτη δὲ ἦν ἡ τοῦ Δαβίδ· τοιαῦτα γὰρ ἦν τὰ τοῦ νόμου παραγγέλματα· ὅτε τοίνυν ὁ Ἰωσὴφ φυλῆς γεγονὼς ἀποδείκνυται Ἰούδα, κλήρου τε καὶ πατριᾶς Δαβίδ, πῶς οὐχ ἕπεται καὶ τῇ Μαρίᾳ ἐκ τῶν αὐτῶν ὁρᾶσθαι;

η'. Εἰ δὲ λέγοιτο ὑπάρχειν συγγενὴς τῆς Ἐλισάβετ, αὐτῆς μὲν οὔσης ἐκ φυλῆς Ἰούδα, τῆς τε Ἐλισάβετ ἐκ τῆς τοῦ Λευΐ, μὴ θαυμάσῃς· πᾶν γὰρ τὸ Ἰουδαίων ἔθνος ἑνὸς ἦν γένους, αἵ τε φυλαὶ πᾶσαι ἀλλήλων συγγενεῖς· ἔνθεν καὶ ὁ θεῖος Ἀπόστολος συγγενεῖς αὐτοῦ πάντας ὀνομάζει Ἰουδαίους, λέγων· «Ηὐχόμην γὰρ ἀνάθημα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται·[1]» καίτοι συγγενεῖς αὐτοῦ ἐτύγχανον μόνον ἐκ φυλῆς Βενιαμίν· οὐκοῦν πάντας ἁπλῶς τοὺς ἐξ Ἰσραὴλ ἀδελφοὺς καὶ συγγενεῖς ἑαυτοῦ προσεῖπεν ὁ Παῦλος· οὕτω δ' οὖν καὶ τὴν Ἐλισάβετ συγγενίδα προσεῖπεν ὁ ἄγγελος τῇ Μαριάμ, διὰ τὸ ἄμφω Ἰσραηλίτιδας εἶναι· καὶ ἄλλως δὲ εἰκὸς ἀπὸ τόπου συγγενίδα τῆς Μαρίας κεκλῆσθαι τὴν Ἐλισάβετ, διὰ τὸ οἰκεῖν ἐπὶ τῆς Ἰούδα φυλῆς ἀφ' ἧς ὡρμᾶτο ἡ Μαρία· μαρτυρεῖ γοῦν ὁ Λουκᾶς λέγων· «Ἀναστᾶσα δὲ Μαριὰμ ἐν ταῖς ἡμέ-

1. Ῥωμ. 9, 3.

ραις ταύταις, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου καὶ ἠσπάσατο τὴν Ἐλισάβετ·[1]» τοῦ γὰρ Μωϋσέως νόμου μὴ ἀφορίσαντος τῇ τῶν ἱερέων φυλῇ κλῆρον, ὅτι Κύριος ὁ Θεὸς μερὶς αὐτῶν, διαταξαμένου δὲ μεταξὺ τῶν λοιπῶν φυλῶν οἰκεῖν αὐτούς, τοῦ τε Ζαχαρίου καὶ τῆς Ἐλισάβετ πόλιν φυλῆς Ἰούδα κατοικησάντων, ἀφ' ἧς ὡρμᾶτο Μαρία, εἰκὸς καὶ ταύτης ἕνεκεν τῆς αἰτίας συγγενεῖς αὐτὰς ἀνειρῆσθαι· οὐκ ἀπεικὸς δὲ καὶ τῆς ὁμοιοτροπίας χάριν, δι' ἧς ἄμφω τῆς σωτηρίου οἰκονομίας ἠξιώθησαν, ἡ μὲν τὸν Σωτῆρα, ἡ δὲ τὸν πρόδρομον τοῦ Σωτῆρος ὑποδεξάμεναι, ἑνός τε καὶ τοῦ αὐτοῦ ἁγίου Πνεύματος μετασχοῦσαι· διὸ καὶ μάλιστα μιᾶς τῆς κατὰ Θεὸν συγγενείας μετεῖχον. Ἀλλὰ τοῦτο μὲν οὕτως ἀπολυτέον.

θ'. Εἰ δὲ κεφαλὴ τῆς γυναικὸς τυγχάνει ὁ ὢν ἀνήρ, κατὰ τὸν θεῖον Ἀπόστολον[2], καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν[3], κατὰ τὸν Μωϋσέως νόμον, ἥ τε μεμνηστευμένη ἀνδρὶ διαμαρτοῦσα μοιχείας κατὰ τὸ αὐτὸ τιμωρίαν ὑπομένει, ὡς ἤδη τοῦ μνηστῆρος σῶμα γενομένη καὶ κεφαλὴν ἐπιγραψαμένη τὸν ἄνδρα, πῶς οὐχὶ τῆς κεφαλῆς γενεαλογουμένης, ἕπεται καὶ τὸ σῶμα τῇ κεφαλῇ συναριθμεῖσθαι; ὥστε καὶ τὴν Μαρίαν ἤδη συνημμένην τῷ Ἰωσήφ, εἰκότως συναντιλαμβάνεσθαι τῆς γενεαλογίας ὅτε μάλιστα τῆς αὐτῆς αὐτῷ φυλῆς οὐ μόνον, ἀλλὰ καὶ δήμου καὶ πατριᾶς ἀποδέδεικται γενομένη· καὶ ἄλλως δὲ ἐν τῷ πρὸς αὐτὴν χρηματισμῷ θεσπίζων ὁ Γαβριὴλ μετὰ τῶν ἄλλων εἴρηκε· «Καὶ δώσει αὐτῷ ὁ Θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ·[4]» σαφῶς διδάσκων ὅτι τοῦ ἐξ αὐτῆς γενησομένου προπάτωρ ἦν ὁ Δαβίδ· πῶς γὰρ ἄλλως εἰκὸς ἦν ταῦτα τῇ παρθένῳ φάναι τὸν ἄγγελον, ἢ συνομολογοῦντα ἐκ τοῦ Δαβὶδ εἶναι; οὐ γὰρ ἂν μὴ ἐκ Δαβὶδ τυγχανούσῃ εἰρήκει τό, «Δώσει αὐτῷ ὁ Θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ·» ποίου γὰρ πατρός; εἰκότως ἂν ἤρετο ἡ παρθένος, ὁμολογοῦσα μὲν ὅτι ἄνδρα οὐ γινώσκει, μαθοῦσα δὲ ὅτι ἐκ Πνεύματος ἁγίου συλλήψεται, εἰ μὴ ὅτι σαφὴς ἦν ὁ λόγος πρὸς θυγατέρα Δαβὶδ λεγόμενος· ἔνθεν εἰκότως φησὶν ὁ Λουκᾶς· «Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἐκ τῆς Γαλιλαίας ἐκ πόλεως Ναζαρὲθ εἰς τὴν Ἰουδαίαν ἀπογράψασθαι εἰς πόλιν Δαβὶδ ἥτις καλεῖται Βηθλεέμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ σὺν Μαρίᾳ τῇ μεμνηστευμένῃ αὐτῷ οὔσῃ ἐγκύῳ.[5]» Οὐκέτι γὰρ ἀμφιβόλως ἀναγνωσόμεθα τὴν παροῦσαν λέξιν, ὡς τῆς Μαρίας ἀπογράψασθαι μόνης συνελθούσης, ἀλλ' ὡς καὶ αὐτῆς σὺν τῷ Ἰωσὴφ ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ ὑπαρχούσης, τὰς ἀποδείξεις ἔχοντες τῆς τοιαύτης ἑρμηνείας τοῦ λόγου ἐκ τῶν προαποδεδομένων. Δεδεῖχθαι τοίνυν σαφῶς ἡγοῦμαι, ὅτι μὴ μάτην ὁ Ἰωσὴφ ἐγενεαλογεῖτο παρὰ τοῖς θαυμασίοις τοῦ

---

1. Λουκ. 1, 39-40. 2. Ἐφ. 5, 23. 3. Γεν. 2, 24. 4. Λουκ. 1, 32. 5. Λουκ. 2, 4-5.

Σωτῆρος ἡμῶν ἀποστόλοις, καὶ ὅπως ἡ Μαρία ἐκ σπέρματος οὖσα τοῦ Δαβὶδ συνίσταται, ὅ τε ἐξ αὐτῆς γεγεννημένος Ἰησοῦς ὁ Χριστὸς τοῦ Θεοῦ.

Β'.

«Διὰ τί ὁ μὲν ἄνωθεν ἀπὸ τοῦ Ἀβραὰμ ἀρξάμενος κατάγει τὴν γενεαλογίαν· ὁ δὲ κάτωθεν ἄνεισι, κοὐκ ἐπὶ τὸν Ἀβραὰμ ἵσταται, ἀλλ' ἐπὶ τὸν Ἀδὰμ καὶ τὸν Θεόν.»

α'. Τὸ δεύτερον τῶν ὑπὸ σοῦ προταθέντων τοῦτο ἦν· ὁ μὲν Ματθαῖος ἀπὸ τοῦ Ἀβραὰμ κατάγει τὴν γενεαλογίαν, ὁ δὲ Λουκᾶς τὴν ἐναντίαν τούτου βαδίσας, ἤρξατο μὲν ἀπὸ τοῦ Ἰωσήφ, ἀνάγει δὲ ἐπὶ τὸν Ἀδὰμ καὶ τὸν Θεόν· δέον, εἴ γε σύμφωνα καὶ συνῳδὰ ἀλλήλοις ἔγραφον, ἢ τὸν Λουκᾶν ἀνιόντα μέχρι τοῦ Ἀβραὰμ στῆναι, ἢ τὸν Ματθαῖον μὴ ἀπὸ τοῦ Ἀβραάμ, ἀλλ' ἀπὸ τοῦ Ἀδάμ, εἰς ὃν κατέληξεν ὁ Λουκᾶς, ἀπάρξασθαι τῆς γενεαλογίας. — Ῥᾳδία δὲ καὶ τούτων ἡ λύσις, καὶ οὐδὲ πολλῆς κατασκευῆς δεομένη, μίαν ἀμφοτέροις ὁδὸν πορευθεῖσιν· ἐπεὶ καὶ τοὺς ἀνάντη καὶ ὄρθιον πορείαν ἀνιόντας, καὶ τοὺς ἔμπαλιν διὰ τῆς αὐτῆς κατιόντας, οὐκ ἄν τις ἑτέραν φαίη βαδίζειν, μιᾶς ἀμφοτέροις ἐγκειμένης, τοῖς τε ἀνιοῦσι καὶ τοῖς κατιοῦσι, τρίβου· τὸν αὐτὸν γοῦν τρόπον καὶ ἐπὶ τῆς τῶν γενῶν διαδοχῆς πάρεστιν· οὗτος δὲ πόρρωθεν Ἑβραίοις φίλος ἦν ὁ τρόπος, καὶ τῶν θείων συνήθης Γραφῶν· αὐτίκα γοῦν ἐν μὲν τῇ βίβλῳ τῆς Ῥοὺθ Δαβὶδ ἄνωθεν ἀπὸ τοῦ Ἰούδα γενεαλογεῖται διὰ τούτων· «Καὶ αὗται αἱ γενέσεις Φαρὲς (ὁ δὲ ἦν Ἰούδα τοῦ ἀρχιφύλου παῖς)· Φαρὲς ἐγέννησε τὸν Ἐσρώμ· καὶ Ἐσρὼμ ἐγέννησε τὸν Ἀράμ· καὶ Ἀρὰμ ἐγέννησε τὸν Ἀμιναδάβ· καὶ Ἀμιναδὰβ ἐγέννησε τὸν Ναασσών· καὶ Ναασσὼν ἐγέννησε τὸν Σαλμών· καὶ Σαλμὼν ἐγέννησε τὸν Βοόζ· καὶ Βοὸζ ἐγέννησε τὸν Ὠβήδ· καὶ Ὠβὴδ ἐγέννησε τὸν Ἰεσσαί· καὶ Ἰεσσαὶ ἐγέννησε τὸν Δαβίδ.[1]» Τοῦτον δ' οὖν αὐτὸν τέθειται καὶ ὁ Ματθαῖος τὸν τρόπον

β'. Ἡ δέ γε πρώτη τῶν Βασιλειῶν ἑξῆς διαδεξαμένη τῆς Ῥοὺθ τὴν γραφήν, ἀπὸ τῶν κάτωθεν ἄνεισιν, ὥσπερ οὖν πεποίηκεν ὁ Λουκᾶς· τὸν γοῦν πατέρα τοῦ Σαμουὴλ τὸν Ἑλκανᾶ γενεαλογοῦσα ὧδέ φησι· «Καὶ ἐγένετο ἄνθρωπος ἐξ Ἀρμαθαὶμ Σουφεὶρ ἐξ ὄρους Ἐφραΐμ καὶ ὄνομα αὐτῷ Ἑλκανᾶ, υἱὸς Ἱερεμιήλ, υἱοῦ Ἐλίου, υἱοῦ Θοοῦ, υἱοῦ Σοὺρ, Ἐφραταῖος.[2]» Ἀλλὰ καὶ ἐν τοῖς Παραλειπομένοις ποτὲ μὲν ἀπὸ τῶν πρώτων ἐπὶ τοὺς δευτέρους καθεξῆς πρόεισιν ὁ λόγος, τῇ τοῦ Ματθαίου γραφῇ παραπλησίως, ποτὲ δὲ ἐμφερῶς τῷ Λουκᾷ γενεαλογεῖ· ἄκουσον γοῦν καὶ τῶνδε· «Δαβίδ», φησίν, «ἦν υἱὸς Σολομῶν, υἱὸς Σολομῶν Ῥοβοάμ, Ἀβιὰ υἱὸς αὐτοῦ, Ἀσὰ υἱὸς αὐτοῦ, Ἰωσαφὰτ υἱὸς αὐτοῦ, Ἰωρὰμ υἱὸς αὐτοῦ, Ὀχοζίας υἱὸς αὐτοῦ, Ἰωὰς υἱὸς αὐτοῦ, Ἀμασίας υἱὸς αὐτοῦ·[3]» καὶ οὕτω καθεξῆς κάτεισι μέχρι τοῦ Ἰεχο-

1. Ῥοὺθ 4, 18-22. 2. Α' Βασ. 1, 1. 3. Α' Παρλ. 3, 10-11.

νίου καὶ τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας, ὡς ὁ Ματθαῖος. Ὡς δὲ ὁ Λουκᾶς, ἡ αὐτὴ πάλιν ἄνεισι Γραφὴ τὸν Σαμουὴλ γενεαλογοῦσα· φησὶ γοῦν· «Σαμουὴλ υἱοῦ Ἑλκανᾶ, υἱοῦ Ἱεροβοάμ, υἱοῦ Ἡλιήλ, υἱοῦ Θοοῦ, υἱοῦ Σούρ, υἱοῦ Ἑλκανᾶ, υἱοῦ Ἰωήλ, υἱοῦ Ἀζαρίου, υἱοῦ Σοφονίου, υἱοῦ Ὀαάρ, υἱοῦ Ἀσείρ, υἱοῦ Ἀβιάσαρ, υἱοῦ Κορέ, υἱοῦ Ἰσαάρ, υἱοῦ Καάθ, υἱοῦ Λευΐ, υἱοῦ Ἰσραήλ·[1]» καὶ ὅρα εἰ μὴ ἄντικρυς τὸν ὅμοιον τούτοις μεμίμηται τρόπον ὁ Λουκᾶς· μυρία δ' ἂν καὶ αὐτὸς εὕροις τοιαῦτα· ἀφ' ὧν λείπεται ὁμολογεῖν, μηδὲν ξενίζον πεποιηκέναι τοὺς τοῦ Σωτῆρος ἡμῶν εὐαγγελιστάς· οὐκ ὀρθῶς γὰρ οἴεταί τις αὐτοὺς διαφωνεῖν· ἑκάτερος γὰρ οἰκείῳ λογισμῷ τὴν ἔκθεσιν πεποίηται τῆς γραφῆς, ὁ μὲν ἀπὸ τοῦ Ἀβραὰμ ἀρξάμενος διὰ τὴν οἰκονομίαν τοῦ παρ' αὐτῷ λόγου, ὃν οὐ καιρὸς νῦν ἑρμηνεύειν· ὁ δὲ καὶ τὸν Ἀβραὰμ ὑπερβὰς ἐπί τε τὸν πρῶτον ἄνθρωπον ἀνελθών· καὶ μηδὲ μέχρι τούτου στάς, τὸν πάντα δὲ λόγον ἐπὶ τὸν Θεὸν ἀναρτήσας, διὰ τῆς ἐν Χριστῷ παλιγγενεσίας μυστήριον ἀναβιβάζει.

Γ'.

«Πῶς ὁ μὲν Ματθαῖος ἀπὸ τοῦ Δαβὶδ καὶ Σολομῶνος διαδόχων ἐπὶ Ἰακὼβ καὶ Ἰωσὴφ τὰ γένη κατάγει· ὁ δὲ Λουκᾶς ἀπὸ Δαβὶδ καὶ Νάθαν παίδων ἐπὶ Ἡλὶ καὶ Ἰωσήφ, ἐναντίως γενεαλογῶν τῷ Ματθαίῳ.»

α'. Τὸ τρίτον τῶν προταθέντων καιρὸς ἐπισκέψασθαι· ἀτενὲς οὖν ταῖς λέξεσιν αὐταῖς ἐπερείσωμεν τὴν ἑαυτῶν διάνοιαν· ἴδωμεν δὲ τί φησιν ὁ Λουκᾶς· «Καὶ αὐτὸς ὁ Ἰησοῦς ἦν ἀρχόμενος ὡσεὶ ἐτῶν τριάκοντα, ὢν υἱός, ὡς ἐνομίζετο, τοῦ Ἰωσήφ, τοῦ Ἡλί, τοῦ Μελχί.» Ἀλλ' οὐχ ὅ γε Ματθαῖος ἐχρήσατο τῇ, «ὡς ἐνομίζετο» φωνῇ· ἀλλὰ τί φησι; «Ματθὰν δὲ ἐγέννησε τὸν Ἰακώβ, Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰωσήφ·» ἄλλο δὲ δήπου ἐστὶ τὸ νομίζειν, καὶ ἄλλο τὸ οὕτως ἔχειν διαβεβαιοῦσθαι· εἰ μὲν δὴ τοῦ Ματθαίου διαβεβαιωσαμένου τὸν Ἰωσὴφ υἱὸν εἶναι Ἰακὼβ καὶ τοῦ Ματθάν, ὁ Λουκᾶς ὁμοίως διισχυρίσατο τὸν Ἰωσὴφ γεγονέναι υἱὸν τοῦ Ἡλὶ καὶ τοῦ Μελχί, ἀληθῶς μάχη τις ἦν καὶ πόλεμος, καὶ ἦν τῶν διαιτησόντων αὐτοῖς χρεία· νῦν δὲ ὅτε, τοῦ Ματθαίου διαβεβαιωσαμένου, ὁ Λουκᾶς οὐ διατείνεται, δόξαν δὲ παρὰ τοῖς πολλοῖς νενομισμένην τίθησιν, οὐ τὴν παρ' αὐτῷ κρατοῦσαν, οἶμαι μηδεμίαν ὑπολείπεσθαι ζήτησιν.

β'. Διαφόρων γὰρ παρὰ Ἰουδαίοις ὑπολήψεων περὶ τοῦ Χριστοῦ κεκρατημένων, καὶ πάντων μὲν συμφώνως ἐπὶ τὸν Δαβὶδ ἀναγόντων, διὰ τὰς πρὸς τὸν Δαβὶδ τοῦ Θεοῦ ἐπαγγελίας, ἤδη δὲ τῶν μὲν ἀπὸ Δαβὶδ καὶ Σολομῶνος καὶ τοῦ βασιλικοῦ γένους πειθομένων ἔσεσθαι τὸν Χριστόν, τῶν δὲ ταύτην μὲν φευγόντων τὴν δόξαν, διὰ τὸ πλείστην ἐμφέρεσθαι τῶν βεβασιλευκότων κατηγορίαν, διά τε τὸ ἐκκήρυκτον

1. Α' Παρλ. 6, 18-23.

ὑπὸ τοῦ προφήτου Ἱερεμίου γεγονέναι τὸν Ἰεχονίαν, καὶ διὰ τὸ εἰρῆσθαι μὴ ἀναστήσεσθαι ἐξ αὐτοῦ σπέρμα καθήμενον ἐπὶ θρόνου Δαβίδ, διὰ δὲ οὖν ταῦτα, ἑτέραν ὁδευόντων, καὶ ἀπὸ μὲν Δαβὶδ ὁμολογούντων, οὐ μὴν διὰ Σολομῶνος, ἀλλὰ διὰ Νάθαν, ὅς ἦν τοῦ Δαβὶδ παῖς (φασὶ δὲ τὸν Νάθαν καὶ προφητεῦσαι κατὰ τὰ ἐν ταῖς Βασιλείαις φερόμενα, ἀπό τε τοῦ Νάθαν διαδόχων προελεύσεσθαι τὸν Χριστὸν διαβεβαιουμένων, καὶ τόν γε Ἰωσὴφ ἐκεῖθέν ποθεν γενεαλογούντων, σφόδρα ἀναγκαίως ὁ Λουκᾶς τὴν τούτων ἀνιστορῶν δόξαν, ἀλλ' οὐ τὴν αὐτοῦ, προσέθηκε τῇ κατ' αὐτὸν ἱστορίᾳ τὸ «ὡς ἐνομίζετο·» τῷ Ματθαίῳ παραχωρήσας μὴ τό, ὡς ἐνομίζετο, ἱστορεῖν, ἀλλ' ὡς εἶχεν ἀληθείας τὰ τῆς γενέσεως· αὕτη μὲν οὖν ἡ πρώτη ἀπόδοσις.

γ'. Εἴη δ' ἄν τις καὶ ἄλλος βαθὺς καὶ ἀπόρρητος ἐν τοῖς προκειμένοις λόγος· Ματθαῖος μὲν γὰρ ὁμολογουμένως τὴν ἔνσαρκον γένεσιν ἱστορῶν τοῦ Χριστοῦ, καὶ τὸν Ἰωσὴφ ἀποδεῖξαι βουλόμενος ἀληθῶς ἐκ Δαβίδ, ὅθεν ἐχρῆν τῇ εἰσβολῇ κέχρηται τοῦ λόγου· τὸν δὲ Λουκᾶν ἡγοῦμαι μὴ τὴν κατὰ σάρκα γένεσιν τοῦ Ἰησοῦ γενεαλογεῖν ἐθέλοντα, νῦν τοῦτο πεποιηκέναι· τοῦτο μὲν γὰρ εἰ κατὰ γνώμην ἔπραττεν, οὐκ ἠγνόει ὅτι ἐχρῆν ταύτην ἐκθέσεσθαι· ἐπειδὴ δὲ νῦν τῆς διὰ λουτροῦ ἀναγεννήσεως μέμνηται, υἱὸν αὐτὸν εἰσάγων Θεοῦ, βούλεται ὡς ἐν ὑποδείγματι παραστῆσαι ὅτι δὴ πᾶς ὁ ἐν Θεῷ ἀναγεννώμενος, κἂν ἀληθῶς υἱὸς εἶναι ἀνθρώπων νομίζοιτο δι' ἣν περίκειται σάρκα, ἀλλ' οὐχ ἵσταταί γε αὐτῇ τὰ τῆς γενέσεως εἰς τοὺς κατὰ σάρκα γονεῖς, οὐδὲ μέχρι τῶν τοῦ σώματος προπατόρων φθάνει· ἀλλ' εἰ καὶ νομίζοιτο ἀνθρώπων εἶναι υἱὸς διὰ τὴν τοῦ σώματος γέννησιν, ὅμως δ' οὖν οὐκ ἀλλότριος τῆς τοῦ Θεοῦ υἱοθεσίας ὑφέστηκεν· ἐπειδὴ δὲ οὖν οὐ κατὰ τὴν αὐτὴν τῷ Ματθαίῳ διάνοιαν ἐξετίθετο τὴν διήγησιν, εἰκότως τὸν αὐτὸν ἐκείνῳ καιρὸν ὑπερβάς, ἐπὶ τὴν ἀναγέννησιν τὴν διὰ λουτροῦ παραγίνεται· καὶ ἐνταῦθα τὴν ἐναντίαν ἐκτίθεται τῶν γενῶν διαδοχήν· ὁμοῦ καὶ ἀνάγων ἀπὸ τῶν ὑστάτων ἐπὶ τὰ πρῶτα, ὁμοῦ καὶ τὴν μνήμην τῶν παρὰ τῷ Ματθαίῳ ὑπαιτίων καὶ ἁμαρτωλῶν ἀνδρῶν ἀποσειόμενος· ἐπειδήπερ ὁ παρὰ τῷ Θεῷ ἀναγεγεννημένος, ἀλλότριος καθίσταται τῆς ἐνσάρκου γενέσεως καὶ τῶν κατὰ σάρκα ἁμαρτωλῶν πατέρων, υἱὸς ἀποφαινόμενος Θεοῦ, καὶ πάντων τῶν κατὰ Θεὸν ἀνεπιλήπτως βεβιωκότων.

δ'. Οἷον, ὡς ἐπὶ παραδείγματος, Παῦλος ὁ ἀπόστολος ἐχέτω μὲν κατὰ σάρκα πατέρα Ἰουδαῖον ὅντινα ὡς εἰκὸς ἄπιστον· ἐχέτω δὲ καὶ κατὰ Θεόν, οὗ κατὰ τοὺς τρόπους ἐβίου· εἰ δὲ οὖν μέλλει τις αὐτὸν κατὰ σάρκα γενεαλογεῖν, τίνος εἰκότως ἂν ἐμνήσθη, ἢ πάντως που τοῦ κατὰ σάρκα πατρός; Εἰ δ' αὖ πάλιν ἕτερος τὴν ἐν Χριστῷ γένεσιν αὐτοῦ δηλοῦν ἐθέλοι, τίνος ἂν τὴν μνήμην θείη ἂν εἰκότως, ἢ πάντως τοῦ κατὰ Θεὸν αὐτὸν ἀναγεννήσαντος; Οὕτω καὶ τῷ Ἀβραὰμ εἴρηται· «Σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου ταφεὶς ἐν γήρᾳ καλῷ·[1]»

---

1. Γεν. 15, 15.

οὐ δήπου τοὺς κατὰ σάρκα πατέρας δηλοῦντος τοῦ λόγου, εἰ μὴ καὶ θεοσεβεῖς λέγοιντο γεγονέναι, τοὺς δὲ ἐν Θεῷ πατέρας διὰ τὴν τῆς εὐσεβείας ὁμοιοτροπίαν αἰνιττομένου· οὕτω καὶ οἱ ἐξ Ἀβραάμ, ἀσεβεῖς ἦσαν μὲν κατὰ σάρκα οἱ υἱοὶ Ἀβραάμ, κατὰ δὲ τὸν τρόπον, υἱοὶ Σοδόμων καὶ Γομόρρας· διὸ λέγεται πρὸς αὐτούς· «Ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων, προσέχετε νόμον Θεοῦ, λαὸς Γομόρρας·[1]» ὡς αὖ πάλιν ἐξ ὧν ἤμελλεν υἱοὶ Ἀβραὰμ γίγνεσθαι· οἱ γοῦν ἐξ ἐθνῶν εἰς τὸν Χριστὸν τοῦ Θεοῦ πεπιστευκότες, κατὰ σάρκα πατέρων ἀλλοφύλων φύντες, υἱοὶ γεγόναμεν Ἀβραάμ, Χριστοῦ γενόμενοι παῖδες καὶ τῶν Χριστοῦ μαθητῶν· ὥστε καὶ δευτέραν ἡμᾶς ἐπιγράφεσθαι γένους διαδοχὴν πολὺ κρείττονα τῆς κατὰ σάρκα διὰ τὴν κατὰ Χριστὸν ἀναγέννησιν.

ε'. Εἰκότως τοιγαροῦν καὶ ὁ Λουκᾶς, ἅτε τὴν ἀναγέννησιν ἱστορῶν, οὐ τὴν αὐτὴν ὁδεύει τῷ Ματθαίῳ, οὐ τοῦ Σολομῶνος καὶ τῆς τοῦ Οὐρίου, οὐ τῆς Θάμαρ, οὐ τῆς Ῥούθ, οὐ τοῦ Ἰεχονίου καὶ τῶν μεταξὺ διαβεβλημένων ἀνδρῶν τὴν παράθεσιν πεποίηται, ἀλλὰ δι' ἑτέρων ἀνεπιλήπτων ἄνεισι, καὶ δὴ καὶ ἐκ τοῦ προφήτου Νάθαν ἀναγεγεννημένον εἰσάγει· καὶ ὁ μὲν παρὰ τῷ Ματθαίῳ κατὰ σάρκα γεγεννημένος, υἱὸς ἦν Ἀβραὰμ ἐντεῦθεν γενεαλογούμενος, ἐπειδήπερ τῷ Ἀβραὰμ πρώτῳ ἡ ἐπαγγελία δέδοτο τῆς τῶν ἐθνῶν εὐλογίας, οὐκ ἄλλως ἢ διὰ τοῦ ἐκ σπέρματος αὐτοῦ προελευσομένου γενησομένης· ὁ δὲ ἐν Θεῷ ἀναγεγεννημένος, ἑτέρους πατέρας τοὺς κατὰ Θεὸν ἐπιγραψάμενος, οὐδ' αὐτοὺς ἀληθῶς ἐσχηκώς, ἀλλ' ὡς ἐνομίζετο διὰ τὴν τῶν ἠθῶν ὁμοιοτροπίαν, ἄνεισιν ἐπὶ τὸν ἀληθῆ πατέρα, μετὰ πάντας χρηματίσας Υἱὸς τοῦ Θεοῦ.

Δ'.

«Ἀφρικανοῦ περὶ τῆς ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις γενεαλογίας.»

α'. Οἱ μὲν οὖν ἤτοι τὴν εὐαγγελικὴν ἱστορίαν ἠγνοηκότες ἢ συνεῖναι μὴ δυνηθέντες, δοξολογούσῃ πλάνῃ τὴν ἀγνωσίαν ἐπύκνωσαν εἰπόντες ὅτι δικαίως γέγονεν ἡ διάφορος αὕτη τῶν ὀνομάτων καταρίθμησίς τε καὶ ἐπιμιξία τῶν τε ἱερατικῶν ὡς οἷόν τε καὶ τῶν βασιλικῶν· ἵνα δειχθῇ δικαίως ὁ Χριστὸς ἱερεύς τε καὶ βασιλεὺς γενόμενος· ὥσπερ τινὸς ἀπειθοῦντος ἢ ἑτέραν ἐσχηκότος ἐλπίδα· ὅτι Χριστὸς ἀΐδιος μὲν ἀρχιερεὺς Πατρός, τὰς ἡμετέρας πρὸς αὐτὸν εὐχὰς ἀναφέρων, βασιλεὺς δ' ὑπερκόσμιος, οὓς ἠλευθέρωσε νέμων τῷ Πνεύματι, συνεργὸς εἰς τὴν διακόσμησιν τῶν ὅλων γενόμενος· καίτοι ἀγνοεῖν αὐτοὺς οὐκ ἐχρῆν ὡς ἑκατέρα τῶν κατηριθμημένων τάξις τὸ τοῦ Δαβὶδ ἐστι γένος ἡ τοῦ Ἰούδα φυλὴ βασιλική· εἰ γὰρ προφήτης ὁ Νάθαν, ἀλλ' ὅμως καὶ Σολομῶν ὅ τε τούτων πατὴρ ἑκατέρου· ἐκ πολλῶν δὲ φυλῶν ἐγένοντο προφῆται, ἱερεῖς δὲ οὐ δεῖνες τῶν δώδεκα φυλῶν, μόνοι δὲ

1. Ἠσ. 1, 10.

λεῦται· μάτην ἄρα πέπλασται τὸ ἐψευσμένον· μὴ δὴ κρατοίη τοιοῦτος λόγος ἐν Ἐκκλησίᾳ Χριστοῦ καὶ Θεοῦ πατέρων ἀκριβοῦς ἀληθείας, ὅτι ψεῦδος σύγκειται εἰς αἶνον καὶ δοξολογίαν Χριστοῦ.

β΄. Ἵνα οὖν καὶ τοῦτο μὲν τοῦ εἰρηκότος ἐλέγξωμεν τὴν ἀμαθίαν, παύσωμεν δὲ τοῦ μηδένα ὑπ' ἀγνοίας σκανδαλισθῆναι, τὴν ἀληθῆ τῶν γεγονότων ἱστορίαν ἐκθήσομαι. Ἐπειδὴ γὰρ τὰ ὀνόματα τῶν γενῶν ἐν Ἰσραὴλ ἠριθμεῖτο ἢ φύσει ἢ νόμῳ· φύσει μέν, γνησίου σπέρματος διαδοχῇ· νόμῳ δέ, ἑτέρου παιδοποιουμένου εἰς ὄνομα τελευτήσαντος ἀδελφοῦ ἀτέκνου· ὅτι γὰρ οὐδέπω αὐτοῖς δέδοτο ἐλπὶς ἀναστάσεως σαφής, τὴν μέλλουσαν ἐπαγγελίαν ἀναστάσει ἐμιμοῦντο θνητῇ, ἵνα ἀνέκλειπτον τὸ ὄνομα μείνῃ τοῦ μετηλλαχότος· ἐπεὶ οὖν οἱ τῇ γενεαλογίᾳ ταύτῃ ἐμφερόμενοι, οἱ μὲν διεδέξαντο παῖς πατέρα γνησίως, οἱ δὲ ἑτέροις μὲν ἐγεννήθησαν, ἑτέροις δὲ προσετέθησαν κλήσει, ἀμφοτέρων γέγονεν ἡ μνήμη καὶ τῶν γεγεννηκότων καὶ τῶν ὡς γεγεννηκότων· οὕτως οὐδέτερον τῶν Εὐαγγελίων ψεύδεται καὶ φύσιν ἀριθμοῦν καὶ νόμον· ἐπεπλάκη γὰρ ἀλλήλοις τὰ γένη τά τε ἀπὸ Σολομῶνος καὶ τοῦ Νάθαν, ἀναστάσεσιν ἀτέκνων καὶ δευτερογαμίαις καὶ ἀναστάσει σπερμάτων· ὡς δικαίως τοὺς αὐτοὺς ἄλλοτε ἄλλων νομίζεσθαι· τῶν μὲν δοκούντων πατέρων, τῶν δὲ ὑπαρχόντων· καὶ ἀμφοτέρας τὰς διηγήσεις κυρίως ἀληθεῖς οὔσας ἐπὶ τὸν Ἰωσὴφ πολυπλόκως μέν, ἀλλ' ἀκριβῶς κατελθεῖν. Ἵνα δὲ σαφὲς ᾖ τὸ λεγόμενον, τὴν ἐπαλλαγὴν τῶν γενῶν διηγήσομαι. Ἡ κατὰ φύσιν γένεσις ἐστι Ματθαίου· ἡ κατὰ νόμον ἀνάστασις γένους, ἔστιν ἡ τοῦ Λουκᾶ· Ματθὰν ὁ ἀπὸ Σολομῶνος, ἐγέννησε τὸν Ἰακώβ· Ματθὰν ἀποθανόντος, Μελχὶ ὁ ἀπὸ Νάθαν ἐκ τῆς αὐτῆς γυναικὸς ἐγέννησε τὸν Ἡλί· ὁμομήτριοι ἄρα ἀδελφοί, Ἡλὶ καὶ Ἰακώβ· Ἡλὶ ἀτέκνου ἀποθανόντος, ὁ Ἰακὼβ ἀνέστησεν αὐτῷ σπέρμα, γεννήσας τὸν Ἰωσήφ, κατὰ φύσιν μὲν ἑαυτῷ, κατὰ νόμον δὲ τῷ Ἡλί· οὕτως ἀμφοτέρων υἱὸς Ἰωσήφ.

Ε΄.

«Διὰ τί ὁ Ματθαῖος τοῦ Ἀβραὰμ προτάττει τὸν Δαβὶδ ἐν τῇ τοῦ Χριστοῦ γενεαλογίᾳ φήσας· Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβίδ, υἱοῦ Ἀβραάμ.»

α΄. Ἐπειδὴ πρώτῳ καὶ μόνῳ τῷ Δαβὶδ μεθ' ὅρκου διαβεβαιώσεως, ἐξ αὐτοῦ κατὰ σάρκα φῦναι ὁ Χριστὸς ἐθεσπίζετο· γέγραπται οὖν· «Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου.[1]» Καὶ πάλιν· «Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου· ὤμοσα Δαβὶδ τῷ δούλῳ μου· ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου.[2]» Καὶ τὰ μὲν τῆς ἐπαγγελίας τοῦ προφητευομένου, τοιαῦτα ἦν· τοῦ δὲ Σολομῶνος τῆς βασιλείας οὐκ ἄδηλος ὁ χρόνος· λέγεται δὲ οὖν ἐπὶ μόνοις ἔτεσι τεσσαράκοντα

1. Ψαλμ. 131, 11. 2. Ψαλμ. 88, 4-5.

βασιλεῦσαι ἐπὶ τὸν Ἰσραήλ· πῶς οὖν γένοιτ' ἂν ἀληθὲς εἰς αὐτὸν ἀναφερόμενον· «Ἀνορθώσω τὸν θρόνον αὐτοῦ εἰς τὸν αἰῶνα;[1]» Ἀλλ' εἰ λέγοι τις περὶ τῆς ἐξ αὐτοῦ διαδοχῆς εἰρῆσθαι ταῦτα, οὐκ ἀγνοητέον ὅτι μέχρις Ἰεχονίου· καὶ τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας, καὶ ἡ ἀπὸ Δαβὶδ καὶ Σολομῶνος διαδοχὴ τῆς βασιλείας διήρκησε, μηδενὸς μετὰ τὸν Ἰεχονίαν ἐπὶ τὸν θρόνον τοῦ Δαβὶδ καταστάντος. Θέα δὲ ὡς καὶ τοῦτο προσέθηκεν ἡ προφητεία περὶ τοῦ θεσπιζομένου φήσασα· «Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα· καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν.[2]» Καὶ ἐν ἑτέρῳ πάλιν· «Αὐτὸς ἐπικαλέσεταί με· Πατήρ μου εἶ σύ· κἀγὼ πρωτότοκον θήσομαι αὐτόν·[3]» ὅπερ ἀνοίκειον γένοιτ' ἂν Σολομῶνι.

β'. Παραθετέον δὲ τὰ περὶ αὐτοῦ ἐν Βασιλείαις ἱστορούμενα ἐν τούτοις· «**Καὶ** ὁ βασιλεὺς Σολομῶν ἦν φιλογύνης· καὶ ἔλαβε γυναῖκας ἀλλοτρίας πολλὰς καὶ τὴν θυγατέρα Φαραώ, Μωαβίτιδας, καὶ Ἀμμανίτιδας, καὶ Ἰδουμαίας, Σύρας, Χετταίας, καὶ Ἀμορραίας, ἐκ τῶν ἐθνῶν ὧν ἀπεῖπεν Κύριος ὁ Θεὸς τοῖς υἱοῖς Ἰσραήλ· Οὐκ εἰσελεύσεσθε εἰς αὐτούς.[4]» Οἷς ἐπιφέρει· «Καὶ οὐκ ἦν ἡ καρδία αὐτοῦ τελεία μετὰ Κυρίου Θεοῦ αὐτοῦ, καθὼς ἡ καρδία Δαβὶδ τοῦ Πατρὸς αὐτοῦ.[5]» Καὶ μετὰ βραχύ· «Τότε ᾠκοδόμησε Σολομῶν ὑψηλὸν τῷ Χαμὼς εἰδώλῳ Μωὰβ ἐν τῷ ὄρει ἐπὶ πρόσωπον Ἱερουσαλήμ· καὶ τῷ Μολχὼν εἰδώλῳ υἱῶν Ἀμμών, καὶ τῇ Ἀστάρτῃ βδελύγματι Σιδωνίων· καὶ οὕτως ἐποίησε πάσαις ταῖς γυναιξὶν αὐτοῦ ταῖς ἀλλοτρίαις, αἳ ἐθυμίων καὶ ἔθυον τοῖς εἰδώλοις αὐτῶν· καὶ ὠργίσθη Κύριος ἐπὶ Σολομῶν, ὅτι ἐξέκλινε καρδίαν αὐτοῦ ἀπὸ Κυρίου Θεοῦ Ἰσραήλ.[6]» Εἰ δὲ τὰ τοιαῦτα τοῦ Σολομῶνος κατηγορεῖται, πῶς οὖν ἐφαρμόσεις αὐτῷ τὰ τοῦ ὅρκου, ἐφ' ᾧ εἴρηται πρὸς τοῖς ἄλλοις καὶ τὸ «Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν;» ἀλλὰ γὰρ ἄντικρυς Σολομῶνος μὲν ἀλλότρια ταῦτα· ἀνάγοιτο δ' ἂν ἐπὶ τὸν ἐκ σπέρματος Δαβὶδ ἥξειν θεσπιζόμενον Χριστὸν τοῦ Θεοῦ, ὃς ἐκ σπέρματος Δαβὶδ ἀνέστη.

ϛ'.

«Διὰ τί μετὰ τὸν Δαβὶδ οὐκ ἐπὶ τοὺς ἑξῆς διαδόχους τοῦ γένους κατάγει, ἀνατρέχει δὲ ἐπὶ τὸν Ἀβραάμ, ἀλλ' οὐκ ἐπὶ τὸν Ἀδάμ, οὐδ' ἐφ' ἕτερόν τινα τῶν πάλαι θεοφιλῶν ἀνδρῶν.»

Ἐπειδὴ πρώτῳ πάλιν τῷ Ἀβραὰμ περὶ τῆς κλήσεως τῶν ἐθνῶν διάφοροι ἐδέδοντο χρησμοί· πρὸ γὰρ τῆς Μωϋσέως νομοθεσίας, καὶ πρὸ τοῦ Ἰουδαίων ἔθνους, οὐ μὴν ἀλλὰ καὶ πρὸ τῆς περιτομῆς, ἀλλοεθνὴς ὢν ὁ Ἀβραὰμ καὶ τῆς Χαλδαίων γῆς ὁρμώμενος, ἀπολείπει μὲν τὰ πατρῷα, Θεὸν δὲ γνοὺς τὸν ἐπὶ πάντων, μεμαρτύρηται ὡς ἄρα

---

1. Β' Βασ. 7, 13. 2. Β' Βασ. 7, 14. 3. Ψαλμ. 88, 27, 28. 4. Γ' Βασ. 11, 1-2. 5. Γ' Βασ. 11, 4. 6. Γ' Βασ. 11, 5-9.

ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· δίκαιός τε καὶ θεοφιλὴς ἀποπέφανται, οὐ διὰ περιτομὴν σώματος, οὐδὲ διὰ φυλακὴν ἡμέρας σαββάτου, ἢ ἑορτῶν, νουμηνιῶν, οὐδέ γε δι' ἄλλης τινὸς παρὰ Μωϋσεῖ φερομένης ἐθελοθρησκείας, ἀλλὰ δι' ἐπιγνώσεως τοῦ ἐπὶ πάντων Θεοῦ, ἐπιφανείας δὲ τοῦ ὀφθέντος αὐτῷ Κυρίου (οὗτος δὲ ἦν ὁ ἡμέτερος Σωτήρ, ὁ τοῦ Θεοῦ Λόγος), διά τε σεμνοῦ καὶ ἐναρέτου βίου· τοῦτον δ' οὖν αὐτῷ κατορθοῦντι τῆς θεοσεβείας τὸν τρόπον, ἡ περὶ τῶν ἐθνῶν δέδοτο ἐπαγγελία, ὡς καὶ αὐτῶν ποτε κατὰ τὸν τοῦ Ἀβραὰμ ζῆλον θεοσεβῶν ὄντων καὶ τῆς ἴσης τῷ θεοφιλεῖ καταξιωθησομένων εὐλογίας· ὧν οὕτως ἐχόντων, ἀκόλουθον ἦν τῆς τῶν ἐθνῶν κλήσεως προπάτορα ὄντα τὸν Ἀβραάμ, ὑπὸ τοῦ εὐαγγελιστοῦ δεύτερον παραληφθῆναι μετὰ τὸν Δαβίδ· δυοῖν γὰρ τούτων ἐπιφανῶν ἀνδρῶν πρώτων ἠξιωμένων τῆς τοῦ Θεοῦ ἐπαγγελίας περί τε τῆς τοῦ Χριστοῦ γενέσεως καὶ περὶ τῆς κλήσεως τῶν ἐθνῶν, χρῆναι δήπου τὸ μὲν περὶ τῆς γενέσεως τοῦ πάντων ἀνθρώπων Σωτῆρος τὰς ὑποσχέσεις εἰληφότα, προτιμηθῆναι τῇ τάξει τοῦ τὰς περὶ τῶν ἐθνῶν ἐπαγγελίας καταδεξαμένου· δεύτερον δὲ ἐν τῇ γενεαλογίᾳ παραληφθῆναι τὸν τῶν ἐθνῶν ἀρχηγόν· διόπερ ἡ βίβλος Ἰησοῦ Χριστοῦ πρώτῳ μὲν ἀνάκειται τῷ κατὰ σάρκα Ἰησοῦ Χριστοῦ προπάτορι, δεύτερον δὲ τῷ κατὰ πνεῦμα Πατρὶ τῶν διὰ Χριστοῦ σωθησομένων· ἡγεῖτο γὰρ ὁ σῴζων τῶν σῳζομένων ἐθνῶν.

Ζ'.

«Διὰ τί τῆς Θάμαρ, οὐχὶ δὲ καὶ ἑτέρας ἐπ' ἀγαθοῖς κατορθώμασι μαρτυρουμένης γυναικὸς ἐμνημόνευσεν ὁ Ματθαῖος.»

α'. «Τὴν Θάμαρ εἴ τις ὡς πόρνην διαβάλλειν πειρῷτο, αὐτοῦ δὴ τοῦ Ἰούδα ἐπακουσάτω λέγοντος· «Δεδικαίωται Θάμαρ ἢ ἐγώ, οὗ ἕνεκεν οὐκ ἔδωκα αὐτὴν Σιλὼμ τῷ υἱῷ μου·[1]» οὐ γὰρ δὴ πορνεύειν προθεμένην ἐπὶ τοῦ τέγους ἔστη, λογισμῷ δὲ σεμνῷ παιδοποιΐας χάριν τὸν Ἰούδαν θηρᾶται· οὐκ ἄδηλος δὲ καὶ ἡ αἰτία· ὁ μὲν γὰρ αὐτῇ παρακελεύεται μένειν ἐπ' οἴκου, ἕως μέγας γένηται Σιλὼμ ὁ υἱὸς αὐτοῦ, ὡς αὐτὸς ληψόμενος αὐτήν· ἡ δὲ ἐπείθετο προθύμως, ἄπαις μένουσα καὶ χήρα, τὰς τοῦ Ἰούδα παρεγγυὰς ἐκδεχομένη· ὡς δὲ οὐκ ἐπῆγε ταῖς ἐπαγγελίαις τέλος, τοῦ περὶ παῖδας πόθου τοῖς τότε ἀνθρώποις διὰ σπουδῆς ἀγομένου, καὶ τῆς ἀτεκνίας ἐν ἐσχάτοις κακοῖς παρὰ πᾶσι τότε λελογισμένης, διαψευσάμενον αὐτῇ συνιδοῦσα τὸν Ἰούδαν, καὶ τὰς ἀπὸ τοῦ παιδὸς ἐλπίδας εἰς μάτην παραληφθείσας, αὕτη ἐπιτίθεται τῷ ἀνδρί· οὐ πώποτε νόμου Μωϋσέως, οὐδέ γε προφητῶν, οὐδὲ ἑτέρου τινὸς ἀπαγορεύοντος τὰ τοιαῦτα· κἄπειτα σοφίζεται τὴν ἐξ αὐτοῦ παιδοποιΐαν· μὴ δείξασα γοῦν ἑαυτὴν τίς ποτε ἦν, συνελθεῖν αὐτῷ μηχανᾶται· ὁμοῦ τὸ σῶφρον τὸ ἑαυτῆς, κἀκείνου τὸ ἀκρατὲς

1. Γεν. 38, 26.

ἀπελέγχουσα· ἡ μὲν γὰρ μακροῖς ἔτεσιν αὐτῷ πειθομένη, χήρα καὶ ἄπαις διέμενεν· ἀλλὰ καὶ παρὸν γήμασθαι ἑτέρῳ, καὶ τέκνων μητέρα ἔκ τινος ἀλλογενοῦς καταστῆναι ἀνδρός, οὐ ποιεῖ τοῦτο· τῆς τῶν προγόνων τοῦ Ἰούδα, Ἀβραὰμ καὶ Ἰσαάκ, καὶ δὴ καὶ τῆς τοῦ Ἰσραὴλ συγγενείας ἐφιεμένη· ὁ δὲ χηρεύειν τὴν παῖδα καταλιπών, καὶ κόρην ἄπαιδα ἐπὶ μακροὺς ἀναρτήσας χρόνους, οὐχ οἷός τε ἦν κρατεῖν ἑαυτοῦ μετὰ τὴν τῆς γυναικὸς τελευτήν· ἀλλ' ἅμα τελευτᾷ ἡ τοῦ Ἰούδα γυνή, ὁ δέ, μηδενός πως νόμου τῶν τοιῶνδε ἀπείργοντος, πόρνην ὑπολαβὼν τὴν εἰρημένην, ἡλίσκετο πρὸς αὐτῆς οὐ δίκαια πράττων· ὅτι δὴ τοιοῦτος ὢν αὐτὸς τὴν ἐπὶ μακροῖς ἔτεσι τὰς ὑποσχέσεις ἐκδεξαμένην τὰς αὐτοῦ, φιλόσοφόν τε καὶ σώφρονα βίον ἐπιδεδειγμένην, ἀπεστέρει τοῦ περὶ τὴν παιδοποιΐαν καρποῦ.

β'. Ταύτῃ οὖν τὸν ἄνδρα ὑποδῦσα, ἐκ πρώτης ὁμιλίας διδύμου γονῆς ἐξ αὐτοῦ μήτηρ, τοῦτον αὐτῇ τοῦ Θεοῦ καρπὸν τῆς ἀγαθῆς προθέσεως ἕνεκα δεδωρημένου· παρὸν γὰρ ἄλλοις ἑαυτὴν ἀγαγεῖν, καὶ ἑτέροις ἀλλοφύλοις καὶ ἀσεβέσι συναφθῆναι, τοῦτο μὲν οὐ διενοήθη· τοῦ δὲ τῶν θεοφιλῶν γένους εὐχὴν θεμένη καταξιωθῆναι, καίπερ οὖσα ἀλλόφυλος, τὴν τοσαύτην συνεσκευάσατο δραματουργίαν· οὐ πρότερον δὲ ἡ Θάμαρ ἐτόλμα παρεῖναι ἐπὶ τὴν τοῦ Ἰούδα κοινωνίαν, ἢ ἐκποδὼν γενέσθαι τὴν προτέραν αὐτοῦ γαμετήν· πρὸ τοῦ ταύτης θανάτου οὐχ ὅσιον ἡγουμένη τὸ ἐπιχείρημα· ἔμενε γοῦν παρ' ἑαυτῇ ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτῆς, καίπερ οὖσα ἄτεκνος κἂν μέχρι τέλους ἄπαις διέμενεν, εἰ μὴ τὸν καιρὸν αὐτῇ συλλαβέσθαι ἡγήσατο· διὸ δή, ὡς ἔφην, Θεοῦ καταξιοῦται συνεργοῦ, ὃς ἐκ μιᾶς τοῦ Ἰούδα κοινωνίας, παίδων αὐτῇ διττῶν ἀθρόως ἐδωρήσατο καρπόν· ὁμοῦ περὶ τὴν τῶν παίδων γένεσιν μυστηριώδεις ἐπιτελῶν οἰκονομίας· δι' ἃς καὶ οἶμαι μάλιστα τὸν θαυμάσιον εὐαγγελιστὴν τὴν πᾶσαν μνήμην αὐτῶν τῇ τοῦ Σωτῆρος ἡμῶν συμπεριλαβεῖν γενεαλογίᾳ· διδύμων γὰρ παίδων ἐξ αὐτῆς γενομένων, τοῦ τε Ζαρᾶ καὶ τοῦ Φαρές, οὐ τὰ τυχόντα μοι δοκεῖ ἐκ τῆς τούτων γενέσεως ὁ τῆς Γραφῆς αἰνίττεσθαι λόγος· διὸ καὶ ἀμφοῖν μνημονεῦσαι τὸν Ματθαῖον τῆς τε τούτων μητρὸς εἰπόντα «Ἰούδας δὲ ἐγέννησε τὸν Ζαρᾶ ἐκ τῆς Θάμαρ·» διὰ τί γὰρ οὐκ ἠρκέσθη φάναι, Ἰούδας ἐγέννησε τὸν Φαρές, παραλιπὼν τὸν Ζαρᾶ, ὅπερ πεποίηκεν ἐπὶ τοῦ Ἰακώβ; μόνου γὰρ τοῦ Ἰακὼβ μνησθείς, ἀποσιωπᾷ τὸν Ἠσαῦ.

γ'. Προστίθησι δὲ καὶ ἀπὸ τίνος μητρός, λέγων ἐκ τῆς Θάμαρ, παρακαλῶν ἐπισκέψασθαι τὴν περὶ τούτων ἱστορίαν· γράφει γοῦν ὁ Μωϋσῆς ἐν τῇ Γενέσει λέγων· «Ἐγένετο δὲ ἡνίκα ἔτικτε Θάμαρ, καὶ τῇδε ἦν δίδυμα ἐν τῇ γαστρὶ αὐτῆς· ἐγένετο δὲ ἐν τῷ τίκτειν αὐτήν, ὁ εἷς προεξήνεγκε τὴν χεῖρα· λαβοῦσα δὲ ἡ μαῖα, ἔδησεν ἐπὶ τὴν χεῖρα αὐτοῦ κόκκινον, λέγουσα, οὗτος προεξελεύσεται πρότερος· ὡς δὲ ἐπισυνήγαγε τὴν χεῖρα, εὐθὺς ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ· ἡ δὲ εἶπεν· τί διεκόπη διὰ σὲ φραγμός; καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Φαρές· καὶ μετὰ τοῦτο ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, ἐφ' ᾧ ἐπὶ τῇ χειρὶ αὐτοῦ

κόκκινον· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ζαρᾶ.[1]» Ὁρᾷς ὁπόσα τῶν εἰρημένων ἡ γένεσις περιέχει; ὧν ἕνεκα ἡγοῦμαι μὴ παρασεσιωπῆσθαι τὰ παρὰ τῷ θαυμασίῳ εὐαγγελιστῇ τὰ ἐν τούτοις αἰνίγματα· φησὶν οὖν ὁ ἱερὸς Ἀπόστολος διερμηνεύων τὰ περὶ τοῦ φραγμοῦ (τάχα που περὶ οὗ εἴρηται, τί διεκόπη διὰ σὲ φραγμὸς) ὧδέ πως ἐν τῇ πρὸς Ἐφεσίους Ἐπιστολῇ· «Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ὑμῶν, ποιήσας τὰ ἀμφότερα ἕν· καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον, καὶ ἀπαλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ Θεῷ.[2]»

δ΄. Τούτοις οὖν τὴν διάνοιαν ἐπιστήσας, θέα μήποτε ἡ τῶν δυοῖν τῶν εἰρημένων μία γένεσις, ἥ τε τοῦ Φαρὲς δι᾽ ὃν διεκόπη φραγμός, καὶ ἡ τοῦ πρώτου μὲν τὴν χεῖρα προβάλλοντος, δευτέρου δὲ προελθόντος, αἰνίττεται δύο βίων τρόπους τῶν ἠξιωμένων τῆς παρὰ τῷ Θεῷ γεννήσεως· ὧν ὁ μὲν κατὰ τὸ Εὐαγγέλιον, ὁ δὲ κατὰ τὸν Μωϋσέως ὑπέστη νόμον· ἀλλὰ γὰρ τούτων πρῶτος μὲν τὴν χεῖρα προβέβλητο ὁ κατὰ τὸ Εὐαγγέλιον· οὐ μὴν καὶ πρῶτος πρόεισιν εἰς φῶς· ὑποστείλας δὲ τὴν χεῖρα, τῷ κατὰ Μωϋσῆ δευτέρῳ ἰόντι προελθεῖν ἐπιτρέπει πρώτῳ· εἶθ᾽ οὕτως αὐτὸς πρῶτος ὤν, ὕστατος ἔξεισι, μετὰ τοῦ περὶ τὴν χεῖρα συμβόλου τοῦ πρῶτον αὐτὸν συνιστῶντος· ἦν δ᾽ ὁ τῶν πρὸ Μωϋσέως θεοφιλῶν ἀνδρῶν βίος ὁ κατὰ τὸ τοῦ Χριστοῦ Εὐαγγέλιον, καθ᾽ ὃν διαπρέψαι μνημονεύονται οἱ ἀμφὶ τὸν Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ, Μελχισεδέκ τε καὶ Ἰώβ, καὶ πολὺ τούτων πρότεροι οἱ ἀμφὶ Νῶε καὶ Σήμ, καὶ Ἰάφεθ, Ἐνώχ τε καὶ ὅσοι ἄλλοι τούτοις γεγόνασι παραπλήσιοι· δίκαιοι γοῦν οἵδε πάντες, καὶ εὐσεβεῖς καὶ θεοφιλεῖς· εἰ καί τινες ἕτεροι μαρτυρηθέντες, τῆς μὲν κατὰ Μωϋσέα νομοθεσίας πάμπαν ὑπῆρχον ἀλλότριοι· προλαβόντες δὲ τὸν κατὰ Μωϋσέα τρόπον, ἡμῖν ὁμοίως τῇ κατὰ τὸ Εὐαγγέλιον φιλοσοφίᾳ διέλαμψαν.

ε΄. Ὁ μὲν οὖν πρῶτος, διὰ τοῦ Ζαρᾶ ἐδηλοῦτο, ὃς ἑρμηνεύεται «Ἀνατολή·» φωτὸς γὰρ εὐσεβείας αἱ πρῶται τῆς ἀνατολῆς αὐγαί, διὰ τῶν πρώτων ἐν ἀνθρώποις εὐσεβησάντων ἐξέλαμψαν· οἷοί περ ἦσαν οἱ πρὸ Μωϋσέως ἐκ πρώτης ἀνθρώπων συστάσεως θεοφιλεῖς ἀποφανθέντες· οἱ δὴ καὶ τῷ Ζαρᾷ παραπλησίως, πρῶτοι μὴν τὴν χεῖρα προεβάλοντο τὸν πρακτικὸν βίον ἐνδειξάμενοι· οὐ μὴν καὶ ἐκράτυνέ γε τοῦτον· τοῦ δὲ κατ᾽ αὐτοὺς τρόπου ἐν ὑποστολῇ γενομένου· καὶ ὥσπερ τινὸς φραγμοῦ διακοπέντος, ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ ὁ κατὰ Μωϋσέα βίος· ὃν δὴ μεσότοιχον φραγμὸν κέκληκεν ὁ θαυμάσιος Ἀπόστολος· διὸ καὶ ὠνομάσθη Φαρές, τῆς τοῦ φραγμοῦ διακοπῆς ἐπώνυμος· ἑρμηνεύεται γοῦν Φαρὲς «μερισμός·» ἔνθεν καὶ Φαρισαῖοι παρ᾽ αὐτοῖς διέπρεπον, παρὰ τὸ μερίζειν καὶ ἀφορίζειν ἑαυτοὺς τῆς

1. Γεν. 38, 27-30. 2. Ἐφ. 2, 14-16.

τῶν πολλῶν ἐπιμιξίας· μακάριον μὲν οὖν καὶ πολὺ κρεῖττον ἦν μὴ διακοπῆναι τὸν φραγμόν, ἕνα δὲ αὐτὸν καὶ ἀδιάκοπον μεῖναι· τοῦτο δ' ἂν γέγονεν εἰ τῷ τὴν χεῖρα προβεβλημένῳ πρώτῳ, συνακολουθήσας ὁ δεύτερος, τὸν αὐτὸν τρόπον ἐπολιτεύσατο· πολὺ γὰρ ἦν βέλτιον τοῖς ἐκ περιτομῆς εἰ κατὰ τὸν βίον τῶν πρόπαλαι θεοφιλῶν ἀνθρώπων ἐτύγχανον πεπολιτευμένοι· καὶ οὕτω γὰρ ἦν εἷς ὁ φραγμός, καὶ μία ἡ οἰκοδομὴ τῶν τε πρώτων καὶ τῶν ὑστάτων.

ς'. Ἐπειδὴ δὲ μὴ τὸν πρῶτον κρατῆσαι τρόπον ἡ τῶν δευτέρων συνεχώρησεν ἀσθένεια, διακοπῆς εἰκότως τοῦ κατὰ Θεὸν φραγμοῦ γενομένης, τοῦ τε μεσοτοίχου τοῦ φραγμοῦ παραβληθέντος, ὁ πάλαι πρῶτος τὴν χεῖρα προτείνας, δεύτερος ἔξεισιν εἰς φῶς, διὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ τὸν παλαίτατον καὶ ἀρχαῖον φραγμὸν ἀνακτησαμένου· διὸ καί φησιν εἰς αὐτὸν ἡ προφητεία· «καὶ κληθήσῃ οἰκοδόμος φραγμῶν·[1]» οὗτος δὴ καὶ τὸ δηλωθὲν μεσότοιχον ἀνεῖλεν· ὃς Κύριος ὢν καὶ τοῦ σαββάτου ποιεῖ τὰ ἀμφότερα ἕν, κατὰ τὸν ἱερὸν Ἀπόστολον εἰπόντα «Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας·[2]» καὶ τί τὸ μεσότοιχον διασαφῶν, ἐπιλέγει· «τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας[3]» ἐκποδὼν μεταστησάμενος τὸ μεσότοιχον τοῦ Μωϋσέως νόμου, ὅπερ ἡμᾶς τοὺς ἐξ ἐθνῶν τῆς κατὰ Θεὸν ἀπείργει εὐσεβείας, διὰ τὸ μηδὲ βουλομένοις δυνατὸν εἶναι πᾶσι τοῖς ἔθνεσι κατὰ Μωϋσέα πολιτεύσασθαι.

ζ'. Ὥσπερ οὖν συνεστήσαμεν ἐν ταῖς «Εὐαγγελικαῖς ἀποδείξεσι», τὴν κατὰ τὸ Εὐαγγέλιον τοῖς πᾶσι προεβάλετο πολιτείαν, τοῦ πρώτου τῆς εὐσεβείας τρόπου τελείαν καὶ λαμπροτέραν τὴν γένεσιν πεποιημένου, μετὰ τοῦ τῇ χειρὶ συνεπάγεσθαι τὸ μαρτύριον τοῦ πρῶτον αὐτὸν γεγονέναι· ὁ γοῦν διὰ τοῦ σωτηρίου Εὐαγγελίου πᾶσι τοῖς ἔθνεσι παραδοθεὶς βίος, οὗτος ἦν ἐκεῖνος ὁ καὶ πρὸ Μωϋσέως τὴν χεῖρα προτείνας, καὶ τὴν πρᾶξιν διὰ τῶν πρώτων θεοφιλῶν ἀνδρῶν ἐπιδεδειγμένος· οὗτός τε οὗτος ἦν ὁ Ζαρὰ τῆς ἐνθέου πολιτείας τὴν πρώτην ἐν ἀνθρώποις ἀνατολὴν καταβεβλημένος· γέγονέ τε ὁ αὐτός, ἀρχὴ καὶ τέλος, πρῶτός τε καὶ ὕστατος, ἀνατολή τε μικρὰ καὶ ὑστάτη πάλιν εἰς πάντας ἐκλάμψασα ἀνθρώπους. Πλὴν ἀλλὰ κἀκεῖνο προσήκει τοῖς εἰρημένοις ἐπιθεῖναι, ὡς ἡ βίβλος τῆς γενέσεως Ἰησοῦ Χριστοῦ οὐκ ἀπὸ τοῦ τῶν δυοῖν πρώτου, λέγω δὲ τοῦ Ζαρᾶ, τὸν γενεαλογούμενον φῦναι εἰσάγει, ἀλλ' ἀπὸ τοῦ δευτέρου τοῦ Φαρές· ἐπεὶ γέγονε κατὰ σάρκα ἐκ φυλῆς καὶ σπέρματος τοῦ δευτέρου· οὐ μόνον γεννώμενος ἐκ γυναικός, ἀλλὰ καὶ «γενόμενος ὑπὸ νόμον, ἵνα καὶ τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ[4]» κατὰ τὴν τοῦ Ἀποστόλου καὶ περὶ τούτου μαρτυρίαν.

---

1. Ἠσ. 58, 12. 2. Ἐφ. 2, 14. 3. Ἐφ. 2, 15. 4. Γαλ. 4, 5.

Η΄.

«Διὰ τί τῆς τοῦ Οὐρίου γυναικὸς ἐμνήσθη ἐπὶ τῆς γενεαλογίας ὁ εὐαγγελιστής.»

α΄. Μονονουχὶ διὰ τοῦ φάναι, «Δαβὶδ ὁ βασιλεὺς ἐγέννησε τὸν Σολομῶνα ἐκ τῆς τοῦ Οὐρίου», τοιοῦτόν τι ἔοικε δηλοῦν ἡ βίβλος αὕτη τῆς Ἰησοῦ Χριστοῦ γενέσεως, τὰς λιτανείας καὶ τὰς ἱκεσίας τοῦ Δαβὶδ ὅσον οὔπω προχωρήσειν εἰς τέλος εὐαγγελίζεται· περιέχει γοῦν τὴν οἰκονομίαν Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος τῶν ὅλων καὶ ἰατροῦ, δι' οὗ μόνου ἐλπὶς ἦν καὶ τῷ Δαβὶδ τῆς κατὰ τὸν Οὐρίαν καὶ τὴν τούτου γυναῖκα ἁμαρτίας ἀπολυθήσεσθαι, καὶ τῆς ἐν τῷ θανάτῳ καθείρξεως ἐλευθερωθήσεσθαι· τούτου γοῦν Ἰησοῦ Χριστοῦ τὴν μέχρι θανάτου παρουσίαν, δι' ἧς ἤμελλε καὶ ἡ τοῦ Δαβὶδ ἀπολυτροῦσθαι ψυχή, θεσπίζων ἐν τοῖς Ψαλμοῖς αὐτὸς ὁ Δαβίδ, τὰ περὶ τῆς ἐκεῖσε καθόδου τοῦ Σωτῆρος, τά τε περὶ τῆς ἑαυτοῦ σωτηρίας ἐδήλου δι' ὧν ἔφασκε· «Κύριε, ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.[1]» Καὶ τό· «Ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου.[2]» Καὶ τό· «Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην.[3]» Καὶ τό· «Ἐπιστρέψας ἐζωοποίησάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.[4]» Τίς δ' ἦν ὁ καταβὰς καὶ ἀναγαγὼν αὐτὸν ἐκ τῶν ἀβύσσων; τίς δ' ὁ σώσας αὐτὸν ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον; ἀλλ' οὗτος ᾧ τῆς γενέσεως τὴν βίβλον ὁ θαυμάσιος εὐαγγελιστὴς ἀναγράφει, μετὰ τῶν ἄλλων καὶ τὰ περὶ τοῦ Δαβὶδ ἀγαθὰ πᾶσιν ἡμῖν εὐαγγελιζόμενος.

β΄. Οἶμαι δὲ τούτῳ τῷ πτώματι περιπεσεῖν τὸν Δαβὶδ διὰ μίαν ταύτην φωνήν, ἣν ἐν τῷ εἰκοστῷ καὶ ἐνάτῳ προήκατο ψαλμῷ· «Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα·[5]» τὸ γὰρ μέγα φρονῆσαι καὶ τοιοῦτον προΐεσθαι ῥῆμα ὅτι οὐκ ἄν ποτε σαλευθῇ, μένοι δὲ ἄτρεπτος καὶ ἀπαθὴς ἐν τῇ εὐθηνίᾳ αὐτοῦ, ὑπέρογκον ἦν καὶ ὑπερήφανον, καὶ οὐχ ὅμοιον τῷ «Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν· ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων αὐτήν·[6]» ἐν εὐθηνίᾳ οὖν τῶν παρὰ τῷ Θεῷ ἀγαθῶν γενόμενος, καὶ ἐπὶ μέγα προκόψας ἀρετῆς, ἐτόλμησε φάναι, «οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα·» διὸ καὶ παραχρῆμα καταλείπεται ὑπὸ τοῦ συνεργοῦντος αὐτῷ τὰ ἀγαθὰ Κυρίου, συμπλέκεται δὲ αὐτῷ πνεῦμα ἀλλότριον· λέγει δ' οὖν ἐν τῷ αὐτῷ ψαλμῷ· «Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου· Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. Σὺ δὲ ἀπέστρεψας τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος· Κύριε, ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν.[7]» Διδάσκων ὅτι πρότερον εἰπὼν οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα, μετὰ ταῦτα

1. Ψαλμ. 29, 4. 2. Ψαλμ. 9, 14. 3. Ψαλμ. 15, 10. 4. Ψαλμ. 70, 20. 5. Ψαλμ. 29, 7. 6. Ψαλμ. 126, 1. 7. Ψαλμ. 27, 7-8.

ἀποστρέψαντος τοῦ Θεοῦ τὸ πρόσωπον αὐτοῦ διὰ τὴν μεγαλορρήμονα φωνήν, ὁμολογεῖ τεταράχθαι· εἶτ᾽ ὠφεληθεὶς ἐπὶ τούτοις, τὰ πάλαι ἑαυτοῦ κατορθώματα, οὐκέτι ἑαυτῷ, τῷ Θεῷ δὲ προσγράφει λέγων· «Κύριε, ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν.» Ὅτε γάρ, φησίν, ἀπέστρεψας τὸ πρόσωπόν σου καὶ ἐγενήθην τεταραγμένος, τότε ἔγνων ὅτι καὶ πάλαι πρότερον τῷ σῷ θελήματι παρέσχου τῷ κάλλει μου δύναμιν. Εἰ γὰρ ἦν τι κάλλος ὑπάρχον περὶ τὴν ἐμὴν ψυχὴν πρὸ τῆς ἁμαρτίας, τοῦτο αὐτὸ ἐκ σῆς χάριτος καὶ δωρεᾶς μοι προσῆν· ταῦτα δὲ μετὰ τὴν συναίσθησιν τῆς ἑαυτοῦ ἀσθενείας ὁμολογεῖ.

γ'. Πλὴν ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην, ἡνίκα εἰσῆλθεν πρὸς Βηρσαβεέ, καὶ τὴν ἐν τῷ πεντηκοστῷ ψαλμῷ εὐχὴν ἀναπέμπει λέγων· «Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα·[1]» λέγων δέ, σοὶ μόνῳ ἥμαρτον, οὐ τοῦτό φησιν ὅτι εἰς τὸν Θεὸν ἥμαρτον μόνον· οὔτε γὰρ βλασφημίας, οὔτε ἐπιορκίας, οὔτε τοιαύτης τινὸς ἀσεβείας ὁ τρόπος αὐτοῦ τῆς ἁμαρτίας, ἵνα τις ὑπολάβοι αὐτὸν εἰς Θεὸν ἡμαρτηκέναι· ἀλλ᾽ εἰ χρὴ εἰπεῖν, τὰ μεγάλα ἥμαρτεν εἰς τὴν Βηρσαβεέ, τὰ μέγιστα δὲ καὶ εἰς τὸν Οὐρίαν, ὑπὲρ πάντα δὲ εἰς τὴν ἑαυτοῦ ψυχήν· πῶς οὖν ἐνταῦθά φησι, σοὶ μόνῳ ἥμαρτον; ἀλλ᾽ οἶμαι τοῦτ᾽ αὐτὸν λέγειν, ὅτι μοι μόνῳ ἔγνωσται τὸ ἁμάρτημά μου. Ἐπιφέρει γοῦν τὸ σαφέστερον ἐν τῷ· «Καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα.» Ἀνθρώπων γὰρ οὐδείς μοι φόβος ἦν, εἰ μὴ ὁ σὸς ἐπέκειτο φόβος. Ῥίψας γοῦν ἑαυτὸν ἐπὶ πρόσωπον, οὐ πρότερον ἀναστήσεσθαί φησιν, ἢ τυχεῖν τῆς ἀξιώσεως. Καὶ συνεύχονταί γε αὐτῷ πάντες οἱ ἀγαθῶν συνεργοί, παρακαλοῦντες εἰσακουσθῆναι αὐτόν· διὸ εἴρηται ἐν ἑκατοστῷ τριακοστῷ πρώτῳ ψαλμῷ· «Μνήσθητι, Κύριε, τοῦ Δαβὶδ καὶ πάσης τῆς πραότητος αὐτοῦ· ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ. Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου, εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου καὶ τοῖς βλεφάροις μου νυσταγμόν, ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ.[2]»

δ'. Οὕτως δὲ αὐτῷ εὐξαμένῳ καὶ διαβεβαιωσαμένῳ, ὅτι μὴ πρότερον ἀναβήσεται ἐπὶ κλίνης στρωμνῆς αὐτοῦ, ὅτι τε οὐκ εἰσελεύσεται εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἔτι οὐ δώσει τοῖς βλεφάροις αὐτοῦ νυσταγμόν, ἕως οὗ εὕρῃ τὸν μέλλοντα τοῦ Κυρίου τόπον, δείκνυσιν ὁ Κύριος αὐτῷ τὴν Βηθλεέμ· διὸ μετὰ τὴν εὐχὴν συνευξάμενοι αὐτῷ ἱεροὶ ἄγγελοι Θεοῦ ἐπιλέγουσιν ἑξῆς· «Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ[3]» Ἐφραθὰ δέ ἐστιν ἡ Βηθλεέμ, ὡς ἱστορεῖ Μωϋσῆς λέγων· «Ἀπέθανε δὲ Ῥαχήλ, καὶ ἐτάφη ἐν ὁδῷ Ἐφραθᾶ· αὕτη ἐστὶ Βηθλεέμ.[4]» Ἀλλὰ καὶ Μιχαίας φησὶ τὴν Ἐφραθὰ εἶναι Βηθλεέμ, λέγων· «Καὶ σύ, Βηθλεὲμ οἶκος τοῦ Ἐφραθᾶ, οὐδαμῶς εἶ ἐλαχίστη ἐν τοῖς

1. Ψαλμ. 50, 5. 2. Ψαλμ. 131, 1-5. 3. Ψαλμ. 131, 6. 4. Γεν. 35, 19.

ἡγεμόσιν Ἰούδα.[1]» Εἶτα ἐπεύξατο ὁ Δαβὶδ οὐ μόνον τὸν τόπον γνῶναι τοῦ Κυρίου, ἀλλὰ καὶ τὸ σκήνωμα αὐτοῦ ὁπόθεν ἔσται· σκήνωμα δὲ τὸ σκῆνος καὶ τὸ σῶμα ὃ ἀνείληφεν ὁ τοῦ Θεοῦ Λόγος τυγχάνει· εἰκότως περὶ μὲν τοῦ τόπου προαπήγγειλαν φήσαντες· «Ἰδοὺ ἠκούσαμεν αὐτήν τε ἐν Ἐφραθᾷ.[2]» Περὶ δὲ τοῦ σκηνώματος ἑξῆς ἐπιλέγουσιν αὐτῷ· «Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσῃ αὐτήν· ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου.» Δι' ὧν διδάσκεται ὁ Δαβὶδ ὅτι τὸ μέλλον ἔσεσθαι τοῦ Κυρίου σκήνωμα, ὁ καρπὸς ἦν ὁ ἐκ κοιλίας αὐτοῦ γενησόμενος.

Θ'.

«Διὰ τί τῆς Ῥοὺθ ἐμνημόνευσεν ὁ εὐαγγελιστής.»

α'. Καὶ πῶς οὐκ ἔμελλεν ὁ θεῖος Ἀπόστολος, τὴν τῶν ἀλλοφύλων ἐθνῶν κλῆσιν τῷ πνεύματι προθεωρῶν διὰ τοῦ οἰκείου Εὐαγγελίου γενησομένην, τῆς ἀλλοφύλου μνημονεύειν; ἀλλόφυλος γὰρ ἡ Ῥοὺθ καὶ ἐξ ἀλλοφύλων τῶν ἀπηγορευμένων παρὰ Μωϋσεῖ Μωαβιτῶν· «Μωαβῖται» γάρ, φησί, «καὶ Ἀμμανῖται οὐκ εἰσελεύσονται εἰς Ἐκκλησίαν Κυρίου ἕως τρίτης καὶ τετάρτης γενεᾶς, καὶ ἕως εἰς τὸν αἰῶνα·[3]» πλὴν ἀλλὰ καὶ κρεῖττον τοῦ νόμου γενομένη θεοφιλής, εἰσῆλθεν εἰς Ἐκκλησίαν Κυρίου· ἐπείπερ ὁ νόμος τοῖς ἐν τῷ νόμῳ λαλεῖ· «Δικαίῳ δὲ νόμος οὐ κεῖται, ἀλλ' ἀνόμοις καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς.[4]» Ἡ δὲ Ῥοὺθ οὐ τοιαύτη, εἰ καὶ τὸ γένος ἀλλόφυλος ἦν, ὑπερβᾶσα δὲ τὸν διορισμὸν τοῦ νόμου, καὶ εἰσελήλυθεν εἰς τὴν Ἐκκλησίαν Κυρίου, καὶ τοῦ γένους ἐχρημάτισε τοῦ Ἰσραηλιτικοῦ, καὶ ἐν προγόνοις ἀναληφθῆναι τοῦ Σωτῆρος ἡμῶν κατηξιώθη, διὰ τὴν τῶν τρόπων, ἀλλ' οὐ διὰ τὴν τοῦ σώματος εὐγένειαν πᾶσί τε ἡμῖν τοῖς ἐξ ἐθνῶν ἀλλοφύλοις μέγιστον ὑπόδειγμα κατέστη, ὅτι δὴ ὅμοια πράξαντες αὐτῇ, τῶν ἴσων παρὰ τῷ Θεῷ τευξόμεθα.

β'. Εἰκότως οὖν τὴν τῶν ἀλλοφύλων κλῆσίν τε καὶ εἰσποίησιν μέλλων εὐαγγελίζεσθαι, τῇ γενεαλογίᾳ αὐτὴν τέθεικεν· ἡμᾶς τοὺς ἐξ ἐθνῶν ἀλλοφύλους μονονουχὶ παιδεύων δι' αὐτῆς, ὅτι δὴ τὰ πάτρια καταλιπόντες, εἰκότως καὶ τὰ ἀκόλουθα εἰς ἡμᾶς πληρωθήσεται· οὐκέτι γὰρ ἐν ἀλλοφύλοις καταλεγησόμεθα, οὐδ' ἐξ ἀλλοφύλων χρηματίσομεν, ἀλλ' ἐκ τοῦ ἀληθινοῦ Ἰσραὴλ καὶ τοῦ λαοῦ τοῦ κλήρου τοῦ Θεοῦ· ἀναγκαίως δὲ αὖ πάλιν ἐμνήσθη τῆς Ῥούθ, τὰ αἴτια διὰ τῆς κατ' αὐτὸν ἱστορίας διδάξας τίνα ἦν τὰ λύσαντα τὴν ἀπαγόρευσιν τοῦ νόμου τὴν φήσασαν, «Μωαβῖται οὐκ εἰσελεύσονται εἰς Ἐκκλησίαν Κυρίου.» Γέγονε γὰρ ἡ Μωαβῖτις ὡς Ῥαχὴλ καὶ ὡς Λεία, αἳ ᾠκοδόμησαν ἀμφότεραι τὸν οἶκον Ἰσραήλ· πῶς δὲ οὐχὶ χρήσιμος ἦν τῇ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ γενεαλογίᾳ ἡ μνήμη τῆς Ῥούθ,

1. Μιχ. 5, 2. Ματθ. 2, 6. 2. Ψαλμ. 131, 6. 3. Δευτ. 23, 3-4. Β' Ἔσδρ. 13, 1. 4. Α' Τιμ. 1, 9.

ἐφ' ἥν εἴρηται «καὶ τὸ ποιῆσαι δύναμιν ἐν Ἐφραθᾷ, ἔσται ὄνομα ἐν Βηθλεέμ;[1]» προφητείας γὰρ ἄντικρυς ταύτας εἰκότως ἄν τις φαίη τυγχάνειν, τὸ ἐκ Βηθλεὲμ ὄνομα τὸ παρὰ τῷ Ματθαίῳ γενεαλογουμένῳ Ἰησοῦ Χριστῷ ἐξάκουστον εἰς πᾶν γένος ἀνθρώπων θεωρῶν, καὶ τὴν ἐν Ἐφραθᾷ γενομένην δύναμιν· δι' ἧς δυνάμεως πάντα τὰ ἔθνη τὸν ἐκ τῆς Ῥοὺθ γενεαλογούμενον Χριστὸν τοῦ Θεοῦ ἐπιγνόντα, δι' αὐτοῦ τῆς μὲν πατρῴας ἀπέστη, τῆς Ῥοὺθ παραπλησίως, τῷ δὲ Θεῷ τοῦ Ἰσραὴλ αὐτὰ ἐπιδέδωκεν, ὁμοίως αὐτῇ πάλιν· ὧν ἕνεκά μοι δοκεῖ οὐκ ἀσυλλόγιστος ἡ παράθεσις τῆς Ῥοὺθ ἐν τῇ τοῦ Ματθαίου παρειλῆφθαι γενεαλογίᾳ.

Γ'.

«Διὰ τί τὸν Ἰωακεὶμ Ἰεχονίαν ὀνομάζει ὁ εὐαγγελιστής.»

α'. Διώνυμος οὗτος ἦν· ἀλλ' ἐπεὶ κατὰ τὸν προφήτην Ἱερεμίαν Ἰεχονίας ὀνομασθεὶς διακέκληται, δι' ὧν φησιν, «Ἠτιμώθη Ἰεχονίας ὡς σκεῦος οὗ οὐκ ἔστιν αὐτοῦ χρεία· διότι ἀπερρίφη αὐτὸς καὶ τὸ σπέρμα αὐτοῦ· γῆ, γῆ ἄκουε λόγον Κυρίου· γράψον τὸν ἄνδρα τοῦτον ἐκκήρυκτον, ὅτι οὐ μὴ ἀναστῇ ἐκ τοῦ σπέρματος αὐτοῦ καθήμενος ἐπὶ θρόνου Δαβίδ, ἄρχων ἔτι ἐν τῷ Ἰούδᾳ·[2]» καὶ ἐπειδὴ τούτων ἕνεκα συνέβη τὴν εἰς Βαβυλῶνα αἰχμαλωσίαν ἅμα τῷ λαῷ ὑποστῆναι τὸν εἰρημένον, εἰκότως ὁ θαυμάσιος εὐαγγελιστὴς τοῦ Λυτρωτοῦ καὶ Σωτῆρος ἁπάντων ὑπογράφων τὴν γένεσιν, καὶ τοῦδε ἐμνήσθη τοῦ ἠτιμωμένου τοῦ ἀπορριφέντος ἅμα τῷ σπέρματι εἰς τὴν Βαβυλωνίων γῆν, τοῦ ἐκκηρύκτου γενομένου, τοῦ αἰχμαλώτου· διδάσκων ὅτι κηρῦξαι αἰχμαλώτοις ἄφεσιν ἀπεσταλμένος ὑπὸ τοῦ Πατρός, οὗτος ἦν Ἰησοῦς Χριστός, οὗ τὴν βίβλον ἀναγράφει, εἰς ὃν ἀναφέρεται τὸ φάσκον ἐν τῷ προφήτῃ λόγιον· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν·[3]» περὶ οὗ καὶ ἐν ἑτέρῳ φησὶν ὁ αὐτὸς προφήτης· «Οὗτος οἰκοδομήσει τὴν πόλιν μου, καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου ἐπιστρέψει.[4]»

β'. Κατὰ καιρὸν τοιγαροῦν αὐτῷ τε Ἰεχονίᾳ καὶ τῇ τούτου ψυχῇ, τοῖς τε τὴν ἴσην αὐτῷ πεπονθόσιν ἀτιμίαν τε καὶ ψυχῶν αἰχμαλωσίαν, τὴν τοῦ Λυτρωτοῦ παρουσίαν εὐαγγελίζεσθαι Ματθαῖος ὁ τὴν γένεσιν τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ δὴ τῶν ἄλλων ὑπαιτίων καὶ ἁμαρτωλῶν ἀνδρῶν καταγαγών· εἷς γὰρ ἦν καὶ ὁ αὐτὸς λόγος, δι' ὃν καὶ τῆς τοῦ Δαβὶδ περὶ τὴν τοῦ Οὐρίου γυναῖκα παρανομίας, τῆς τε τοῦ Ἰούδα πορνείας, τῆς τε ἀλλοφύλου καὶ Μωαβίτιδος Ῥοὺθ ἐμνήσθη· ὁ αὐτὸς δὲ τυγχάνει καθ' ὃν καὶ τελώναις καὶ ἁμαρτωλοῖς συμβιοῦντα, καὶ αἴσχιστά γε ὑπὸ ἀνθρώπων ὑπομένοντα, καὶ τέλος ἅμα τοῖς κακούργοις

---

1. Ῥοὺθ 4, 11. 2. Ἱερ. 22, 28-30. 3. Ἡσ. 61, 1. Λουκ. 4, 18. 4. Ἡσ. 45, 13.

σταυρούμενον αὐτὸν εἰσάγει· ἦν δ' οὗτος ὁ λόγος καθ' ὃν εἴρηται· «Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.[1]» Ἐχρῆν γὰρ τὸν μέλλοντα καθάρσιον γίνεσθαι τῶν πάλαι πώποτε πεπλημμεληκότων καὶ τῶν γε μετὰ ταῦτα γενησομένων, ἀντίψυχόν τε τῶν ἀνθρωπίνων ψυχῶν, διὰ πάντων τῶν εἰρημένων διελθεῖν καὶ τὰς κατὰ τῶν ἁμαρτωλῶν καὶ ἀσεβῶν τιμωρίας αὐτὸν ἀναμάρτητον ὄντα ὑπομεῖναι, ὡς ἂν πληρωθείη εἰς αὐτὸν τὰ θεσπίσματα, τά τε ἄλλα· καὶ δι' ὅν φησιν ὁ θαυμάσιος Ἡσαΐας· «Οὗτος τὰς ἁμαρτίας ἡμῶν αἴρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται· αὐτὸς ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν· τῷ μώλωπι αὐτοῦ ἡμεῖς πάντες ἰάθημεν.[2]»

γʹ. Εἰ δὲ λέγοι ὁ προφήτης περὶ τοῦ Ἰεχονία τῇ γῇ, «Γράψον τὸν ἄνδρα τοῦτον ἐκκήρυκτον, ὅτι οὐ μὴ ἀναστῇ ἐκ τοῦ σπέρματος αὐτοῦ καθήμενος ἐπὶ θρόνου Δαβίδ, ἄρχων ἔτι ἐν τῷ Ἰούδᾳ[3]», οὐ πάντως ἀναιρεῖ τὸ στήσεσθαι αὐτοῦ σπέρμα, ἀλλὰ τοῦ βασιλεῦσαι τοῦ Ἰουδαίων ἔθνους ἐκ τοῦ σπέρματος αὐτοῦ· ὃ καὶ γέγονεν ἀληθές· λέγει γοῦν, «Ἠτιμώθη Ἰεχονίας ὡς σκεῦος οὗ οὐκ ἔστιν αὐτοῦ χρεία, διότι ἀπερρίφη αὐτὸς καὶ τὸ σπέρμα αὐτοῦ εἰς γῆν ἣν οὐκ ᾔδει·[4]» ἄντικρυς τὴν Βαβυλῶνος γῆν θεσπίζων· πλὴν ἀλλ' ὁ ἐλθὼν κηρῦξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τὰς τῶν ἁμαρτιῶν σειράς, τῶν τε πάλαι ὑπὸ τὸν θάνατον πεπεδημένων ψυχῶν τούς τε δεσμοὺς λῦσαι ἀπεσταλμένος, ἐπὶ τὴν πάντων τούτων ἐλήλυθε σωτηρίαν· διό φησιν ὁ Δαβὶδ περὶ αὐτοῦ θεσπίζων· «Ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν· ἐξομολογείσθε τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ καὶ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων·[5] ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέκλασε· καὶ ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν· ἐταπεινώθησαν[6], καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς αὐτῶν διέρρηξε.[7]» Ταῦτα γὰρ περὶ τῆς ἐκ τοῦ θανάτου διὰ Χριστοῦ γενομένης ἀπολυτρώσεως λέγεται, ὡς συνᾴδει καὶ τὸ φάσκον λόγιον· «Κατέπιεν ὁ θάνατος ἰσχύσας.» Καὶ πάλιν· «Ἀφεῖλεν ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου.[8]» Τηρητέον δὲ ὅτι μὴ διαπίπτει ὁ χρησμὸς ὁ φήσας, «Οὐ μὴ ἀναστῇ ἐκ σπέρματος Ἰεχονίου καθήμενος ἐπὶ θρόνου Δαβίδ, ἄρχων ἔτι ἐν τῷ Ἰούδᾳ·[9]» ἐπεὶ μηδεὶς ἐκ τῆς τοῦ Ἰούδα φυλῆς μετὰ Ἰεχονίαν τῆς τοῦ Δαβὶδ βασιλείας κατέστη διάδοχος· μετὰ γοῦν τὴν ἀπὸ Βαβυλῶνος αἰχμαλωσίαν, ὑπὸ τοῖς ἀρχιερεῦσι διετέλεσε τὸ πᾶν ἔθνος ἀρχόμενον μέχρι τῆς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίας· ἦσαν γοῦν κατ' αὐτὸν τετράρχαι οἱ περὶ τὸν Ἡρώδην καὶ Φίλιππον, ἡγεμών τε Πιλάτος, καὶ ἐπὶ πᾶσι βασιλεύς.

---

1. Ἰω. 1, 29. 2. Ἡσ. 53, 4. 3. Ἱερ. 22, 30. 4. Ἱερ. 22, 28. 5. Ψαλμ. 106, 20-21. 6. Ψαλμ. 106, 16-17. 7. Ψαλμ. 106, 14. 8. Ἡσ. 25, 8. 9. Ἱερ. 22, 30.

ΙΑ'.

«Διὰ τί ταῖς ἐν τῇ γενεαλογίᾳ κέχρηται ὑποδιαστολαῖς, μὴ ὁμοῦ, συνάψας ἀπὸ Ἀβραὰμ ἐπὶ τὸν Χριστὸν γενεὰς τεσσαράκοντα δύο, διελὼν δὲ τὰς διαδοχὰς καθ' οὓς ἐξέθετο ἀφορισμούς.»

Διὰ τὰς διαφόρους καταστάσεις τοῦ λαοῦ τὰς ἐκ τῆς ἱστορίας παρισταμένας· ἄλλη μὲν γὰρ ἦν ἡ ἀπὸ Ἀβραὰμ καὶ ἐπὶ Δαβίδ, καὶ πάλιν ἑτέρα ἡ ἀπὸ Δαβίδ, ἥτε μέχρι τῆς αἰχμαλωσίας, ὡς πάλιν ἡ ἀπὸ ταύτης μέχρι τοῦ Χριστοῦ· ἀπὸ μὲν γὰρ Ἀβραὰμ ἐπὶ τὸν Δαβὶδ οὐ φαίνονται ὑπὸ βασιλέας πολιτευσάμενοι· ἦρξαν δὲ τοῦ ἔθνους μετὰ Μωϋσέα καὶ Ἰησοῦν οἱ ἐπικληθέντες παρ' αὐτοῖς κριταί· καὶ ἦν τις ἴδιος τρόπος τῆς τούτων καταβάσεως· ἀλλ' οὐδὲ τὰ Ἱεροσόλυμά πως συνειστήκει, οὐδέ γε ὁ ἐν αὐτοῖς νεώς· διόπερ ἐπιστημόνως ὁ εὐαγγελιστὴς μὴ συγχέων τὴν ἱστορίαν, μέχρι Δαβὶδ ἔστη, τοὺς ἀπὸ Ἀβραὰμ ἰδίως καταριθμήσας· εἶτ' οὖν πάλιν ἐπειδήπερ ἀπὸ Δαβὶδ καὶ μέχρι, τῆς αἰχμαλωσίας οἰκείοις κέχρηνται βασιλεῦσι, τοῖς τε ἀπὸ Δαβὶδ ἄρξασι καὶ τοῖς ἐν τῇ διαστάσει τοῦ λαοῦ γενομένοις· τό τε ἐν τῇ Ἱερουσαλὴμ ἱερὸν ἐξ ἐκείνου καὶ μέχρι τῆς αἰχμαλωσίας διήρκεσεν, εἰκότως καὶ τούτους πάλιν ἰδίως ἀφορίσας, ὑφ' ἕνα συνήγαγεν ἀριθμόν· ὥσπερ οὖν καὶ τοὺς ἀπὸ τῆς αἰχμαλωσίας μέχρι τοῦ Χριστοῦ, παρ' οἷς οὐκέτι μὲν ἡ τοῦ Δαβὶδ συνέστη βασιλεία, μεταπεπτώκει δὲ τὰ τῆς ἡγεμονίας ἀπὸ τῆς τοῦ Ἰούδα φυλῆς ἐπὶ τὸ τῶν ἱερέων γένος, οἳ δὴ καὶ ἦρξαν αὐτῶν ἀπὸ τῶν Κύρου χρόνων καὶ ἐπὶ τὴν τοῦ Χριστοῦ γένεσιν· ὅθεν καὶ τούτους ἰδίως ἀφορίσας, καθ' ἑαυτοὺς ἠρίθμησεν· οὐκ ἀσυλλογίστως ἄρα τὰς τρεῖς πεποίηται διαστολὰς διὰ τὰς ἀποδοθείσας αἰτίας.

ΙΒ'.

«Διὰ τί ἀπὸ τῶν Δαβὶδ χρόνων ἐπὶ Ἰεχονίαν καὶ τὴν εἰς Βαβυλῶνα αἰχμαλωσίαν ἑπτὰ καὶ δέκα βασιλευσάντων, δεκατέσσαρας εἶναί φησι γενεὰς ὁ εὐαγγελιστής.»

α'. Εἰ μὲν διαδοχὰς ἀναγράφειν αὐτῷ προὔκειτο καὶ εὐλόγως τις ἐμέμψατο ὡς παρεκθεμένῳ τὴν τῶν βασιλέων διαδοχήν· ἐν γὰρ ταῖς Βασιλείαις καὶ ἐν τοῖς Παραλειπομένοις συμφώνως μετὰ Ἰωρὰμ τὸν τοῦ Ἰωσαφάτ, τριῶν ἐφεξῆς βασιλευσάντων Ὀχοζία καὶ Ἰωὰς καὶ Ἀμεσία, εἶτα μετ' αὐτοὺς Ὀζία καὶ Ἰωάθαμ καὶ Ἄχαζ, παρελθὼν τοὺς προτέρους τοὺς τρεῖς ὁ εὐαγγελιστής, μετὰ Ἰωρὰμ τὸν τοῦ Ἰωσαφὰτ ἑξῆς συνάπτει τὸν Ὀζίαν καὶ τὸν Ἰωάθαμ καὶ τὸν Ἄχαζ, τοὺς εἰρημένους μεταξὺ παρελθών· τοῦτο δ' εἰ πεποιήκει σκοπὸν θέμενος τὴν τῶν βασιλέων διαδοχὴν ἐκθέσθαι, χρῆν ὡς ἡμαρτημένην ἐκθέσθαι τὴν παρ' αὐτῷ γραφήν· ἐπειδὴ δὲ οὐ διαδοχάς, ἀλλὰ γενεὰς ἀριθμῆσαι προὔθετο, τοῦτο γὰρ ὁ λόγος αὐτῷ βούλεται φήσαντι «Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ μέχρι Δαβίδ, γενεαὶ δεκατέσσαρες· καὶ

πάλιν ἀπὸ Δαβὶδ μέχρι Ἰεχονίου καὶ τῆς μετοικεσίας Βαβυλῶνος, γενεαὶ δεκατέσσαρες» ἀλλ' οὐ διαδοχαὶ δεκατέσσαρες, εἰκότως πάσης ἀπολύοιτ' ἂν κατηγορίας· ἐπεὶ διὰ τί μὴ διαδοχὰς ὠνόμασε, τῆς δὲ ἐν ταῖς Βασιλείαις καὶ Παραλειπομένοις ἱστορίας διαδοχὰς ἀλλ' οὐ γενεὰς ἱστορούσης, οὐκ ἂν γένοιτο ἐναντίωμα ἐκ τῆς ἀμφοτέρων παραθέσεως.

β'. Γενεὰν γὰρ χρόνον ἀνθρώπου ζωῆς οὐχ οἷόν τέ ἐστιν ὀνομάζειν, ἐπεὶ συμβαίνει πολλάκις τοὺς μὲν ἐπὶ βραχὺ βιῶναι, καὶ θᾶττον ἀποσβεσθῆναι κατὰ τὴν τοῦ παιδὸς ἡλικίαν, τοὺς δὲ μέχρι τοῦ μειρακίου φθάσαι, τοὺς δὲ ἐπὶ τὸν νεανίαν προελθεῖν, τοὺς δὲ ἐπὶ τὸν ἄνδρα, τοὺς δὲ καὶ ἐπ' ἔσχατον γῆρας παρατεῖναι τὴν ζωήν· ποίαν οὖν τις ἀριθμήσει γενεάν; εἰ ὁ μὲν φέρει μέχρι δεκάτου ἔτους, ὁ δὲ μέχρις εἰκοστοῦ, ὁ δὲ μέχρι πεντηκοστοῦ, ἄλλος δὲ μέχρις ἑβδομηκοστοῦ, ὁ δὲ καὶ τὰ ἑκατὸν ὑπερβὰς οὐ μόνον ἐπὶ τῶν παλαιῶν ἀλλὰ καὶ καθ' ἡμᾶς ὁρᾶται· πῶς οὖν οἴονται τὴν ἀνθρώπου ζωὴν γενεὰν ὀνομάζειν; ἀλλ' οὐδὲ μέχρι τῆς παιδοποιΐας· οἱ μὲν γὰρ πρὸ τῶν εἴκοσι ἐτῶν γήμαντες πεπαιδοποίηνται, οἱ δὲ οὐδὲ ὑπὲρ τὰ τριάκοντα γενόμενοι· καὶ τῶν ἰσηλίκων δὲ ἴδοις ἂν τοὺς μὲν ἐπὶ πρώτους υἱοὺς στάντας, τοὺς δὲ ἐπὶ τετραγονίαν ἐλάσαντας· ὥστε ἐν πεντήκοντα ἔτεσι, τοὺς μὲν ἐκγόνους θεάσασθαι, ἑτέρους δὲ ἐν ἑβδομήκοντα μηδενὸς ἀξιωθῆναι παιδός· πῶς οὖν ἀριθμητέον τὰς γενεάς; πότερον ἐκ τῶν μακροβίων ἢ τῶν ὀλιγοβίων; καὶ ἐκ τῶν ταχὺ πεπαιδοποιημένων, ἢ τῶν βραδέων; καὶ ἐκ τῶν ἐπὶ πρώτοις υἱοῖς σαλευσάντων, ἢ ἐκ τῶν ἐπὶ πλείοσι διαδοχαῖς; ὧν οὕτως ἐξητασμένων ὁ θεῖος εὐαγγελιστὴς οὐ διαδοχὰς προθέμενος εἰπεῖν, γενεὰς δέ, καθ' οὓς αὐτὸς ἠπίστατο λόγους ἀπαριθμούμενος, τῆς μὲν ἐν ταῖς ἱστορίαις διαδοχῆς ἧττον πεφρόντικε, τοσούτους ἀναλαμβάνει εἰς τὴν γενεαλογίαν, ὅσοι ἀπήρκουν αὐτῷ εἰς ἐκπλήρωσιν τῶν δεκατεσσάρων γενεῶν· οὕτως τε αὐτῷ ὑγιὴς ἀποσῴζεται ὁ λόγος, καὶ οὐδαμῶς ἐναντίος τῇ τῶν ἱστοριῶν γραφῇ.

ΙΓ'.

«Διὰ τί τῶν μετὰ Ἰεχονίαν ἐπὶ τὸν Ἰωσὴφ γενεαλογουμένων δύο καὶ δέκα ὄντων, ὁ εὐαγγελιστὴς δεκατέσσαρας πάλιν εἶναί φησιν.»

α'. Διὰ τὴν αὐτὴν αἰτίαν· οὐ γὰρ διαδοχάς, γενεὰς δέ, ὡς ἔφην, ἀναγράφειν ἐβούλετο· συμβαίνει δὲ πολλάκις ἐν μακροβίοις καὶ πολυέτεσι, τὰς μὲν γεγονέναι τῶν ἀνδρῶν τὰς διαδοχάς, τὸν δὲ τῶν γενεῶν ἀριθμὸν ἀποδεδόσθαι πλήρη· ᾧ δὴ οὖν λόγῳ ἐν τοῖς ἀπὸ τοῦ Δαβὶδ καὶ ἐπὶ τὴν αἰχμαλωσίαν πλείοσιν οὖσι τὸν ἀριθμὸν τοῖς ἐν τῇ διαδοχῇ φερομένοις, ὀλιγώτεραι ἀπεδόθησαν αἱ γενεαί· ἐν γὰρ διαδοχαῖς ἀνδρῶν ἑπτὰ καὶ δέκα, γενεαὶ εἴρηνται δεκατέσσαρες· κατὰ τὸν αὐτὸν λογισμὸν καὶ νῦν ἐπ' ἀνδρῶν διαδοχαῖς δώδεκα, αἱ δεκατέσσαρες ἂν ἐπληροῦντο γενεαί, μακροβίων ὡς εἰκὸς πολυχρονίων αὐτῶν δὴ τῶν δώδεκα γεγενημένων, καὶ ἀρκούντων εἰς ἀναπλήρωσιν τῶν δεκατεσσάρων γενεῶν. Μία μὲν ἀπόδοσις τοῦ ζητηθέντος ἥδε.

β'. Καθ' ἑτέραν δὲ διάνοιαν εὕροις ἂν ἀκριβώσας κατὰ τὴν ἱστορίαν δεκατέσσαρας ὠνομασμένους καὶ ἐν τῇ παρούσῃ διαδοχῇ, εἰ πρὸς τοῖς δώδεκα συναριθμήσειας αὐτὸν Ἰησοῦν Χριστὸν υἱὸν τοῦ Ἰωσὴφ χρηματίσαντα· προσθείης τε τούτοις καὶ τὸν Ἰεχονίαν τὸν ἐν Βαβυλῶνι γεγενημένον, οὐχὶ τὸν πρὸ τῆς μετοικεσίας ἐν τῇ Ἰερουσαλὴμ βασιλεύσαντα· δύο γὰρ ὁμώνυμοι γεγόνασιν Ἰωακεὶμ μετὰ Ἰωσίαν, ὅ γε αὐτοῦ τοῦ Ἰωσίου υἱός, ὃς μετὰ τοῦτον ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὁ τούτου παῖς ἕτερος Ἰωακείμ· οὗτοι δὲ καὶ Ἰεχονίαι ἐχρημάτισαν, ἐξελληνισθέντος αὐτοῖς τοῦ ὀνόματος. Ὁ τοίνυν πρῶτος Ἰωακεὶμ ὁ καὶ Ἰεχονίας υἱὸς ὢν Ἰωσίου, ταῖς πρὸ τῆς αἰχμαλωσίας συγκαταλεγέσθω γενεαῖς· ὁ δὲ τούτου παῖς ὁ δεύτερος Ἰωακεὶμ καὶ αὐτὸς Ἰεχονίας, υἱὸς ὢν τοῦ πρώτου Ἰωακείμ, τοῦ δὲ Ἰωσίου ἔκγονος, ἐν τοῖς μετὰ τὴν αἰχμαλωσίαν καὶ εἰς τὸν Χριστὸν γενεαλογουμένοις ἀριθμούμενος, τέλειον ἀποδοίη ἂν τὸν τῶν δεκατεσσάρων γενεῶν ἀριθμόν.

γ.' Περὶ δὲ τοῦ δύο γεγονέναι Ἰωακείμ, μαρτυρήσει ἡ τῶν Βασιλειῶν Γραφή, τοῦτον ἔχουσα τὸν τρόπον· «Καὶ ἐβασίλευσε Φαραὼ Νεχαὼ ἐπὶ τὸν Ἰσραὴλ τὸν Ἐλιακεὶμ υἱὸν Ἰωσία βασιλέως Ἰούδα, ἀντὶ Ἰωσία τοῦ πατρὸς αὐτοῦ· καὶ ἐπέστρεψε τὸ ὄνομα αὐτοῦ Ἰωακείμ.[1]» Οἷς ἑξῆς ἐπιλέγει· «Υἱὸς εἰκοσιπέντε ἐτῶν Ἰωακεὶμ ἐν τῷ βασιλεύειν αὐτόν· καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ·» οἷς μεθ' ἕτερα ἐπιλέγει· «Καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωακείμ, καὶ πάντα ὅσα ἐποίησεν, οὐκ ἰδοὺ γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα; καὶ ἐκοιμήθη Ἰωακεὶμ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσεν Ἰωακεὶμ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ· υἱὸς ὀκτὼ καὶ δέκα ἐτῶν Ἰωακεὶμ ἐν τῷ βασιλεύειν αὐτόν· καὶ τρίμηνον ἐβασίλευσεν ἐν Ἱερουσαλήμ· καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἐσθά· καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου κατὰ πάντα ὅσα ἐποίησεν ὁ πατὴρ αὐτοῦ. Ἐν τῷ καιρῷ ἐκείνῳ ἀνέβη Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος εἰς Ἱεσουσαλήμ· καὶ ἦλθεν ἡ πόλις ἐν περιοχῇ· καὶ εἰσῆλθεν ὁ βασιλεὺς Βαβυλῶνος ἐν τῇ πόλει, καὶ οἱ παῖδες αὐτοῦ ἐπολιόρκουν αὐτήν· καὶ ἐξῆλθεν Ἰωακεὶμ βασιλεὺς Ἰούδα ἐπὶ βασιλέα Βαβυλῶνος, αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ, καὶ ἡ μήτηρ, καὶ εὐνοῦχοι αὐτοῦ· καὶ τοὺς ἰσχυροὺς τῆς γῆς ἀπήγαγεν ἀποικεσίαν ἐξ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα.[2]» Οὗτος δὴ οὖν ὁ δεύτερος Ἰωακεὶμ εἰς Βαβυλῶνα ἀπαχθείς, οὗτος ἦν αὐτὸς ὁ πρὸς τοῦ Ἱερεμίου Ἰεχονίας ὠνομασμένος, ἔκγονος τυγχάνων τοῦ Ἰωσία, ἀλλ' οὐχ υἱός· διὸ εἰκότως ἂν συναριθμοῖτο ἐν τῇ τρίτῃ γενεαλογίᾳ τῶν ἀπὸ Ἰεχονία μέχρι τοῦ Χριστοῦ γενεῶν δεκατεσσάρων· τοῦ πατρὸς αὐτοῦ, ὃς ἦν τοῦ Ἰωσία παῖς, σὺν τῷ πατρὶ ἐν ταῖς ἀνωτέρω γενεαῖς καταριθμουμένου· καὶ οὕτως ἡμῖν καὶ ὁ τῶν ὑστάτων δεκατεσσάρων γενεῶν ἀριθμὸς συνίσταται πλήρης.

---

1. Δ' Βασ. 23, 34. 2. Δ' Βασ. 24, 5-14.

ΙΔ΄.

«Διὰ τί τοῦ τέκτονος υἱὸς ὁ Σωτὴρ ἡμῶν ἐχρημάτισεν, ἀλλ᾽ οὐ τινὸς ἐπισήμου καὶ ἐνδόξου ἀνδρός.»

Οὐ τὴν ἔνθεον αὐτοῦ βασιλείαν ἐπιδείξων ἐλήλυθεν· ἐπεὶ μηδὲ φανητικῶς καὶ ἐπιδεικτικῶς ἡμῖν παρῄει· ἡ δὲ ὁδὸς αὐτῷ τῆς εἰς οὐρανοὺς ἀφίξεως ἐπὶ τούτῳ ἐγίνετο, ἐφ᾽ ᾧ τε τὸν τῶν ἀνθρώπων βίον περικαθάροιτο, τὸν ἐκ τῆς τῶν ἀνθρώπων ἀγέλης ἀμνὸν τοῦ Θεοῦ ἀντίψυχον καὶ καθάρσιον ὑπὲρ πάντων ἡμῶν αὐτὸς ἑαυτὸν ἐπιδούς· ἵν᾽ οὖν ἀπαραποδίστως εἰς τέλος ἀχθείη τοῦτο, τὰ πλεῖστα τῶν αὐτοῦ θαυμάτων ἀπέκρυπτέ τε καὶ ἐπεσκίαζε, ποτὲ μὲν παραινῶν μὴ εἰς πάντας ἐκφέρειν τὰ ὑπ᾽ αὐτοῦ πραττόμενα, ποτὲ δὲ τὰς ἐρημίας διώκων καὶ τὰς ἐν τοῖς ὄρεσι διατριβάς· καὶ τὴν ἔνθεον αὐτοῦ μεταμόρφωσιν οὐδὲ τοῖς αὐτοῦ μαθηταῖς ἅπασιν, μόνοις δὲ τρισίν, ἐπεδείκνυτο· αὐτοῖς τε τούτοις παρεκελεύετο μηδενὶ φάναι τὸ ὅραμα, ἕως ἂν ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἐγερθῇ· οὐκ ἂν δὲ ἔπαθεν ὑπὲρ ἡμῶν τὰ ἀναγεγραμμένα, εἰ οἷά τις ἔνδοξος βασιλεὺς μετὰ δορυφορίας ἐνθέου καὶ παρατάξεως ἐπῄει· ὁμοῦ καὶ τὰς ἐνθέους ἐνεργῶν παραδοξοποιΐας, ὁμοῦ καὶ κρείττονα ἑαυτὸν ἐπιδεικνὺς πάσης φύσεως· εἰκότως οὖν κατὰ τὸν Ἀπόστολον, «ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών·[1]» καὶ τοῦ πένητος Ἰωσὴφ υἱὸς οὐκ ἀπηνήνατο χρηματίσαι· ἵνα καὶ οὕτως ἐπαληθεύσῃ τὸ φάσκον περὶ αὐτοῦ λόγιον· «Ὅτι πλούσιος ὤν, δι᾽ ἡμᾶς ἐπτώχευσεν, ἵνα ἡμεῖς τῇ αὐτοῦ πτωχείᾳ πλουτήσωμεν.[2]»

ΙΕ΄.

«Πῶς ἐπὶ τὸν θρόνον λέγεται Δαβὶδ κεκαθικέναι».

α΄. Διαφόρως νοεῖται ὁ θρόνος Δαβίδ· καθ᾽ ἕνα μὲν τρόπον, καθ᾽ ὃν εἴποι ἄν τις δηλοῦσθαι τὸν ἐφ᾽ ᾧ ἐκαθέζετο βασιλεύων, τάχα που ἐξ ἐλέφαντος καὶ ξύλων πεποιημένον, χρυσῷ τε καὶ λίθοις βασιλικοῖς κεκοσμημένον· καθ᾽ ἕτερον δὲ καθ᾽ ὃν τὴν ἀρχὴν αὐτὴν καὶ τὴν κατὰ παντὸς τοῦ ἔθνους ἡγεμονίαν, θρόνον βασιλείας εἰώθαμεν ἀποκαλεῖν· τρίτος ἂν παρὰ τοὺς εἰρημένους λεχθείη τρόπος, καθ᾽ ὃν ὁ ἐπηγγελμένος ὑπὸ τοῦ Θεοῦ τῷ Δαβὶδ θρόνος ὀνομασθείη ἂν αὐτοῦ, οὐκ ἐφ᾽ ὃν αὐτὸς ἐκαθέσθη, ἀλλ᾽ ὃν διὰ τῶν πρὸς αὐτὸν θεοπρεπῶν οἱ θεῖοι λόγοι περιέχουσι· γέγραπται γὰρ ἐν ὀγδοηκοστῷ ὀγδόῳ ψαλμῷ· «Ὡς ὤμοσα Δαβὶδ τῷ δούλῳ μου, ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου· καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου.[3]» Καὶ πάλιν· «Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ.[4]» Καὶ πάλιν· «Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι, τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μένει, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ

---

1. Φιλιπ. 2, 7. 2. Β΄ Κορ. 8, 9. 3. Ψαλμ. 88, 4-5. 4. Ψαλμ. 88, 30.

σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα, καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός.[1]»

β΄. Ἐπεὶ τοίνυν θρόνον ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ, καὶ ὡς τὸν αἰῶνα διαμένοντα δώσειν ἐπήγγελτο διὰ τῶν εἰρημένων ὁ Θεὸς τῷ Δαβίδ, πολλὴ μέν τις ἦν διὰ ταῦτα τῷ παντὶ Ἰουδαίων ἔθνει προσδοκία περὶ τοῦ δηλωθέντος θρόνου· βραχὺν δὲ χρόνον τοῦ Δαβὶδ ἡγησαμένου, καὶ Σολομῶνος μετ' αὐτόν, οὐ μὴν ἀλλὰ καὶ τῶν διαδόχων τῆς αὐτῶν βασιλείας εἰς Ἰεχονίαν καὶ τὴν εἰς Βαβυλῶνα αἰχμαλωσίαν καταστρεψάντων, ὡς ἐξ ἐκείνου λελύσθαι τὸν θρόνον τῆς βασιλείας Δαβίδ, ἐδόκει τὰ τῆς τῶν θείων χρησμῶν ἐπαγγελίας μὴ συνίστασθαι· τοῦτο οὖν αὐτὸ τῷ θείῳ Πνεύματι πάλιν ὁ αὐτὸς ψαλμὸς προαγορεύει ἑξῆς τοῖς προπαρατεθεῖσι λέγων· «Ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε, ἃ ὤμοσας τῷ Δαβὶδ ἐν τῇ ἀληθείᾳ σου;[2]» Καὶ τήν γε καθαίρεσιν τῆς βασιλείας αὐτοῦ, καὶ τῆς διαδοχῆς αὐτοῦ, τοῦ θρόνου τε τὴν καταστροφὴν διαρρήδην ὑποσημαίνει πάλιν ἑξῆς διὰ τούτων· «Σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας, Κύριε· ἀνεβάλου τὸν Χριστόν σου, κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου, ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ·[3]» καὶ ἐπιφέρει· «τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέρρηξας.[4]»

γ΄. Ταῦτα πάντα κατὰ τὸ αὐτὸ συνάγει τὸ Πνεῦμα, μονονουχὶ βουλόμενον ἡμᾶς διδάξαι, ὅτι οὐ περὶ τῆς βασιλείας τῆς αἰσθητῆς, οὐδὲ περὶ τοῦ θρόνου τοῦ σωματικώτερον νοουμένου αἱ πρὸς Δαβὶδ ἦσαν ἐπαγγελίαι· αἱ μὲν γὰρ περί τινος αἰωνίου θρόνου, ἀπεικαζομένου ἡλίῳ καὶ οὐρανῷ, διαμένοντός τε εἰς αἰῶνα, προεθέσπιζον· ἡ δέ γε τοῦ Δαβὶδ βασιλεία ἡ αἰσθητή, χρόνῳ λέλυτο οὐκ εἰς μακρόν· εἰκότως τοιγαροῦν τοῦ θρόνου τῆς αἰσθητῆς βασιλείας Δαβὶδ τὴν καθαίρεσιν ὑπογράψας, καὶ εἰπών, τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέρρηξας, περὶ τοῦ διὰ τῶν θείων χρησμῶν ἐπηγγελμένου αἰωνίου καὶ οὐρανίου θρόνου ἑξῆς τὴν εὐχὴν ποιεῖται λέγων· «Ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε, ἃ ὤμοσας τῷ Δαβὶδ ἐν τῇ ἀληθείᾳ σου;» μονονουχὶ τὰς ἐκβάσεις τῶν μεθ' ὅρκου διαβεβαιώσεως ἐπηγγελμένων αὐτῷ τέλους τυχεῖν ἀξιῶν.

δ΄. Τοῦτον οὖν αὐτὸν ἐκεῖνον ὃν ὤμοσεν ὁ Θεὸς δώσειν τῷ Δαβὶδ θρόνον, τὸν ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ, καὶ τὸν ὡς ὁ ἥλιος ἐναντίον τοῦ Θεοῦ, καὶ τὸν ὡς σελήνην κατηρτισμένην εἰς τὸν αἰῶνα, παντὸς ἐπιστῆναι τοῦ ἔθνους εὐχομένου, ὁ μέγας ἄγγελος Γαβριὴλ τὴν Παρθένον εὐαγγελίζεται τῷ ἐξ αὐτῆς γεννησομένῳ δοθήσεσθαι θεσπίζων· διό φησι πρὸς αὐτήν· «Καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· οὗτος ἔσται μέγας, καὶ Υἱὸς Ὑψίστου κληθήσεται· καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ.» Ἐπιφέρει δ' οὖν ἐφεξῆς καὶ λέγει· «Καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας· καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος·» σύμφωνα τοῖς ἀπὸ τῶν

---

1. Ψαλμ. 88, 36-38. 2. Ψαλμ. 88, 50. 3. Ψαλμ. 88, 39-40. 4. Ψαλμ. 88, 46.

χρησμῶν ἑρμηνεύων· ὁ μὲν γὰρ πρὸς τὸν Δαβὶδ περὶ θρόνον βασιλείας αἰωνίου καὶ οὐρανίου προὔλεγεν, ὁ δὲ ὡσαύτως τὸν ἐκ τῆς Παρθένου γεννησόμενον λήψεσθαί φησι τὸν θρόνον Δαβίδ, τουτέστι τὸν τῷ Δαβὶδ ἐπηγγελμένον μέν, οὐ μὴν καὶ δεδομένον· οὗτος δ' ἦν ὁ οὐράνιος καὶ εἰς αἰῶνα διαμένων· ἦν οὖν καὶ τοῦτο συμπέρασμα μεγίστης προφητείας τῷ Δαβὶδ κεχρησμένης, προσδοκωμένης τε τῷ παντὶ λαῷ, πεπληρωμένης δὲ ἐπὶ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, κατὰ τὴν τοῦ Γαβριὴλ μαρτυρίαν φήσαντος· «Καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.» Διόπερ καὶ αὐτὸς ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν πρὸς τὸν ἐρόμενον αὐτόν, εἰ αὐτὸς εἴη ὁ τῶν Ἰουδαίων βασιλεύς, ἀπεκρίνατο· «Ἡ βασιλεία ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου·[1]» οὐδὲν γὰρ θνητὸν οὐδὲ ἐπίκαιρον ἐπήγετο αὐτῷ ὁ τῆς βασιλείας θρόνος· ἀλλ' ἦν ἀληθῶς καθ' ὅλης τῆς ἀνθρώπων οἰκουμένης, φωτὸς δίκην, ἐκλάμπων ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα, ψυχὰς νοερὰς καταυγάζων διὰ τῆς ἐνθέου καὶ οὐρανίου διδασκαλίας αὐτοῦ.

ε'. Εἰ δὲ λέγοιτο ἐπὶ τὸν Ἰακὼβ βασιλεύσειν, μὴ τὸ Ἰουδαίων ἔθνος νόμιζε διὰ τοῦ Ἰακὼβ δηλοῦσθαι. Ὁ γοῦν ταῦτα ἱστορῶν Λουκᾶς ὁ εὐαγγελιστής, μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ Σωτῆρος ἡμῶν τὴν τοῦ Γαβριὴλ φωνὴν οἰκείᾳ παραδοὺς γραφῇ, σαφῶς ἠπίστατο τὸν Ἰησοῦν οὐκ ἐπὶ τὸ Ἰουδαίων ἔθνος τὸν Σωτῆρα βεβασιλευκότα, οὐδὲ εἰς τοὺς αἰῶνας αὐτὸν ἄρξαντα, ὧν γε καὶ τὴν κατ' αὐτοῦ συσκευήν, καὶ τὴν εἰς θάνατον ἐπιβουλὴν ἀκριβῶς ἱστορεῖ· καὶ οὐ μόνον, ἀλλὰ καὶ ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων τὰς κατὰ τῶν τοῦ Ἰησοῦ μαθητῶν ἐπαναστάσεις αὐτῶν· οὐκ ἂν οὖν ἐπ' αὐτοὺς βασιλεύσειν τὸν Χριστὸν τὴν φωνὴν τοῦ Γαβριὴλ νομίσας εἰρηκέναι, ὡς ἀληθῆ αὐτὴν παρελάμβανεν, εἰ μὴ πάντας τοὺς διὰ τῆς κλήσεως τοῦ Σωτῆρος ἡμῶν ἐξ ἁπάντων τῶν ἐθνῶν εἰς τὴν τῶν ἁγίων υἱοθεσίαν εἰσποιούμενος, οἶκον Ἰακὼβ ἡγήσατο κατὰ διάνοιαν δηλοῦσθαι· ὅθεν καὶ ὁ θεῖος Ἀπόστολος ἐπιστάμενος σαφέστατα, παρίστη λέγων· «Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι, οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ.[2]»

ΙϚ'.

«Πῶς ἀπὸ τῆς Βηθλεὲμ ὁ μὲν Ματθαῖος εἰς Αἴγυπτον ἱστορεῖ, ὁ δὲ Λουκᾶς εἰς Ἱερουσαλήμ, κἀκεῖθεν εἰς Ναζαρὲθ πρὸς τῶν γονέων φέρεσθαι τὸν Ἰησοῦν.»

α'. Λουκᾶς μὲν τὸν καιρὸν ἱστορῶν τῆς τοῦ Σωτῆρος ἡμῶν γενέσεως, τῆς Αὐγούστου βασιλείας μνημονεύει καὶ τῆς κατ' αὐτὸν ἀπογραφῆς· φησί τε μηδὲ ἐσχηκέναι αὐτοὺς ἐν τῇ Βηθλεὲμ κατάλυμα, πλήθους συνόντος ὡς εἰκὸς ἐν τῇ Βηθλεὲμ τῶν ἀπὸ γένους Δαβὶδ

---

1. Ἰω. 18, 36. 2. Ῥωμ. 2, 28-29.

τῆς ἀπογραφῆς ἕνεκεν· διὸ μηδὲ οἴκου τὸν Ἰωσὴφ εὐπορεῖν· ὅθεν τεκοῦσάν φησι τὴν Μαρίαν σπαργανῶσαι τὸ βρέφος καὶ ἀποθέσθαι ἐν φάτνῃ, διὰ τὸ μὴ εἶναι αὐτοῖς τόπον ἐν τῷ καταλύματι· καὶ εἰκός γε ἦν πλείστων συνόντων διὰ τὴν ἀπογραφὴν μὴ εὐπορεῖν καταγωγίου, ἀλλὰ καί, «Ὅτε», φησίν, «αἱ ἡμέραι ἐπλήσθησαν τοῦ περιτεμεῖν αὐτὸν [1] (χρὴ δὲ τοῦτο γίνεσθαι ὀγδόῃ μετὰ τὴν ἀπότεξιν ἡμέρᾳ), ἀνήγαγον τὸ παιδίον εἰς Ἱεροσόλυμα, καὶ τελέσαντες ἐπ' αὐτῷ τὰ νενομισμένα, ἀπίασιν εἰς Ναζαρέθ.» Τούτων παρὰ τῷ Λουκᾷ κειμένων οὐδενὸς μνημονεύσας ὁ Ματθαῖος, παραχωρήσας δὲ τῷ Λουκᾷ τὰ εἰρημένα, ἕτερα αὐτὸς διηγεῖται· τίνα δὲ ἦν ταῦτα, ἀλλ' ἢ τῶν Μάγων ἀπὸ Ἀνατολῆς ἄφιξις; κινησάντων μὲν ἀπὸ τῆς οἰκείας γῆς ἅμα τῷ γεννηθῆναι τὸν Ἰησοῦν, ἀστέρος αὐτοῖς τὴν γνῶσιν τῆς γεννήσεως ὑποφήναντος, οὐδήπου δὲ τὴν τοσαύτην στειλαμένων πορείαν καιρῷ βραχεῖ· οὐ γὰρ ἐν ἡμέραις ὀκτὼ τὴν ἀπὸ Ἀνατολῶν ὁδὸν εἰκὸς αὐτοῖς ἐπὶ τὴν Ἰουδαίαν ἠνῦσθαι, ὡς τὸν αὐτὸν νομίσαι εἶναι καιρὸν τῆς τε τούτων ἀφίξεως, καὶ τῆς τοῦ Σωτῆρος ἡμῶν γενέσεως· εἰ δὲ καὶ πυνθανόμενοι λέγουσι, «Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ [2]», οὐ τὸν σήμερον τεχθέντα, ὡς ἄν τις ὑπολάβοι, καθ' ὃν ταῦτα ἐπυνθάνοντο χρόνον δηλοῦσιν, ἀλλὰ τὸν τότε γενόμενον ὅτε αὐτοῖς ὁ ἀστὴρ ἐπέφανε.

β'. Πόσος δὲ ἦν οὗτος ὁ μεταξὺ χρόνος, τοῦ τε φανέντος τοῖς Μάγοις ἐπὶ τῆς τοῦ Σωτῆρος ἡμῶν γενέσεως ἀστέρος, καὶ τῆς αὐτῶν εἰς τὰ Ἱεροσόλυμα παρουσίας, αὐτός σε διδάξει ὁ εὐαγγελιστὴς λέγων· «Τότε Ἡρώδης λάθρα καλέσας τοὺς Μάγους, ἠκρίβωσε παρ' αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος.[3]» Καὶ ὡς ἂν ἀκριβώσας παρ' αὐτῶν, μαθὼν ὅστις ἦν οὗτος, μετὰ τὸ ἀναχωρῆσαι λάθρα τοὺς Μάγους, ἰδὼν ὅτι ἐνεπαίχθη ὑπ' αὐτῶν, «ἐθυμώθη λίαν, καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας ἐν Βηθλεέμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν Μάγων.[4]» Οὐκοῦν διετὴς χρόνος ἤδη παρεληλύθει ἀπὸ τῆς Ἰησοῦ γενέσεως καὶ ἐπὶ τὴν ἄφιξιν τῶν εἰρημένων· οὐκ ἄρα διαφωνεῖ τὰ παρὰ τοῖς ἱεροῖς εὐαγγελισταῖς, εἰ ὁ μὲν Λουκᾶς ὀγδόῃ τῆς γενέσεως ἡμέρᾳ ἀνάγει αὐτὸν ἅμα τοῖς γονεῦσιν εἰς Ἱερουσαλὴμ τῆς τῶν νομίμων ἐκ πληρώσεως ἕνεκα, κἀκεῖθεν ἀπάγει ἐπὶ τὴν Ναζαρέθ· ὁ δὲ Ματθαῖος μετὰ διετῆ χρόνον γενομένους πάλιν ἐν Βηθλεὲμ ἀναγράφει, ἐντεῦθέν τε εἰς Αἴγυπτον ἀπεληλυθέναι φησὶ διὰ τὴν τοῦ βασιλέως ἐπιβουλήν· καὶ ἦν εἰκὸς μόνον δεύτερον, ἀλλὰ καὶ πλειστάκις ἐπιφοιτᾶν αὐτοὺς τῷ τόπῳ, μνήμης τοῦ παραδόξου χάριν· δείκνυται γοῦν ἀναμφιβόλως οὐχ ὁ αὐτὸς ὢν καιρὸς ἐν ᾧ γεγέννηται κατὰ τὸν Λουκᾶν ὁ Σωτὴρ ἡμῶν, ἐν ᾧ τε κατὰ τὸν Ματθαῖον ὑπήντησαν οἱ ἐξ Ἀνατολῶν Μάγοι.

---

1. Λουκ. 2, 21. 2. Ματθ. 2, 2. 3. Ματθ. 2, 7. 4. Ματθ. 2, 16.

γʹ. Ὅτι δὲ μὴ εἷς ἦν ὁ παρ' ἀμφοτέροις τοῖς εὐαγγελισταῖς χρόνος, καὶ ἄλλως ἐστὶ συλλογίσασθαι. Λουκᾶς φησι μὴ εὐπορῆσαι αὐτοὺς καταγωγίου ἐν τῇ Βηθλεέμ· διὸ καὶ τεκοῦσαν ἀνακλῖναι τὸ παιδίον ἐν φάτνῃ, διὰ τὸ μὴ εἶναι τόπον ἐν τῷ καταλύματι, ὡς εἰκός, τῆς ἀπογραφῆς ἕνεκεν πάντων πανταχόθεν τῶν ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ συντρεχόντων εἰς τὴν εἰρημένην πόλιν, διά τε τὸ πλῆθος τῶν ἐπιξενουμένων αὐτόθι μὴ εὐπορούντων καταλύματος· ὁ δὲ Ματθαῖος «Ἀκούσαντες», φησίν, «οἱ Μάγοι τοῦ βασιλέως Ἡρώδου, ἐπορεύθησαν εἰς Βηθλεέμ· καὶ ἰδοὺ ὁ ἀστήρ, ὃν εἶδον ἐν τῇ Ἀνατολῇ προῆγεν αὐτούς, ἕως οὗ ἦν τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ· καὶ πεσόντες προσεκύνησαν αὐτῷ.» Ἀλλ' οὐκ ἐν φάτνῃ κείμενον οὗτοι καταλαμβάνουσι τὸ παιδίον ὁμοίως τοῖς ποιμέσιν, ἀλλ' ἔνδον ἐν οἰκίᾳ μετὰ τῆς μητρὸς αὐτὸ θεωροῦσι· καίτοι Λουκᾶς ἔφησε μὴ εἶναι τόπον αὐτοῖς ἐν τῷ καταλύματι· πῶς οὖν ὁ Ματθαῖος οἰκίαν αὐτοῖς ἀφορίζει; Ἀλλ' ἐπεὶ Λουκᾶς τὸν καιρὸν ἱστορεῖ τῆς γενέσεως, οὗτος δ' ἦν ὁ τῆς ἀπογραφῆς, καθ' ὃν πανδημεὶ συνέτρεχον οἱ τῷ αὐτῷ γένει προσήκοντες ἐν τῇ τοῦ Δαβὶδ πόλει, ὁ δὲ Ματθαῖος τὰ μετὰ δύο ἐτῶν χρόνους ἱστορεῖ (τοσοῦτος γὰρ ἦν ὁ χρόνος ὃν Ἡρώδης παρὰ τῶν Μάγων ἠκρίβωσεν)· ὥστε σχολῆς οὔσης ἐν τῇ Βηθλεέμ, κατὰ τὸν Ματθαῖον εὐπόρουν καταγωγίου· διὸ εἰσελθόντες οἱ Μάγοι εἰς τὴν οἰκίαν, εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ· καὶ πεσόντες προσεκύνησαν αὐτῷ· καὶ αὕτη μὲν ἡ τοῦ ζητηθέντος λύσις.

Ταῦτά σοι ἐξ ἡμῶν, ἱερώτατε ἀνδρῶν καὶ φιλοπονώτατε υἱὲ Στέφανε, γνησίας ὄντα δείγματα διαθέσεως, ἀνακείσθω.

ΕΚΛΟΓΗ ΕΝ ΣΥΝΤΟΜΩ

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΕΥΣΕΒΙΟΥ ΠΡΟΣ ΜΑΡΙΝΟΝ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΕΥΑΓΓΕΛΙΟΙΣ ΖΗΤΗΜΑΤΩΝ ΚΑΙ ΛΥΣΕΩΝ *

Τῶν ἐν τοῖς θεοπνεύστοις Εὐαγγελίοις περὶ τὴν ἀρχὴν ἀπορουμένων ζητημάτων καὶ λύσεων δύο πεπονηκὼς ἤδη πρότερον συγγράμματα, πάρειμι νῦν, τὰ μέσα παρελθών, ἔπειτα πρὸς τῷ τέλει τῶν αὐτῶν πάντοτε τοῖς πᾶσι ζητούμενα· τάχα που τῆς τοῦ Θεοῦ βουλῆς διὰ τῶν σῶν ἐπιταγμάτων ἐπὶ τοῦτο ἡμᾶς παρορμησάσης, Μαρῖνε υἱὲ τιμιώτατέ μοι καὶ φιλοπονώτατε. Ἠρώτας δὲ τὸ πρῶτον·

Α'.

«Πῶς παρὰ μὲν τῷ Ματθαίῳ ὀψὲ Σαββάτων φαίνεται ἐγηγερμένος ὁ Σωτήρ, παρὰ δὲ τῷ Μάρκῳ πρωῒ τῇ μιᾷ τῶν Σαββάτων.»

α'. Τούτου διττὴ ἂν εἴη ἡ λύσις· ὁ μὲν γὰρ τὸ κεφάλαιον αὐτὸ τὴν τοῦτο φάσκουσαν περικοπὴν ἀθετῶν, εἴποι ἂν μὴ ἐν ἅπασιν αὐτὴν φέρεσθαι τοῖς ἀντιγράφοις τοῦ κατὰ Μάρκον Εὐαγγελίου· τὰ γοῦν ἀκριβῆ τῶν ἀντιγράφων τὸ τέλος περιγράφει τῆς κατὰ τὸν Μάρκον ἱστορίας ἐν τοῖς λόγοις τοῦ ὀφθέντος νεανίσκου ταῖς γυναιξὶ καὶ εἰρηκότος αὐταῖς, «Μὴ φοβεῖσθε, Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνόν·[1]» καὶ τοῖς ἑξῆς, οἷς ἐπιλέγει· «καὶ ἀκούσασαι ἔφυγον, καὶ οὐδενὶ οὐδὲν εἶπον, ἐφοβοῦντο γάρ.[2]» Ἐν τούτῳ γὰρ σχεδὸν ἐν ἅπασι τοῖς ἀντιγράφοις τοῦ κατὰ Μάρκον Εὐαγγελίου περιγέγραπται τὸ τέλος· τὰ δὲ ἑξῆς σπανίως ἔν τισιν ἀλλ' οὐκ ἐν πᾶσι φερόμενα περιττὰ ἂν εἴη, καὶ μάλιστα εἴπερ ἔχοιεν ἀντιλογίαν τῇ τῶν λοιπῶν εὐαγγελιστῶν μαρτυρίᾳ· ταῦτα μὲν οὖν εἴποι ἄν τις παραιτούμενος καὶ πάντη ἀναιρῶν περιττὸν ἐρώτημα. Ἄλλος δέ τις οὐδ' ὁτιοῦν τολμῶν ἀθετεῖν τῶν ὁπωσοῦν ἐν τῇ τῶν Εὐαγγελίων γραφῇ φερομένων, διπλῆν εἶναί φησι τὴν ἀνάγνωσιν, ὡς καὶ ἐν ἑτέροις πολλοῖς, ἑκατέραν τε παραδεκτέαν ὑπάρχειν, τῷ μὴ μᾶλλον ταύτην ἐκείνης, ἢ ἐκείνην ταύτης, παρὰ τοῖς πιστοῖς καὶ εὐλαβέσιν ἐγκρίνεσθαι.

β'. Καὶ δὴ τοῦδε τοῦ μέρους συγχωρουμένου εἶναι ἀληθοῦς, προσήκει τὸν νοῦν διερμηνεύειν τοῦ ἀναγνώσματος· εἰ γοῦν διέλοιμεν τὴν τοῦ λόγου διάνοιαν, οὐκ ἂν εὕροιμεν αὐτὴν ἐναντίαν τοῖς παρὰ τοῦ Ματθαίου ὀψὲ σαββάτων ἐγηγέρθαι τὸν Σωτῆρα λελεγμένοις· τὸ γὰρ «ἀναστὰς δὲ πρωῒ τῇ μιᾷ τοῦ Σαββάτου» κατὰ τὸν Μάρκον,

---

* Κατὰ τὴν ἔκδοσιν τῆς Πατρολογίας τοῦ J. P. Migne, τ. 22 σ. 937 κέξ.

1. Μάρκ. 16, 6. 2. Μάρκ. 16, 8.

μετὰ διαστολῆς ἀναγνωσόμεθα· καὶ μετὰ τὸ «ἀναστὰς δέ», ὑποστίξομεν· καὶ τὴν διάνοιαν ἀφορίσομεν τῶν ἑξῆς ἐπιλεγομένων· εἶτα τὸ μὲν «ἀναστὰς» ἄν, ἐπὶ τὴν παρὰ τῷ Ματθαίῳ «ὀψὲ Σαββάτων·» τότε γὰρ ἐγήγερτο· τὸ δὲ ἑξῆς ἑτέρας, ὂν διανοίας ὑποστατικόν, συνάψωμεν τοῖς ἐπιλεγομένοις· πρωῒ γὰρ τῇ μιᾷ τοῦ Σαββάτου ἐφάνη Μαρίᾳ τῇ Μαγδαληνῇ· τοῦτο γοῦν ἐδήλωσε καὶ ὁ Ἰωάννης πρωῒ καὶ αὐτὸς τῇ μιᾷ τοῦ Σαββάτου ὦφθαι αὐτὸν τῇ Μαγδαληνῇ μαρτυρήσας· οὕτως οὖν καὶ παρὰ τῷ Μάρκῳ πρωῒ ἐφάνη αὐτῇ· οὐ πρωῒ ἀναστάς, ἀλλὰ πολὺ πρότερον κατὰ τὸν Ματθαῖον ὀψὲ τοῦ Σαββάτου· τότε γὰρ ἀναστὰς ἐφάνη τῇ Μαρίᾳ, οὐ τότε, ἀλλὰ πρωΐ· ὡς παρίστασθαι ἐν τούτοις καιροὺς δύο· τὸν μὲν γὰρ τῆς ἀναστάσεως, τὸν ὀψὲ τοῦ Σαββάτου· τὸν δὲ τῆς τοῦ Σωτῆρος ἐπιφανείας, τὸν πρωΐ, ὃν ἔγραψεν ὁ Μάρκος εἰπὼν (ὃ καὶ μετὰ διαστολῆς ἀναγνωστέον) «ἀναστὰς δέ·» εἶτα ὑποστίξαντες, τὸ ἑξῆς ῥητέον, «πρωῒ τῇ μιᾷ τοῦ Σαββάτου ἐφάνη Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια.[1]»

Β'.

«Πῶς κατὰ τὸν Ματθαῖον ὀψὲ Σαββάτων ἡ Μαγδαληνὴ τεθεαμένη τὴν ἀνάστασιν, κατὰ τὸν Ἰωάννην ἡ αὐτὴ ἑστῶσα κλαίει παρὰ τῷ μνημείῳ τῇ μιᾷ τοῦ Σαββάτου.»

α'. Οὐδὲν ἂν ζητηθείη κατὰ τοὺς τόπους, εἰ τὸ ὀψὲ Σαββάτων μὴ τὴν ἑσπερινὴν ὥραν τὴν μετὰ τὴν ἡμέραν τοῦ Σαββάτου λέγεσθαι ὑπολάβοιμεν, ὥς τινες ὑπειλήφασιν, ἀλλὰ τὸ βραδὺ καὶ ὀψὲ τῆς νυκτὸς τῆς μετὰ τὸ Σάββατον· οὕτω γὰρ καὶ ὀψὲ τῆς ὥρας εἰώθαμεν λέγειν, καὶ ὀψὲ τοῦ καιροῦ, καὶ ὀψὲ τῆς χρείας· οὐ τὴν ἑσπέραν δηλοῦντες, οὐδὲ τὸν μετὰ ἡλίου δυσμὰς χρόνον, τὸ δὲ σφόδρα βράδιον τούτῳ σημαίνοντες τῷ τρόπῳ· ὅθεν ὥσπερ διερμηνεύων αὐτὸς ἑαυτὸν ὁ Ματθαῖος μετὰ τὸ «ὀψὲ Σαββάτων», ἐπήγαγε «τῇ ἐπιφωσκούσῃ» φησί· δηλαδὴ ὥρᾳ τῇ λοιπὸν ἤδη ὑποφαινούσῃ, καὶ ἐπιφωσκούσῃ εἰς τὴν Κυριακὴν ἡμέραν, ἥτις ἦν ὀψὲ καὶ πόρρω λοιπὸν ἐλαύνουσα τῶν Σαββάτων· λέλεκται δὲ ὀψὲ «τοῦ Σαββάτου» παρὰ τοῦ ἑρμηνεύσαντος τὴν Γραφήν· ὁ μὲν γὰρ εὐαγγελιστὴς Ματθαῖος Ἑβραΐδι γλώττῃ παρέδωκε τὸ εὐαγγέλιον· ὁ δὲ ἐπὶ τὴν Ἑλλήνων φωνὴν μεταβαλὼν αὐτό, τὴν ἐπιφωσκοῦσαν ὥραν εἰς τὴν Κυριακὴν ἡμέραν, «ὀψὲ Σαββάτων» προσεῖπεν· ὥστε τὸν αὐτὸν σχεδὸν νοεῖσθαι καιρόν, ἢ τὸν σφόδρα ἐγγὺς παρὰ τοῖς εὐαγγελισταῖς διαφόροις ὀνόμασι τετηρημένον· μηδέν τε διαφέρειν Ματθαῖον εἰρηκότα· «Ὀψὲ δὲ Σαββάτων τῇ ἐπιφωσκούσῃ εἰς μίαν Σαββάτων ἦλθε Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία θεωρῆσαι τὸν τάφον[2]», Ἰωάννου φήσαντος· «τῇ δὲ μιᾷ τῶν Σαββάτων ἔρχεται Μαρία ἡ Μαγδαληνὴ πρωῒ εἰς τὸ μνημεῖον, ἔτι οὔσης σκοτίας.[3]» Πλατυκῶς γὰρ ἕνα καὶ τὸν αὐτὸν δηλοῦσι χρόνον

---

1. Μάρκ. 16, 9. 2. Ματθ. 28, 1. 3. Ἰω. 20, 1.

διαφόροις ῥήμασι· ὁ μὲν Ματθαῖος «ὀψέ», ἀντὶ τοῦ «βράδιον·» καὶ «ὀψὲ τῆς νυκτὸς» ὀνομάσας «πρωΐ», ὁ διερμηνεύων ἐπήγαγε τὸ «σκοτίας οὔσης», ἵνα μή τις τὸν ὄρθρον λέγειν αὐτὸν ὑπολάβοι· ὡς καὶ ὁ Ματθαῖος τῷ «ὀψὲ Σαββάτων», ἵνα μὴ τὴν ἑσπερινὴν ὥραν νομίσειέ τις λέγεσθαι, προσέθηκε τὸ «τῇ ἐπιφωσκούσῃ εἰς μίαν Σαββάτων.» Ἐπεὶ καὶ ἀκριβῶς οὗτος Σαββάτου εἶπεν τὴν ὀψίαν, μή τις τὴν ἑσπέραν ὑπολάβοι λέγεσθαι τὴν μετὰ ἡλίου δυσμάς, ἀλλὰ «Σαββάτων» φησὶν «ὀψέ».

β'. Ἔθος δὲ ὅλην τὴν ἑβδομάδα Σάββατον καλεῖν, καὶ πάσας τὰς ἡμέρας οὕτως ὀνομάζειν. Λέγεται γοῦν παρὰ τοῖς εὐαγγελισταῖς «τῇ μιᾷ τῶν Σαββάτων·» ἐν δὲ τῇ συνηθείᾳ, «δευτέρα Σαββάτων», καὶ «τρίτη Σαββάτων», καὶ «τετάρτη Σαββάτων·» οὕτως οὖν ὁ Ματθαῖος τὸν καιρὸν τὸν ἐπιφαύσκοντα εἰς τὴν ἕω τῆς Κυριακῆς ἡμέρας, «Σαββάτων ὀψὲ» ὠνόμασεν· οὐκ εἰπὼν ἑσπέραν τοῦ Σαββάτου, οὐδὲ ὀψὲ Σαββάτου· ἐπεὶ ἐχρῆν ἡμᾶς τῇ ἡμέρᾳ τοῦ Σαββάτου μετὰ ἡλίου δυσμὰς ἑσπέρας γινομένης ἀπονηστίζεσθαι· καὶ οὐκέτι τὴν Κυριακὴν ἡμέραν ἀγαλλιᾶν, ἀλλὰ τὴν ἑσπέραν τοῦ Σαββάτου, εἴπερ τοῦτ' ἐδήλου ὁ εὐαγγελιστής. Ἀλλ' οὐχ ἑσπέρας τοῦ Σαββάτου εἰώθαμεν τὰς νηστείας καταλύειν, ἀλλ' ἢ νυκτὸς ἐπιλαβούσης, αὐτῷ μεσονυκτίῳ, καὶ ἢ περὶ ἀλεκτόρων βοάς, ἢ ἀμφὶ τὸν ὄρθρον· ὥστε καὶ ἐξ αὐτοῦ τοῦ πράγματος, καὶ ἐκ τῆς κεκρατηκυίας ἐν ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ συνηθείας, τὸν διὰ τοῦ «ὀψὲ Σαββάτων» δηλούμενον καιρόν, μὴ τὴν ἑσπερινὴν ὥραν εἶναι, ἀλλὰ ταύτην, ἣν Ματθαῖος αὐτὸς παρέστησεν εἰπὼν «τῇ ἐπιφωσκούσῃ εἰς μίαν Σαββάτων.» Οὐδὲ γὰρ λόγον εἶχε κατὰ τὴν ἑσπέραν τοῦ Σαββάτου τοιούτων θαυμάτων ἀμφὶ τὸ μνημεῖον τοῦ Σωτῆρος ἀποτελουμένων, μὴ οὐχὶ πάντας τοὺς τὴν πόλιν οἰκοῦντας μαθεῖν τὰ γινόμενα, καὶ συνδρομὴ γεγόνει ἐπὶ τὸ μνῆμα, πάντων ἐγρηγορότων. Ἀκόλουθον δὲ ἦν ἀνατραπέντος τοῦ λίθου παραδόξως, παραχρῆμα σπεῦσαι τοὺς φρουροὺς τὰ πραχθέντα δηλῶσαι, τῆς ὥρας αὐτοῖς ἐπιτρεπούσης. Οἱ δὲ καὶ διδάσκονται τῇ ὑστεραίᾳ ὑπὸ τῶν ἀρχιερέων διαφημίσαι εἰς πάντας, ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων· ὃ δὴ χώραν οὐκ εἶχεν πλάττεσθαι αὐτοὺς εἰ τῇ ἑσπέρᾳ ἐγήγερτο. Ἀλλὰ γὰρ ἡγοῦμαι διὰ τούτων ἀποδείκνυσθαι τὸ παρὰ τῷ Ματθαίῳ λεγόμενον «ὀψὲ Σαββάτων», μὴ τὴν ὀψινὴν ὥραν τοῦ Σαββάτου σημαίνειν, μηδὲ τὸν ἑσπερινὸν καιρόν· ἀλλ' αὐτὸς Ματθαῖος ἐπήγαγεν τὴν ἐπιφώσκουσαν «ὥραν εἰς μίαν Σαββάτων», ἥτις ἦν πρωΐ, ἔτι σκοτίας οὔσης κατὰ τὸν Ἰωάννην· οὕτω γὰρ ἡ συμφωνία συνδράμοι ἂν τῶν εὐαγγελικῶν φωνῶν· ὡς καιροῦ μὲν ἑνὸς δι' αὐτῶν σημαινομένου, ἀναλλαττόντων δὲ παρ' ἑκάστου τῶν τοῦ καιροῦ μορίων· ἐπεὶ καὶ μιᾶς καὶ τῆς αὐτῆς ὥρας, καὶ τὴν ἀρχὴν ἔστιν ἐπινοῆσαι, καὶ τὸ μέσον, καὶ τὸ τέλος.

γ'. Οὐκ ἂν γοῦν ἁμάρτοις τὰ μὲν πρῶτα τῆς ἀναστάσεως τοῦ Σωτῆρος ἡμῶν σημαίνεσθαι εἰπὼν παρὰ τῷ Ἰωάννῃ, παρ' ᾧ ἡ Μαγδαληνὴ

πρωΐ, ἔτι οὔσης σκοτίας, καὶ πρῶτον καὶ δεύτερον ἐπιστᾶσα τῷ μνήματι, καὶ μὴ εὑροῦσα τὸ σῶμα τοῦ Σωτῆρος, κλαίει διὰ τὸ μηδένα μήπω ἐγνωκέναι περὶ τῆς ἀναστάσεως αὐτοῦ· τῆς αὐτῆς δὲ ὥρας μέρος εἶναι δεύτερον τὸν παρὰ τῷ Ματθαίῳ χρόνον, καθ' ὃν τρίτον ἐπιστᾶσα ἡ αὐτὴ Μαγδαληνὴ ἅμα τῇ ἄλλῃ Μαρίᾳ τῷ μνήματι, οὐκέτι κλαίει, ὡς ἂν παρὰ τῷ Ἰωάννῃ τεθεαμένη τοὺς ἀγγέλους καὶ αὐτὸν τὸν Σωτῆρα· τὰ γὰρ παρὰ τῷ Λουκᾷ καὶ τῷ Μάρκῳ ἑτέρων ἂν εἴη δηλωτικά, παρ' οἷς πλείους ἀπαντῶσιν γυναῖκες ἐπὶ τὴν θέαν· τὴν δέ γε Μαγδαληνὴν μὴ μακρὰν ἀλλήλων διεστῶσιν ἀπηντηκέναι καιροῖς νόμιζε, ἀλλ' ἐν τῷ αὐτῷ καὶ κατὰ τὸ αὐτὸ παρατυχεῖν καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον· τὸ μὲν πρῶτον, καθ' ἑαυτὴν μόνην· τὸ δὲ δεύτερον, μετὰ τῆς ἄλλης Μαρίας· οὕτω δ' οὖν ἡ αὐτὴ Μαρία ἡ Μαγδαληνὴ καὶ τὰ παρὰ τῷ Ματθαίῳ ἐθεᾶτο καὶ τὰ παρὰ τῷ Ἰωάννῃ· οὐκ ἀπελιμπάνετο δὲ τῶν παρὰ τοῖς πολλοῖς ἀναγεγραμμένων· οὐ γὰρ ἀπεστάτει τοῦ τόπου· παρῆν δὲ καὶ παρέμενεν καταπεπληγμένη μὲν τὰ τεθεαμένα, ποθοῦσα δὲ πρὸς τοῖς πρώτοις καὶ δευτέρων καὶ τριῶν θεοφανειῶν καταξιωθῆναι· ὧν ἐτύγχανεν μετὰ ταῦτα διαφόρως μὲν πλειόνων γυναικῶν ἐπὶ τὸ μνημεῖον ἀφικνουμένων, ἄλλοτε δ' ἄλλως αὐταῖς ἀγγελικῆς ὄψεως παραφαινομένης, αὐτῆς δὲ ἐφ' ἑκάστῃ θέᾳ παρατυγχανούσης· οὕτω γοῦν τῶν παρὰ τοῖς τέσσαρσιν εὐαγγελισταῖς ἀναγεγραμμένων θεωρὸς ἐγίγνετο ἡ Μαγδαληνή· διὸ καὶ παρὰ τοῖς πᾶσιν ἐμνημονεύθη· οὕτω δὲ καὶ ὁ μὲν καιρὸς ὁ αὐτὸς ἦν ὁ ὑπὸ τοῦ Ἰωάννου καὶ τοῦ Ματθαίου παριστάμενος· τοῦ δ' αὐτοῦ καιροῦ διάφορα διαστήματα παρ' ἑκάστῳ τετηρημένα.

δ'. Μὴ ταραττέτω δέ σε τὸ λέγεσθαι παρὰ τῷ Ματθαίῳ μετὰ τὸ ἐλθεῖν τὰς δύο Μαρίας θεωρῆσαι τὸν τάφον, «ὁ ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ ἀπεκύλισεν τὸν λίθον ἐκ τῆς θύρας.[1]» Οὐ γὰρ κατ' αὐτὴν τὴν ὥραν προσήκει νοεῖν τὸν ἄγγελον ἀποκεκυλικέναι τὸν λίθον· πῶς γάρ; ὁπότε προϋπῆρχεν παρὰ τῷ Ἰωάννῃ, παρ' ᾧ οὐχ ἡ Μαρία μόνη, ἀλλὰ καὶ δύο μαθηταὶ ἐληλύθασιν εἰς τὸ μνημεῖον· διόπερ εἴποις ἂν τὸν παρὰ τῷ Ματθαίῳ λόγον διηγηματικὸν εἶναι τῶν πρὸ τούτου γεγενημένων· ἦλθον μὲν γὰρ κατὰ τοῦτον αἱ δύο Μαρίαι θεωρῆσαι τὸν τάφον, εὗρον δὲ αὐτὸν ἀνεῳγμένον, ἐπειδήπερ πρὸ τούτου σεισμὸς ἐγεγόνει μέγας, καὶ ὁ ἄγγελος ἀποκεκυλίκει τὸν λίθον, ὃς ἐπιστάς, αὖθις εὐαγγελίζεται τὰς γυναῖκας. Αὕτη μὲν οὖν μία λύσις ἂν γένοιτο τῶν κατὰ τὸν τόπον ἀπορουμένων.

ε'. Λυθείη δ' ἂν καὶ ἄλλως τὰ προκείμενα, εἰ ἑτέρας μὲν τὰς παρὰ τῷ Ματθαίῳ Μαρίας ὑπολάβοις εἶναι, ἑτέραν δὲ τὴν παρὰ τῷ Ἰωάννῃ· τέσσαρας γοῦν τὰς πάσας Μαρίας παρούσας τῷ πάθει τοῦ Σωτῆρος μετὰ τῶν ἄλλων γυναικῶν εὑρίσκομεν· πρῶτον μὲν οὖν τὴν Θεοτόκον τὴν αὐτοῦ τοῦ Σωτῆρος μητέρα· δευτέραν δὲ τὴν ταύτης

---

1 Ματθ. 28, 2.

ἀδελφὴν Μαρίαν, τὴν τοῦ Κλωπᾶ· εἶτα τρίτην Μαρίαν τὴν Μαγδαληνήν· καὶ τετάρτην τὴν Ἰακώβου καὶ Ἰωσὴφ μητέρα· καὶ τῶν μὲν πρώτων τριῶν Μαριῶν ἐμνημόνευσεν Ἰωάννης λέγων οὕτως· «Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή.[1]» Τῆς δὲ τετάρτης Μαρίας τῆς μητρὸς Ἰακώβου καὶ Ἰωσήφ, οἱ λοιποὶ τρεῖς ἐμνημόνευσαν εὐαγγελισταί, συμπαραλαβόντες τῇ Μαγδαληνῇ καὶ αὐτήν· Ματθαῖος μὲν οὕτως εἰπών· «Ἦσαν δὲ ἐκεῖ γυναῖκες πολλαὶ ἀπὸ μακρόθεν θεωροῦσαι, αἵτινες ἠκολούθησαν αὐτῷ· ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνή, καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσήφ[2], αἳ ἐθεάσαντο τὸν τόπον ποῦ τίθεται.[3]» Καὶ ὁ Λουκᾶς δὲ περὶ τῆς ἄλλης Μαρίας οὕτως ἱστορεῖ· «Ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία καὶ Ἰωάννα καὶ Μαρία ἡ Ἰακώβου καὶ αἱ λοιπαὶ σὺν αὐταῖς.[4]»

ς΄. Τούτων οὖν τῶν τεσσάρων Μαριῶν, εἰς τὰς δύο τὰς παρὰ τῷ Ματθαίῳ ὀψὲ Σαββάτων τῇ ἐπιφωσκούσῃ εἰς μίαν Σαββάτων ἐλθούσας ἐπὶ τὸ μνημεῖον, καὶ τὸν ἄγγελον θεασαμένας, ἑτέρας εἶναι ἐκλάβοις παρὰ τὴν πρωῒ τῇ μιᾷ τῶν Σαββάτων, ἔτι σκοτίας οὔσης ἀφικομένην μόνην κατὰ τὸν Ἰωάννην, ἀγνοοῦσαν τὸ ἐπὶ τὴν ἀνάστασιν, καὶ διὰ τοῦτο κλαίουσαν, οὐδὲν ἂν σκολιὸν ἀπαντήσεται, πάσης ἀπορίας καὶ ζητήσεως ἐκποδὼν ἀρθείσης· καὶ ὀψὲ μὲν Σαββάτων, κατὰ τὰ ἀποδεδομένα, πεπραγμένων τῶν ἐπὶ τῷ Ματθαίῳ συγγεγραμμένων ἐπὶ παρουσίᾳ τῶν δύο Μαριῶν, πρωῒας δὲ τῇ μιᾷ τῶν Σαββάτων ἑτέρας Μαρίας τὰς παρὰ τῷ Ἰωάννῃ τεθεαμένας, ἀληθεύεσθαί τε κἀκεῖνα καὶ ταῦτα, μηδὲ ἀντιλογίαν περιέχειν τοὺς τόπους, μήτε κατὰ τοὺς χρόνους, μήτε κατὰ τὰ πρόσωπα, μήτε κατὰ τοὺς λόγους.

ζ΄. Εἰ δὲ τὸ τῆς Μαγδαληνῆς προσκείμενον ἐν ἀμφοτέροις τοῖς εὐαγγελισταῖς ὄνομα τὴν διάνοιαν ταράττει, ἀλλ' οὐ προσήκει τὴν θείαν συγχεῖν Γραφὴν λέξεως μιᾶς ἢ ὀνόματος ἕνεκεν, ὃ πολλάκις συμβαίνει καὶ κατὰ γραφικὸν προσκεῖσθαι σφάλμα· ἢ γὰρ δύο καὶ ταύτας ἀπὸ μιᾶς πόλεως ἢ κώμης τῆς Μαγδαληνῆς ὁρμᾶσθαι ἡγητέον· ἢ ἐπὶ μιᾶς αὐτῶν προσκεῖσθαι τὸ τῆς Μαγδαληνῆς ἐπώνυμον, ἅπαξ τοῦ γραφέως κατὰ τὴν ἀρχὴν σφαλέντος, ὅτι ἐξ ἐκείνου τῶν μετ' αὐτὸν πρώτῳ ἐπηκολουθηκότων σφάλματι· τοῦτο δὲ καὶ ἐφ' ἑτέρῳ συμβάν, σμικρὸν ὕστερον ἐπιδείξωμεν· ἀλλ' ὥσπερ ἐπὶ τοιούτων ὀρθῶς κατὰ τὴν ἀρχὴν ὑπηγόρευτο, κατὰ σφάλμα δὲ τῶν μετὰ ταῦτα μὴ ἀκριβούντων τὴν μεταβολήν, συμβέβηκέ τινα ζητεῖσθαι, οὕτω καὶ ἐπὶ τοῦ ἐπωνύμου τῆς Μαγδαληνῆς περιττῶς ἐπὶ μιᾶς Μαρίας κειμένου εἴποις ἂν γεγονέναι· οὗ ὑφαιρεθέντος, περιγέγραπται πᾶσα ζήτησις, μηδενὸς μηκέτι κατὰ τοὺς τόπους ἀπορουμένου· ἀλλὰ καὶ ὀψὲ Σαββάτων, τοῦτ' ἔστι

---

1. Ἰω. 19, 25. 2. Ματθ. 27, 54-55. 3. Μάρκ. 15, 47. 4. Λουκ. 24, 10.

βαθείας νυκτός, τῶν παρὰ τῷ Ματθαίῳ πεπραγμένων ἑωραμένων ὑπὸ τῆς Μαγδαληνῆς καὶ τῆς ἄλλης Μαρίας· καὶ πρωΐας, ἔτι σκοτίας οὔσης, ἑτέρας Μαρίας ἀφικομένης ἐπὶ τὸν αὐτὸν τόπον· καὶ πρότερον μὲν ἀπορούσης ἐπὶ τὸ μὴ εὑρεῖν τὸ σῶμα τοῦ Σωτῆρος· ὕστερον δὲ καὶ αὐτῆς αὐτοπτούσης αὐτόν· κάλλιον δὲ τὸ μηδὲ σφάλμα αἰτιάσασθαι κατὰ τοὺς τόπους, δύο δὲ ἀληθῶς γεγονέναι τὰς Μαγδαληνὰς φάσκειν, ὡς καὶ τέτταρας ἀπεδείξαμεν τὰς Μαρίας· ὧν οὐδὲν ἄτοπον ἀπὸ τῆς αὐτῆς Μαγδαληνῆς δύο Μαρίας ὁρμᾶσθαι λέγειν, μηδέν τε λοιπὸν ἀπορεῖν, ἀλλ' ἑτέραν μὲν εἶναι τὴν ὀψὲ Σαββάτων παρὰ τῷ Ματθαίῳ Μαγδαληνήν, ἑτέραν δὲ αὖθις καὶ αὐτὴν Μαγδαληνὴν τὴν παρὰ τῷ Ἰωάννῃ πρωΐας ἐπὶ τὸ μνημεῖον ἐλθοῦσαν· ταύτην δὲ εἶναι τὴν καὶ παρὰ τῷ Μάρκῳ δηλουμένην, κατά τινα τῶν ἀντιγράφων, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια· καὶ ταύτην εἰκὸς εἶναι τὴν ἀκούσασαν «Μή μου ἅπτου», ἀλλ' οὐ τὴν παρὰ τῷ Ματθαίῳ· εἰ γὰρ καὶ τὰ μάλιστα κἀκείνη ἀπὸ τῆς Μαγδαληνῆς ὡρμᾶτο, ἀλλ' οὐ τὰ ὅμοια καὶ αὐτῆς ἡ θεία κατηγορεῖ Γραφή.

Γ'.

«Πῶς κατὰ τὸν Ματθαῖον ὀψὲ Σαββάτων ἡ Μαγδαληνὴ μετὰ τῆς ἄλλης Μαρίας ἁψαμένη τῶν ποδῶν τοῦ Σωτῆρος, ἡ αὐτὴ πρωῒ τῇ μιᾷ τοῦ Σαββάτου ἀκούει «Μή μου ἅπτου» κατὰ τὸν Ἰωάννην.»

α'. Εἰ μὲν οὖν μία καὶ ἡ αὐτὴ εἴη Μαρία παρ' ἀμφοτέροις τοῖς εὐαγγελισταῖς, λέξομεν ὅτι ἡ αὐτὴ πολλάκις ἐπὶ τὸν αὐτὸν ἀπήντα τόπον, ἐπειδὴ εἷλκεν αὐτὴν ἡ ἔκπληξις τοῦ πράγματος καὶ ἡ ἐπὶ τῷ γεγονότι χαρά· πρώτη τοίνυν ἀπαντήσασα καὶ πρώτη τεθεαμένη τὰ παρὰ τῷ Ἰωάννῃ, ἐσπευσμένως ἀπῄει πρὸς τοὺς ἀποστόλους τὸ πρῶτον, τὴν τοῦ μνήματος ἄνοιξιν ἀπαγγέλλουσα· εἶθ' ἅμα τὴν ἀνάστασιν τεθεαμένη, ἐδυσφόρει ὑπονοοῦσα ἦρθαι τὸ σῶμα τοῦ Ἰησοῦ ἀπὸ τοῦ μνήματος, μὴ εἰδέναι τε ὅπου τέθειτο· εἶτ' ἐπανῄει δεύτερον σὺν αὐτοῖς ἐπὶ τὸ μνῆμα· ὡς δ' ἐπέστρεφον οἴκαδε ἐκεῖνοι, μόνη πάλιν ἀπολειφθεῖσα ἐν τῷ τόπῳ, ἔκλαιεν ἑστῶσα· εἶτα τοῦ μνήματος εἴσω διακύψασα, τοὺς δύο ἀγγέλους ἐθεώρει· ἔπειτα καὶ αὐτὸν ὁρᾷ τὸν Σωτῆρα· ὅς, ἐπειδὴ κλαίουσα εἱστήκει, ἀνθρωπίνως δὲ καὶ ταπεινῶς, ὡς ἂν κλαπέντος σώματος αὐτοῦ, διακειμένη, ἀνάξιά τε περὶ αὐτοῦ φρονοῦσα, πρῶτον μὲν αὐτὴν γυναῖκα ὀνομάζει, ἐπιπλήττων αὐτῇ καὶ ὀνειδίζων τὸ γυναικεῖον πάθος· διό φησιν, «γύναι, τί κλαίεις;» εἶτά φησιν πρὸς αὐτήν· «Μαρία·» διὰ τοῦ ὀνόματος αὐτὴν ἑαυτῆς ὑπομιμνήσκων, καὶ τῶν πάλαι πρός αὐτήν τε καὶ τοὺς λοιποὺς μαθητὰς περὶ τῆς ἀναστάσεως αὐτοῦ λόγων· ἡ δ' εἰς συναίσθησιν ἐλθοῦσα, καὶ τί ποτε ἦν ἀπὸ τῆς φωνῆς καὶ τῆς τοῦ λόγου δυνάμεως ἐπιγνοῦσα, «Ῥαββουνί» φησιν, ὃ μεθερμηνεύεται «διδάσκαλε.»

β'. Εἶτ' ἐπειδὴ ὡς διδασκάλῳ αὐτῷ ἔτι καὶ οὐχ ὡς Θεῷ προσιέναι ὡρμᾶτο, ἀναίνεται καὶ παραιτεῖται αὐτήν, «Μή μου ἅπτου·» θνητὰ

γὰρ ἔτι φρονοῦσα, οὐχ οἵα τε ἦν τῆς αὐτοῦ θεότητος θίγειν· οὐδὲ γὰρ ἄξιον ἦν τὴν ἔτι κλαίουσαν, καὶ κάτω περὶ τὰ μνήματα καὶ τάφους οἷα νεκρὸν ζητοῦσαν αὐτόν, ταπεινά τε καὶ ἀνθρώπινα περὶ αὐτοῦ δοξάζουσαν, τῆς ἐπαφῆς αὐτοῦ κοινωνεῖν· διὸ τὴν αἰτίαν ἀπήλεγχεν, μὴ γὰρ ἀνεληλυθέναι οὔπω φησίν, ὅσον τὸ ἐπ' αὐτήν, πρὸς τὸν Πατέρα, ἐπεὶ μὴ τοῦτ' ἐπίστευσεν γεγονέναι, νεκρὸν δέ που κεῖσθαι αὐτὸν ᾤετο· διό φησιν πρὸς αὐτήν· «Μή μου ἅπτου», τοιαύτη τις οὖσα καὶ τοιαῦτα περὶ ἐμοῦ λογιζομένη· σοὶ γὰρ Θεὸς οὔπω πεπίστευμαι· σοὶ ἔτι κάτω εἶναι λελόγισμαι· οὕτω τὴν κλαίουσαν καὶ δόξασαν αὐτὸν εἶναι τὸν κηπουρόν, διὰ μὲν τοῦ «Μή μου ἅπτου» ἀπέστρεφεν ἐπιπλήττων αὐτῇ· ὡς καὶ διὰ τοῦ γυναῖκα καλεῖν, καὶ διὰ τοῦ λέγειν, «Τί κλαίεις;» τὸ γὰρ κλαίειν τὸν ζῶντα, μᾶλλον δὲ τὴν ζωὴν αὐτήν, ἐσχάτης ἦν ἀμαθίας· καὶ διὰ μὲν τούτων ἐπέπληττεν αὐτῇ· διὰ δὲ τῶν ἑξῆς τὴν καθ' ἑαυτὸν ἐπαίδευεν θεολογίαν· ἡ δ' ἐπὶ τούτοις τὰ μεγάλα ὠφελημένη, πάλιν ἀναχωρεῖ τοῦ μνήματος· τοῦτο δεύτερον· εἶτ' ἐξειποῦσα τῇ ἄλλῃ Μαρίᾳ τὰ τεθεαμένα παρὰ τῷ Ἰωάννῃ, ἐπανῄει σὺν αὐτῇ· τοῦτο τρίτον· καὶ τῶν παρὰ τῷ Ματθαίῳ μνημονευομένων θεωρὸς ἐγίγνετο οὐκέτι μόνη, σὺν δὲ τῇ ἑτέρᾳ Μαρίᾳ· καὶ οὐκέτι εἴσω τοῦ τάφου παρακύπτουσα ὡς παρὰ τῷ Ἰωάννῃ, οὐδὲ δύο ἀγγέλους, ἀλλ' ἕνα πρὸς τῷ λίθῳ καθήμενον ὁρῶσα.

γ'. Εἶτ' ἐπὶ τούτοις αὐτὸν πάλιν τὸν Σωτῆρα μετὰ τῆς ἄλλης Μαρίας θεωρεῖ· τοῦτο δεύτερον· καὶ οὐκέτι μὲν ἀκούει, «Μή μου ἅπτου», τοὐναντίον δὲ χαίρειν ἀντὶ τοῦ κλαίειν ὑπ' αὐτοῦ κελεύεται· ἀλλὰ καὶ ἅπτεσθαι αὐτοῦ συγχωρεῖται, ἐπεὶ καὶ προσκυνεῖ αὐτὸν ὡς Θεόν· λέγει γοῦν αὐταῖς ὁ Ἰησοῦς, «Χαίρετε·» αἱ δὲ προσελθοῦσαι, ἐκράτησαν αὐτοῦ τοὺς πόδας καὶ προσεκύνησαν αὐτῷ· καὶ οὕτως ἅμα ἀληθεύει τὰ ἱερὰ Εὐαγγέλια, κατ' οὐδένα λόγον διαφωνοῦντα· τὴν αὐτὴν δὲ Μαρίαν τὴν Μαγδαληνὴν εἰσάγοντα καὶ μὴ ἁπτομένην πρότερον τοῦ Σωτῆρος, ὅτε ἔκλαιε καὶ ἠπίστει· καὶ ἁπτομένην αὐτοῦ, ὅτε χαίρειν ἐκελεύετο· πρῶτα δὲ ἡγεῖσθαι τὰ παρὰ τῷ Ἰωάννῃ δηλούμενα τῶν παρὰ τῷ Ματθαίῳ φερομένων, καὶ διὰ τῶν ἔμπροσθεν γεγυμνασμένων ἡμῖν κατὰ μίαν τῶν ἐκδοχῶν παρεστήσαμεν, διασαφήσαντες ὅπως εἴρηται παρὰ τῷ Ματθαίῳ τὸ «ὀψὲ Σαββάτων», οὐ τὴν ἑσπερινὴν ὥραν δηλοῦντος τοῦ εὐαγγελιστοῦ, ἀλλὰ τὸν ἐπιφαύσκοντα εἰς μίαν Σαββάτων· ἦν δ' οὗτος δεύτερος τοῦ παρὰ τῷ Ἰωάννῃ δεδηλωμένου. Καὶ ταῦτα μὲν εἰρήσθω, εἴπερ τις ἐξ ἅπαντος τὴν αὐτὴν εἶναι Μαρίαν παρ' ἀμφοτέροις τοῖς εὐαγγελισταῖς Ἰωάννῃ τε καὶ Ματθαίῳ διϊσχυρίζοιτο.

δ'. Εἰ δὲ συγχωρηθείη τὸ μὴ τὴν αὐτὴν εἶναι, ἑτέραν δὲ τὴν ὀψὲ Σαββάτων κατὰ τὸν Ματθαῖον μετὰ τῆς ἄλλης Μαρίας ἀπαντήσασαν, καὶ ἄλλην τὴν παρὰ τῷ Ἰωάννῃ πρωῒ τῇ μιᾷ τῶν Σαββάτων, ἔτι οὔσης σκοτίας, μόνην ἐλθοῦσαν ἐπὶ τὸ μνημεῖον, πᾶσα λυθείη ἂν ἀμφιβολία· τὸ τὰς μὲν πρώτας ὀψὲ Σαββάτων ἀφικομένας, ἅτε σπουδαιοτέ-

ρας καὶ πιστοτέρας ὑπαρχούσας, καὶ τὸ χαίρειν παρὰ τοῦ Σωτῆρος ἀκοῦσαι, καὶ προσκυνῆσαι, καὶ τοὺς πόδας αὐτοῦ κρατῆσαι καταξιωθῆναι· τὴν δὲ παρὰ τῷ Ἰωάννῃ Μαρίαν ἑτέραν οὖσαν παρ' ἐκείνας βράδιον μὲν ἀπηντηκέναι καὶ πρωΐ· ταύτην δ' αὐτὴν εἶναι κατὰ τὸν Μάρκον ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια· σφόδρα δὲ τὴν ψυχὴν τεθορυβῆσθαι καὶ ἀπιστοτέραν εἶναι ὡς ἑστῶσαν κλαίειν, καὶ ὑπολαμβάνειν ὑφαιρεῖσθαι τοῦ μνημείου τὸ σῶμα τοῦ Σωτῆρος, καὶ ἐν ἑτέρᾳ μετενηνέχθαι γῇ· οὕτω δὲ συγκέχυτο ἡ ψυχὴ αὐτῇ, ὡς μηδὲ τοὺς δύο ἀγγέλους τοὺς εἴσω τοῦ μνήματος ὀφθέντας αὐτῇ καταπλαγῆναι, μηδὲ αὐτὸν γνωρίσαι ὀφθέντα αὐτῇ τὸν Σωτῆρα, νομίσαι δὲ αὐτὸν εἶναι τὸν κηπουρόν.

Δ'.

«Περὶ τοῦ τάφου καὶ τῆς δοκούσης διαφωνίας.»

Πῶς παρὰ τῷ Ματθαίῳ ἡ Μαγδαληνὴ Μαρία μετὰ τῆς ἄλλης Μαρίας ἔξω τοῦ μνήματος ἑώρακεν τὸν ἕνα ἄγγελον ἐπικαθήμενον τῷ λίθῳ τοῦ μνήματος· καὶ πῶς κατὰ τὸν Ἰωάννην εἴσω τοῦ μνήματος ἀγγέλους δύο θεωρεῖ καθημένους ἡ Μαγδαληνὴ Μαρία· κατὰ δὲ τὸν Λουκᾶν δύο ἄνδρες ἐπέστησαν ταῖς γυναιξίν· κατὰ δὲ τὸν Μάρκον νεανίσκος ἦν αὐταῖς ὁ ὁρώμενος καθήμενος ἐν τοῖς δεξιοῖς τοῦ μνημείου τῇ Μαγδαληνῇ Μαρίᾳ καὶ Μαρίᾳ Ἰακώβου καὶ Σαλώμῃ.

α'. Τὰ μὲν παρὰ τῷ Ματθαίῳ προηγοῦνται· ὅθεν καὶ αἱ δύο Μαρίαι ἄρτι τὸν ἄγγελον ἐπιστάντα καὶ τὸν λίθον ἀποκυλίσαντα ἐθεάσατο· τὰ δὲ παρὰ τῷ Ἰωάννῃ ὕστερον γίνεται, δύο ἀγγέλων εἴσω τοῦ μνήματος ὀφθέντων, ἑτέρων δὲ ὄντων παρὰ τὸν ἔξω φανέντα καὶ ἐπὶ τὸν λίθον καθεζόμενον, ὡς Ματθαῖος λέγει· τὸ δὲ παρὰ τῷ Λουκᾷ λεγόμενον, ὅτι δύο ἄνδρες ἐν ἐσθῆτι ἀστραπτούσῃ ὀφθέντες· ἔτι δὲ καὶ ὁ παρὰ Μάρκῳ νεανίσκος λευκὴν περιβεβλημένος στολήν, δεξιός τε ἀλλ' οὐκ ἀριστερὸς ὁρώμενος, ὁ τὰ φαιδρὰ καὶ δεξιὰ ταῖς γυναιξὶν εὐαγγελιζόμενος, ἕτεροι ἀλλήλων ἂν εἶεν καὶ αὐτοί, καὶ τῶν ἄλλων τῶν παρὰ τοῖς πρώτοις εὐαγγελισταῖς λεγομένων· διὸ οὐδὲ ἀγγέλους αὐτοὺς οὗτοι ὠνόμασαν· ὁ δὲ Μάρκος καὶ ὁ Λουκᾶς οὐδὲ τὰ παρὰ τῷ Ἰωάννῃ καὶ Ματθαίῳ ἐμνημόνευσαν, λέγω δὴ τῶν τοῦ Σωτῆρος ὀπτασιῶν· ἀλλὰ τοῖς κρείττοσιν Ματθαίῳ καὶ Ἰωάννῃ τὰ κρείττονα κατέλιπον εἰπεῖν· αὐτοὶ τὰ δεύτερα εἰπόντες, καὶ ἀναπληροῦντες τὰ ἐκείνοις σεσιγημένα.

β'. Ἔστιν οὖν εἰπεῖν οὕτως, ὅτι τεσσάρων ὄντων τῶν εὐαγγελιστῶν, ἰσάριθμοι τούτοις καὶ παρ' αὐτῶν ἀναγραφεῖσαι φαίνονται ὀπτασίαι· οἵ τε καιροὶ τέσσαρες, καὶ οἱ καθ' ἕκαστον καιρὸν ὀφθέντες ἰδιαζόντως· ὁμοίως δὲ καὶ αἱ θεώμεναι τῶν γυναικῶν διάφοροι, καὶ οἱ παρὰ τῶν ὀφθέντων λόγοι λεγόμενοι πρὸς αὐτὰς παραλλάττοντες· πῶς οὖν ἐστι τοῦτο; Πρῶτος οὖν ἐστιν ὁ παρὰ τῷ Ματθαίῳ «ὀψὲ Σαββάτων», ὅπου ἡ Μαγδαληνὴ Μαρία μετὰ τῆς ἄλλης ἔξω τοῦ μνήματος, ὅτε καὶ ἐγένετο σεισμός, ἕνα εἶδον λέγοντα οὕτως, «Μὴ φο-

βεῖσθε ὑμεῖς· οἶδα γὰρ ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε· οὐκ ἔστιν ὧδε· ἠγέρθη γάρ· δεῦτε, ἴδετε.» Τέταρτος δὲ καὶ τελευταῖος ὁ παρὰ τῷ Μάρκῳ ἡλίου ἀνατείλαντος φανεὶς ὁ νεανίσκος ὁ ὀφθεὶς ταῖς γυναιξὶν τῇ Μαρίᾳ τῇ Μαγδαληνῇ καὶ τῇ Μαρίᾳ Ἰακώβου καὶ Σαλώμη, αἳ μετ' ἀρωμάτων ἐλθοῦσαι ἤκουσαν, «Μὴ ἐκθαμβεῖσθε, Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον.» Μέσοι δὲ οἱ παρὰ τῷ Ἰωάννῃ καὶ τῷ Λουκᾷ καὶ ὀφθέντες κατὰ καιρὸν ἰδιάζοντες· ἐφάνη μὲν γὰρ ὀψὲ Σαββάτων ἄγγελος εἷς ἐκτὸς τοῦ μνήματος· μεθ' οὗ καὶ αὐτὸς ὁ Σωτήρ· ὄρθρου δὲ βαθέος, ἕτεροι οἱ κατὰ τὸν Λουκᾶν δύο ἄνδρες ὠνομασμένοι οὐκ εἴσω τοῦ μνήματος ὀφθέντες· ὕστερος ἁπάντων ὁ νεανίσκος, καὶ πρὸ τούτου καὶ τῶν παρὰ τῷ Λουκᾷ οἱ δύο εἴσω τοῦ μνήματος.

γ'. Ὅτι ὁ Λουκᾶς μιᾷ λέγει τῶν Σαββάτων, ὄρθρου βαθέος, φέρειν ἀρώματα γυναῖκας δύο τὰς ἀκολουθησάσας αὐτῷ, αἵτινες ἦσαν ἀπὸ τῆς Γαλιλαίας συνακολουθήσασαι, ὅτε ἔθαπτον αὐτὸν ἐλθοῦσαι ἐπὶ τὸ μνῆμα· αἵτινες δύο ἀγγέλους εἶδον, οἳ καὶ εἶπον, «Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη· μνήσθητε ὡς ἐλάλησεν ὑμῖν ἔτι ὢν σὺν ὑμῖν λέγων, ὅτι δεῖ παθεῖν τὸν Υἱὸν ἀνθρώπου», καὶ τὰ ἑξῆς.

δ'. Ὅτι Ἰωάννης λέγει τῇ μιᾷ τῶν Σαββάτων Μαρίαν τὴν Μαγδαληνὴν μόνην ἔρχεσθαι πρὸς τὸ μνῆμα, σκοτίας ἔτι οὔσης, καὶ βλέπει τὸν λίθον ἠρμένον καὶ ἔρχεται πρὸς Σίμωνα καὶ πρὸς Ἰωάννην καὶ λέγει «Ἦραν τὸν Κύριον ἀπὸ τοῦ μνημείου καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν· ἦλθε οὖν Πέτρος καὶ Ἰωάννης ἐπὶ τὸ μνημεῖον», καὶ τὰ ἑξῆς. Εἶτα εἰσάγει κλαίουσαν τὴν Μαγδαληνήν, καὶ παρακύψασαν ἰδεῖν λέγει δύο ἀγγέλους καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ, καὶ ἕνα πρὸς τοῖς ποσίν· καὶ λέγουσιν αὐτῇ, «Γύναι, τί κλαίεις;» ἡ δὲ εἶπεν, «Ἦραν τὸν Κύριόν μου καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν.» Εἶτα ἐστράφη εἰς τὰ ὀπίσω, καὶ εἶδεν τὸν Ἰησοῦν ἑστῶτα· καὶ οὐκ ᾔδει ὅτι Ἰησοῦς ἐστιν· ὁ δὲ Ἰησοῦς λέγει, «Γύναι, τί κλαίεις; τίνα ζητεῖς;»

ε'. Ὅτι ἀποροῦσί τινες ὡς τρεῖς ἡμέραι καὶ τρεῖς νύκτες πληροῦνται, καθὼς εἶπεν Χριστός, αἱ τῆς ἀναστάσεως· καὶ ἔστιν εἰπεῖν· οἱ μὲν ἀπὸ τῆς προδοσίας· οἱ δὲ τὴν Παρασκευὴν εἰς δύο ποιοῦσιν, ἐπεὶ νὺξ γέγονεν καὶ πάλιν ἡμέρα· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τοῦ ἡλίου σκοτισθέντος καὶ πάλιν ἀναφλεχθέντος· εἶτα ἡ τοῦ Σαββάτου ἡμέρα ὅλη καὶ ἡ νὺξ αὐτῆς. Οἱ δὲ ἡμέραν μὲν τὴν Παρασκευὴν ὅλην καὶ τὴν νύκτα αὐτῆς, Σάββατον ὅλον καὶ τὴν νύκτα αὐτοῦ· τῆς δὲ Κυριακῆς τὴν ἀρχὴν εἰς ἡμέραν μετροῦσιν ὅλην· ὡς ἀρξαμένης ἤδη τότε ὁ Χριστὸς ἠγέρθη· οὕτω τρεῖς ἡμέρας λέγουσιν. Ἐπεὶ καὶ ἐπὶ νεκρῶν καὶ ἐπὶ τῶν ἀρτιγενῶν παίδων οὕτως μετρεῖν ἔθος ὅλην ἡμέραν, ὅτε τὴν ἀπὸ τῆς δεκάτης ὥρας ἀρξαμένην γέννησιν μετροῦμεν, ἢ τὴν ἀπὸ τῆς ἀρχῆς τῆς ἡμέρας ἀρξαμένην γέννησιν· ὁμοίως καὶ ἐπὶ νεκρῶν τὴν τρίτην ἡμέραν καὶ τὴν ἐνάτην καὶ τὴν τεσσαρακοστὴν τὰ νενομισμένα

ποιοῦντες· οὐχ ὅλην τὴν τρίτην μετὰ τῆς νυκτὸς αὐτῆς· οὐδὲ ὅλην τὴν ἐνάτην μετὰ τῆς οἰκείας νυκτὸς αὐτῆς· οὐδὲ τὴν τεσσαρακοστὴν ὁμοίως ὅλην μετὰ νυκτὸς αὐτῆς· ἀλλὰ τὰς ἀρχὰς τῶν τελευταίων ἡμερῶν ὁρῶντες ἐκτελοῦμεν τὰ πραττόμενα, ὅλην ἡμέραν ταύτην καὶ μετροῦντες καὶ λογιζόμενοι.

ϛ'. Ἀλλ' ἐπεὶ Χριστός φησιν, τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ἐν τῇ καρδίᾳ τῆς γῆς ἔσομαι[1], ἔστι δὲ οὕτως εἰπεῖν· ἆρα εἰ χρεώστην ἐπαγγειλάμενον τῷ οἰκείῳ δανειστῇ μετὰ τρεῖς ἡμέρας πληρώσειν τὸ χρέος, πρὸ τῆς προθεσμίας πληρώσαντα θεασάμενοι, ὡς ψευσάμενον κρινοῦμεν, ἢ ὡς πλέον ἀληθεύσαντα; Καὶ ἄλλως· εἰ θᾶττον ἢ εἶπεν, ἀνέστη, πλέων ἡ δύναμις, καὶ ἔγκλημα οὐκ ἔχει· τὸ δὲ βράδιον, ὑποψίας γέμει καὶ ψεῦδος λογίζεται γιγνόμενον· ψεῦδος μέν, ὅτι παρῆλθεν ὁ λεχθεὶς ὅρος· ὕποπτον δέ, ὅτι τῶν φυλάκων ἀναχωρησάντων, κλοπὴ τὸ πρᾶγμα ἐνομίσθη ἄν.

1. Ματθ. 12, 40.

ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ

ΕΡΩΤΗΣΕΙΣ ΕΙΣ ΤΑΣ ΕΥΑΓΓΕΛΙΚΑΣ ΠΕΡΙΚΟΠΑΣ *

Ἐκ τῆς σειρᾶς τοῦ Νικήτα Σερρῶν εἰς τὸν Εὐαγγελιστὴν Λουκᾶν.

α΄. Περὶ δὲ τοῦ τὸν Ματθαῖον ἄνωθεν κατάγειν τὰς διαδοχάς, τὸν δὲ Λουκᾶν ἀνάπαλιν πεποιηκέναι, μίαν καὶ τὴν αὐτὴν ὁδὸν πορευθέντας, οὐδὲν ἐπιμέμφεσθαι δεῖ· ἐπεὶ καὶ τοὺς ἀνάντη καὶ ὄρθιον πορείαν ἀνιόντας, καὶ τοὺς ἔμπαλιν διὰ τῆς αὐτῆς κατιόντας, οὐκ ἄν τις ἑτέραν φαίη βαδίζειν, μιᾶς ἀμφοτέροις κειμένης τοῖς τε ἀνιοῦσι καὶ τοῖς κατιοῦσι τρίβου. Τὸν αὐτὸν γοῦν τρόπον καὶ ἐπὶ τῆς τῶν γενῶν διαδοχῆς πάρεστιν, ὅτῳ φίλον ἐπ' ἐξουσίας διὰ τῶν αὐτῶν, τοῖς μὲν κάτωθεν ἐπὶ τοὺς πρόσω ἀνιέναι, τοῖς δὲ ἀπὸ τῶν ἄνωθεν προπατόρων ἀρξαμένοις, ἐπὶ τοὺς ὑστάτους καταλήγειν· οὗτος δὲ καὶ πόρρωθεν Ἑβραίοις φίλος ἦν ὁ τρόπος, τοῦ Σωτῆρος ἡμῶν εὐαγγελιστάς, Εἰ δ' ὅτι μὴ μέχρι τοῦ Ἀβραὰμ καὶ ὁ Λουκᾶς ἀνιὼν ἔστη, μηδὲ ὁ Ματθαῖος ἀπὸ τοῦ Ἀδὰμ ἤρξατο ἐφ' ὃν κατέληξεν ὁ Λουκᾶς, διαφωνεῖν τις αὐτοὺς λέγοι, οὐκ ὀρθῶς οἴεται· ἑκάτερος γὰρ αὐτῶν οἰκείῳ λογισμῷ τὴν ἔκθεσιν πεποίηται τῆς γραφῆς, ὁ μὲν ἐκ τοῦ Ἀβραὰμ ἀρξάμενος, ὁ δὲ καὶ τὸν Ἀβραὰμ ὑπερβάς, ἐπί τε τὸν πρῶτον ἄνθρωπον ἀνελθών· καὶ μηδὲ μέχρι τούτου στάς, τὸν πάντα δὲ λόγον ἐπὶ τὸν Θεὸν ἀναρτήσας· ποία γὰρ ἐν τούτοις μάχη; Εἰ τῷ μὲν χρήσιμος ἐφάνη ἡ ἀπὸ τοῦ Ἀβραὰμ καὶ ἐπὶ τοὺς ἑξῆς γενεαλογία, διὰ τὴν οἰκονομίαν τοῦ παρ' αὐτῷ λόγου, ὁ δὲ διὰ τὸ τῆς ἐν Χριστῷ παλιγγενεσίας μυστήριον, ἀναβιβάζει τὸν διὰ λουτροῦ γεγεννημένον, ἐπέκεινα ἁπάσης γενέσεως· τήρει γὰρ ὅτι δι' ὅλου τοῦ λόγου σεσιώπηκε τὸ τῆς γενέσεως ὄνομα, ἄγει τε αὐτὸν ἀνάγων, καὶ ἵστησιν οὐκ ἐπί τινα ἀνθρώπων, ἀλλ' ἐπὶ τὸν πάντων Θεόν, μονονουχὶ προσάγων, ἅτε δὴ Υἱὸν γενόμενον τῷ Πατρί.

β΄. Ἵνα οὖν καὶ τοῦτο εἰρηκότος τὴν ἀμαθίαν ἐλέγξωμεν, παύσωμεν δὲ τοῦ μηδένα ὑπ' ἀγνοίας ὁμοίας σκανδαλισθῆναι, τὴν ἀληθῆ τῶν γεγονότων ἱστορίαν ἐκθήσομαι· πρότερον δὲ τὴν προταθεῖσαν ἡμῖν πρότασιν καιρός ἐστι ἐπισκέψασθαι· ὁ μὲν Ματθαῖος ἀπὸ τοῦ Ἀβραὰμ ἐπὶ τὸν Δαβίδ, καὶ οὕτως ἐπὶ τὸν Σολομῶνα καὶ τοὺς τούτου διαδόχους μέχρι τοῦ Ἰακώβ, ἐξ οὗ Ἰωσὴφ ὁ τοῦ Χριστοῦ χρηματίσας πατήρ, κάτεισιν· ὁ δὲ Λουκᾶς τὸν Ἰωσὴφ οὐκ ἀπὸ τοῦ Ἰακὼβ εἶναί φησιν ὡς Ματθαῖος, ἀλλ' ἀπὸ τοῦ Ἡλεί· εἶτα ἀπὸ τοῦ Ἡλεὶ ἀνιὼν ἐφ' ἑτέρους χωρεῖ, ὧν οὐδὲ ὅλος ἐμνημόνευσεν ὁ Ματθαῖος· καὶ οὕτως

* Κατὰ τὴν ἔκδοσιν τῆς Πατρολογίας τοῦ J. P. Migne.

πλαγίαν τινὰ δραμών, ἔρχεται οὐκ ἐπὶ τὸν Σολομῶνα τὸν τοῦ Δαβίδ, ἀλλ᾽ ἐπὶ Νάθαν τὸν καὶ αὐτὸν τοῦ Δαβίδ· ὀφείλων, εἰ δὴ περὶ τῆς αὐτῆς γενεαλογίας ὁ λόγος ἦν αὐτοῖς, διὰ τῶν αὐτῶν τῷ Ματθαίῳ ἀνελθεῖν, ἢ τὸν Ματθαῖον δι᾽ ὧν ὁ Λουκᾶς χωρῆσαι ὀνομάτων· εἰ δὲ οὕτως οὐ συνηνέχθησαν ἀλλήλοις, ὡς τὸν ἕνα εἰπεῖν τοῦ Ἰακὼβ τὸν Ἰωσὴφ εἶναι υἱὸν καὶ Σολομῶνος υἱοῦ Δαβίδ· τὸν δὲ ἕτερον, μὴ τοῦ Ἰακώβ, ἀλλὰ τοῦ Ἡλεὶ καὶ Νάθαν υἱοῦ Δαβίδ· δι᾽ ὧν ἐοίκασι πολλὴν διαφωνίαν πρὸς ἀλλήλους περιέχειν.—Τί δὴ οὖν εἰς τὸ προταθὲν τοῦτο πρόβλημα εἴποι ἄν τις; φέρε τῆς ψυχῆς διανοίξαντες τὸ ὄμμα, ἀτενῶς ταῖς λέξεσιν αὐτοῖς ἐπερείσωμεν τὴν διάνοιαν, ἴδωμέν τε τί φησιν ὁ Λουκᾶς. «Καὶ αὐτὸς ὁ Ἰησοῦς ἦν ἀρχόμενος ὡσεὶ ἐτῶν τριάκοντα ὢν υἱὸς ὡς ἐνομίζετο τοῦ Ἰωσήφ, τοῦ Ἡλεί, τοῦ Μελχί·[1]» ἀλλ᾽ οὐχ ὅ γε Ματθαῖος ἐχρήσατο τῇ ὡς ἐνομίζετο φωνῇ, αὕτη μὲν οὖν ἡ πρώτη ἀπόδοσις.

γ΄. Εἴη δ᾽ ἄν τις καὶ ἄλλος βαθὺς καὶ ἀπόρρητος ἐν τοῖς προκειμένοις λόγος. Ματθαῖος μὲν γὰρ ὁμολογουμένως τὴν ἔνσαρκον γένεσιν ἱστορῶν τοῦ Χριστοῦ, καὶ τὸν Ἰωσὴφ ἀποδεῖξαι βουλόμενος ἀληθῶς ἐκ Δαβίδ, ὅθεν ἐχρῆν τῇ εἰσβολῇ κέχρηται τοῦ λόγου, φήσας, «Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ», καὶ τὰ ἑξῆς· ἀκολούθως τε τὴν ὅλην ἑξῆς ἱστορίαν τίθησι μετὰ τὸν τῶν προπατόρων κατάλογον, τοὺς Μάγους, τὴν Ἡρώδου μανίαν, τὴν εἰς Αἴγυπτον Ἰησοῦ φυγήν, τὴν ἐκεῖθεν ἐπάνοδον, τὸν Ἀρχέλαον· καὶ ὡς μετὰ ταῦτα ἤδη λοιπὸν εἰς ἄνδρα Ἰωάννης προβὰς μετὰ τριακοστὸν ἔτος τῆς Ἰησοῦ γενέσεως, ἐπὶ τῆς ἐρήμου κηρύσσει βάπτισμα μετανοίας, πάρεισί τε μετὰ τῶν ἄλλων καὶ ὁ Ἰησοῦς ἐν τῷ Ἰορδάνῃ βαπτισθησόμενος ὑπὸ τοῦ Ἰωάννου· καὶ δὴ συνόρα ἐν τούτοις ὕφος καὶ ἀκολουθίαν ἱστορικῆς διηγήσεως ἣν ὁ Ματθαῖος ἐκτίθεται, Σύρος ἀνήρ, τελώνης τὸν βίον, τὴν φωνὴν Ἑβραῖος.

δ΄. Ὁ δὲ Λουκᾶς τὸ μὲν γένος ἀπὸ τῆς βοωμένης Ἀντιοχείας ἦν, ἐν ᾗ δὴ οἱ πάντες λογιώτατοι τοὺς Ἴωνας προγόνους αὐχοῦσιν· οὐ μὴν ἀλλὰ πρὸς τῷ κατὰ φύσιν Ἑλληνικῷ τῶν ἀνδρῶν, ἐπήγετό τι πλέον ὁ Λουκᾶς ἐν λόγοις, ἅτε ἰατρικῆς ἔμπειρος ὢν ἐπιστήμης. Ὅμως δὴ ὁ τοιοῦτος τῆς τοῦ κατ᾽ αὐτὸν Εὐαγγελίου γραφῆς ἀρχόμενος, τὰ μὲν κατὰ τὸν Ζαχαρίαν καὶ τὴν Ἐλισάβετ ἱστορεῖ πρῶτα. Εἶτα τὴν πρὸς τὴν Μαρίαν τοῦ Γαβριὴλ ἐπιφάνειαν ἐπισυνάψας, τὰς παραδόξους γενέσεις ἑξῆς τίθησιν, οὐδεμιᾶς μνησθεὶς γενεαλογίας τοῦ Ἰωσήφ· ἔπειτα δωδέκατον ἔτος ἀναγράφων τοῦ Ἰησοῦ, οὔπω καὶ νῦν γενεαλογίας μνημονεύει. Μετὰ δὲ τοὺς Αὐγούστου χρόνους, Τιβερίου διαδεξαμένου τὴν Ῥωμαίων ἡγεμονίαν, κατὰ τὸ πεντεκαιδέκατον αὐτοῦ ἔτος, φησὶ τὸν Ἰωάννην ἐπὶ τῆς ἐρήμου κηρῦξαι μετανοίας βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν· διδασκαλίας τε αὐτοῦ τίθησι, καὶ ἐπὶ τούτοις ἅπασιν,

1. Λουκ. 3, 23.

Ἰησοῦ, φησί, βαπτισθέντος καὶ προσευξαμένου ἐγένετο ἀνοιγῆναι τὸν οὐρανόν, καὶ καταβῆναι τὸ Πνεῦμα ὡσεὶ περιστεράν, καὶ φωνὴν ἐκεῖθεν ἐνεχθῆναι· «Σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα.[1]» Ἔνθα γενόμενος, ὥσπερ ἐξ ὕπνου διανήψας, τῆς γενεαλογίας ἀκαίρως, ὡς ἂν οἰηθείη τις, μνημονεύει λέγων, «Καὶ αὐτὸς ἦν ἀρχόμενος ὁ Ἰησοῦς ὡς ἐτῶν τριάκοντα, ὢν υἱὸς ὡς ἐνομίζετο τοῦ Ἰωσήφ, τοῦ Ἡλεί, τοῦ Μελχί[2]», καὶ τῶν λοιπῶν.

ε΄. Τίς τοιγαροῦν ἐν τούτοις οὐκ ἂν ἀπορήσειεν; εἰ Ματθαῖος μὲν λόγου σύνταξιν ἐπιστημόνως φαίνεται πεποιημένος, κατὰ καιρόν τε χρησάμενος τῇ γενεαλογίᾳ, Λουκᾶς δὲ εἰς τοσοῦτον ἤλαυνεν ἀπορίας, ὡς ὅτε μὲν ἐχρῆν κατὰ χώραν τὴν γενεαλογίαν ἐντάξαι, τηνικαῦτα παραλιπεῖν αὐτήν, ἱστορίαν τε τοσαύτην ἐκθέμενον τὴν ἀπὸ τῆς γενέσεως τοῦ Χριστοῦ μέχρι τριάκοντα ἐτῶν, μηδένα καιρὸν ἐπιτήδειον συνιδεῖν τῆς κατ' αὐτὸν γενεαλογίας· νῦν δὲ ὅτε τριακονταέτης γεγονὼς πάρεισιν ἐπὶ τὸ Ἰωάννου βάπτισμα, παρὰ πάντα λόγον καὶ παρὰ καιρόν, ὥσπερ τινὰ παρενθήκην εἰσάγει τῆς γραφῆς τὴν γενεαλογίαν. Ἀλλ' εἴ τίς γε αὐτῷ τοιαῦτα ἐμέμψατο, οὐκ ἂν ἠπόρησεν ἀποκρίσεως ὁ θεῖος εὐαγγελιστής· εἶπε δ' ἂν ὡς εἰκὸς θεῖά τινα καὶ σοφὰ καὶ τοῦ ἐν αὐτῷ θείου Πνεύματος ἐπάξια. Ἐγὼ δὲ ἡγοῦμαι αὐτὸν καὶ τὴν κατὰ σάρκα γένεσιν τοῦ Ἰησοῦ γενεαλογεῖν ἐθέλοντα, νῦν τοῦτο πεποιηκέναι· τοῦτο γὰρ εἰ κατὰ γνώμην ἔπραττεν, οὐκ ἠγνόει, ὅτε ἐχρῆν ταύτην ἐκθέσθαι. Ἐπειδὴ δὲ νῦν τῆς διὰ λουτροῦ ἀναγεννήσεως μέμνηται, Υἱὸν αὐτὸν εἰσάγων Θεοῦ, βούλεται ὡς ἐν ὑποδείγματι παραστῆσαι ὅτι δὴ πᾶς ὁ ἐν Θεῷ ἀναγεννώμενος, κἂν ἀληθῶς υἱὸς ἀνθρώπων εἶναι νομίζοιτο δι' ἣν περίκειται σάρκα, ἀλλ' οὐχ ἵσταταί γε αὐτῷ τὰ τῆς γενέσεως εἰς τοὺς κατὰ σάρκα γονεῖς, οὐδὲ μέχρι τῶν τοῦ σώματος προπατόρων φθάνει· ἀλλ' εἰ καὶ νομίζοιτο ἀνθρώπων εἶναι υἱὸς διὰ τὴν τοῦ σώματος γένεσιν, ὅμως δ' οὖν οὐκ ἀλλότριος τῆς τοῦ Θεοῦ υἱοθεσίας καθέστηκε. Διὸ ἡγοῦμαι αὐτὸν κατὰ καιρὸν καὶ τῇ γενεαλογίᾳ κεχρῆσθαι, καὶ τῇ προσθήκῃ τῆς ὡς«ἐνομίζετο» φωνῆς. Καὶ γὰρ ἀκόλουθον ἦν, τῆς ἐξ οὐρανῶν μαρτυρίας φησάσης πρὸς τὸν Ἰησοῦν, Σὺ ὁ υἱός μου ὁ ἀγαπητός, ἐν σοὶ εὐδόκησα, μηκέτι καὶ ἀνθρώπων ὁμοίως αὐτὸν ἀναγορεῦσαι υἱόν, μετὰ δὲ τῆς «ὡς ἐνομίζετο» προσθήκης· Θεοῦ μὲν γὰρ ἀνεκηρύχθη υἱὸς εἶναι φύσει, ἀλλ' οὐχ «ὡς ἐνομίζετο·» τοῦ δὲ Ἰωσὴφ ἐνομίζετο, ἀλλ' οὐ φύσει υἱὸς ἦν.

ς΄. Ὧν οὕτως ἐχόντων, δοκῶ μοι καὶ οὕτως τὸν λογισμὸν ἀποδεδωκέναι, καθ' ὃν ὁ μὲν Ματθαῖος ἀρχόμενος τῆς ἑαυτοῦ γραφῆς, πρὸ τῆς συλλήψεως τῆς Μαρίας, καὶ πρὸ τῆς ἐνσάρκου γενέσεως τοῦ Ἰησοῦ, κατὰ καιρὸν ὡς ἐν ἱστορίᾳ προτάττει τὴν κατὰ σάρκα γενεαλογίαν· διὸ καὶ τὰ γένη κατάγει, κάθοδον ἀπὸ τῶν κρειττόνων αἰνιττόμενος τοῦ δηλουμένου· σαρκούμενος γὰρ ὁ Λόγος τοῦ Θεοῦ κατῄει, ὅτι δὴ

1. Ματθ. 3, 17. Μάρκ. 1, 11. Λουκ. 3, 22. 2. Λουκ, 3, 23.

ἐν μορφῇ Θεοῦ ὑπάρχων ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβών· ὁ δὲ Λουκᾶς, εἰ μὲν ὁμοίως τῷ Ματθαίῳ τὴν ἔνσαρκον ἔμελλεν αὐτοῦ παρουσίαν δηλοῦν, πάντως ἂν ἐχρήσατο καὶ αὐτὸς τῇ τοῦ γένους ἱστορίᾳ, κατὰ τὸν τῆς συλλήψεως ἢ τῆς ἀποτέξεως καιρόν· καὶ ἀκολούθως ἀπὸ τῶν πρεσβυτέρων ἀρξάμενος, κατῄει ἐπὶ τοὺς τελευταίους· ἐπεὶ δὲ οὐ κατὰ τὴν αὐτὴν τῷ Ματθαίῳ διάνοιαν ἐξέθετο τὴν διήγησιν, εἰκότως τὸν αὐτὸν ἐκείνῳ καιρὸν ὑπερβάς, ἐπὶ τὴν ἀναγέννησιν τὴν διὰ λουτροῦ παραγίνεται· καὶ ἐνταῦθα τὴν ἐναντίαν ἐκτίθεται τῶν γενεῶν διαδοχήν, ὁμοῦ καὶ ἀνάγων ἀπὸ τῶν ὑστάτων ἐπὶ τὰ πρῶτα, ὁμοῦ καὶ τὴν μνήμην τῶν παρὰ τῷ Ματθαίῳ ὑπαιτίων καὶ ἁμαρτωλῶν ἀνδρῶν ἀποσειόμενος, ἐπειδήπερ ὁ παρὰ τῷ Θεῷ ἀναγεγεννημένος, ἀλλότριος καθίσταται τῆς ἐνσάρκου γενέσεως καὶ τῶν κατὰ σάρκα ἁμαρτωλῶν πατέρων, Υἱὸς ἀποφαινόμενος Θεοῦ, καὶ πάντων τῶν κατὰ Θεὸν ἀνεπιλήπτως βεβιωκότων· οὕτω καὶ τῷ Ἀβραὰμ εἴρητο· «Σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου·[1]» οὐ τοὺς κατὰ σάρκα, τοὺς δὲ ἐν Θεῷ διὰ τὴν εὐσεβείας ὁμοιοτροπίαν αἰνιττομένου τοῦ λόγου.

ζ΄. Εἰκότως τοιγαροῦν ὁ Λουκᾶς, ἅτε τὴν ἀναγέννησιν ἱστορῶν, οὐ τὴν αὐτὴν ὁδεύει τῷ Ματθαίῳ· οὔτ' οὖν τοῦ Σολομῶνος καὶ τῆς Οὐρίου, οὐ τῆς Θάμαρ, οὐ τῆς Ῥούθ, οὐ τοῦ Ἰεχονίου καὶ τῶν μεταξὺ διαβεβλημένων ἀνδρῶν τὴν παράθεσιν πεποίηται, ἀλλὰ δι' ἑτέρων ἀνεπιλήπτων ἄνεισι, καὶ δὲ καὶ ἐκ τοῦ προφήτου Νάθαν τὸν ἀναγεγεννημένον εἰσάγει. Καὶ ὁ μὲν παρὰ τῷ Ματθαίῳ κατὰ σάρκα γεγεννημένος, υἱὸς ἦν Ἀβραάμ, ἐντεῦθεν γενεαλογούμενος, ἐπειδήπερ τῷ Ἀβραὰμ πρώτῳ ἡ ἐπαγγελία δέδοτο τῆς τῶν ἐθνῶν εὐλογίας, οὐκ ἄλλως ἢ διὰ τοῦ ἐκ σπέρματος αὐτοῦ προελευσομένου γενησομένη. Ὁ δὲ ἐν Θεῷ ἀναγεγεννημένος, ἑτέρους πατέρας τοὺς κατὰ Θεὸν ἐπιγραψάμενος, οὐδ' αὐτοὺς ἀληθῶς ἐσχηκώς, ἀλλ' ὡς ἐνομίζετο διὰ τὴν τῶν ἠθῶν ὁμοιοτροπίαν, ἄνεισιν ἐπὶ τὸν ἀληθῆ Πατέρα μετὰ πάντας χρηματίσας Υἱὸς τοῦ Θεοῦ· ἀλλ' οὗτος μὲν ἐν ἀπορρήτοις ἡμῖν ἀποδόσθω ὁ λόγος. Ἵνα δὲ μή τις ἡμᾶς εὑρεσιλογεῖν ὑπολάβοι, καὶ ἱστορίᾳ χρήσομαι παλαιοτάτῃ παρ' ἧς ἔστι τὴν λύσιν εὑρεῖν τῆς νενομισμένης παρ' ἀμφοτέροις τοῖς εὐαγγελισταῖς διαφωνίας. Τῆς δὲ ἱστορίας γέγονε συγγραφεὺς Ἀφρικανός, ἀνὴρ λόγιος καὶ τοῖς ἀπὸ τῆς ἔξωθεν παιδείας ὁρμωμένοις ἐπιφανής· οὗ πρὸς ἄλλοις πολλοῖς καὶ καλοῖς λόγοις, καὶ ἐπιστολὴ φέρεται πρὸς Ἀριστείδην περὶ τῆς νενομισμένης τῶν εὐαγγελιστῶν περὶ τὴν Χριστοῦ γενεαλογίαν διαφωνίας· ἔχει δ' οὕτως.

ΑΦΡΙΚΑΝΟΥ

η΄. Οὐκ ἀκριβῶς μέντοι τινὲς λέγουσιν, ὅτι δικαίως γέγονεν ἡ διάφορος αὕτη τῶν ὀνομάτων καταρίθμησίς τε καὶ ἐπιμιξία, τῶν τε

1. Γεν. 15, 15.

ἱερατικῶν, ὡς οἴονται, καὶ τῶν βασιλικῶν, ἵνα δειχθῇ δικαίως ὁ Χριστὸς ἱερεύς τε καὶ βασιλεὺς γενόμενος· ὥσπερ τινὸς ἀπειθοῦντος ἢ ἑτέραν ἐσχηκότος ἐλπίδα, ὅτι ὁ Χριστὸς ἀρχιερεύς ἐστι Πατρός, τὰς ἡμετέρας πρὸς αὐτὸν εὐχὰς ἀναφέρων, καὶ βασιλεὺς ὑπερκόσμιος, οὓς ἠλευθέρωσε νέμων τῷ Πνεύματι, συνεργὸς εἰς τὴν διακόσμησιν τῶν ὅλων γενόμενος. Καὶ τοῦτο ἡμῖν προσήγγειλεν οὐχ ὁ κατάλογος τῶν φυλῶν, οὐχ ἡ μίξις τῶν ἀναγράπτων γενῶν, ἀλλὰ πατριάρχαι καὶ προφῆται. Μὴ οὖν κατίωμεν εἰς τοσαύτην θεοσεβείας σμικρολογίαν, ἵνα τῇ ἐναλλαγῇ τῶν ὀνομάτων, τὴν Χριστοῦ βασιλείαν καὶ ἱερωσύνην συνιστῶμεν· ἐπεὶ τῇ Ἰούδα φυλῇ τῇ βασιλικῇ, ἡ τοῦ Λευὶ φυλὴ ἱερατικὴ συνεζύγη, τοῦ Ναασσὼν ἀδελφὴν τὴν Ἐλισάβετ Ἀαρὼν ἀξαμένου[1], καὶ πάλιν Ἐλεάζαρ τὴν θυγατέρα Φατιὴλ[2], καὶ ἐνθένδε παιδοποιησαμένων. Ἐψεύσαντο οὖν οἱ εὐαγγελισταί, συνιστάντες οὐκ ἀλήθειαν, ἀλλ' εἰκαζόμενον ἔπαινον· καὶ διὰ τοῦτο ὁ μὲν διὰ Σολομῶνος ἀπὸ Δαβὶδ ἐγενεαλόγησεν τὸν Ἰακὼβ τὸν τοῦ Ἰωσὴφ πατέρα· ὁ δὲ Νάθαν τοῦ Δαβίδ, τὸν Ἡλεὶ τὸν τοῦ Ἰωσὴφ ὁμοίως ἄλλων πατέρα· καίτοι ἀγνοεῖν αὐτοὺς οὐκ ἐχρῆν, ὡς ἑκατέρα τῶν κατηριθμημένων τάξις, τὸ τοῦ Δαβὶδ ἐστι γένος, ἡ τοῦ Ἰούδα φυλὴ βασιλική. Εἰ γὰρ προφήτης ὁ Νάθαν, ἀλλ' οὖν καὶ Σολομών, ὁ τε τούτων πατὴρ ἑκατέρου· ἐκ πολλῶν δὲ φυλῶν ἐγίνοντο προφῆται, ἱερεῖς δὲ ἐξ οὐδεμιᾶς τῶν δώδεκα φυλῶν, μόνοι δὲ Λευῖται. Μάτην αὐτοῖς ἄρα πέπλασται τὸ ἐψευσμένον· μηδὲ κρατοίη τοιοῦτος ὁ λόγος ἐν Ἐκκλησίᾳ Χριστοῦ [κατὰ] ἀκριβοῦς ἀληθείας, ὅτι ψεῦδος σύγκειται εἰς αἶνον καὶ δοξολογίαν Χριστοῦ· τίς γὰρ οὐκ οἶδε κἀκεῖνον τὸν ἱερώτατον τοῦ Ἀποστόλου λόγον κηρύσσοντος καὶ διαγγέλλοντος τὴν ἀνάστασιν τοῦ Σωτῆρος ἡμῶν καὶ διϊσχυριζομένου τὴν ἀλήθειαν, μεγάλῳ φόβῳ λέγοντος, ὅτι εἰ Χριστὸν λέγουσί τινες μὴ ἐγηγέρθαι, ἡμεῖς δὲ τοῦτο καὶ φαμὲν καὶ πεπιστεύκαμεν, καὶ αὐτὸ καὶ ἐλπίζομεν καὶ κηρύσσομεν, καταψευδομαρτυροῦμεν τοῦ Θεοῦ, ὅτι ἤγειρε τὸν Χριστὸν ὃν οὐκ ἤγειρεν·[3] εἰ δὲ οὕτως ὁ δοξολογῶν Θεὸν Πατέρα, δέδοικε μὴ ψευδολόγος δοκοίη, ἔργον παράδοξον διηγούμενος, πῶς οὐκ ἂν δικαίως φοβηθείη, ὅτι διὰ ψευδολογίας ἀληθείας σύστασινποριζόμενος, δόξαν οὐκ ἀληθῆ συντιθείς; Εἰ γὰρ τὰ γένη διάφορα, καὶ μηδὲν καταφέρει γνήσιον σπέρμα ἐπὶ τὸν Ἰωσήφ, εἴρηται δὲ μόνον εἰς σύστασιν τοῦ γεννηθησομένου, ὅτι βασιλεὺς καὶ ἱερεὺς ἔσται ὁ ἐσόμενος, ἀποδείξεως μὴ προσούσης, ἀλλὰ τῆς τῶν λόγων σεμνότητος εἰς ὕμνον ἀδρανῆ φερομένης, δῆλον ὡς τοῦ Θεοῦ μὲν ὁ ἔπαινος οὐχ ἅπτεται, ψεῦδος ὤν· κρίσις δὲ τῷ εἰρηκότι, τὸ οὐκ ὄν, ὡς ὂν κομπάσαντι.

θ'. Τὸν Δαβὶδ πρὸ τῶν ἄλλων καὶ Ματθαῖος ἔταξεν ἐν τῇ κατ' αὐτὸν γενεαλογίᾳ, ἐπειδὴ καὶ πρώτῳ καὶ μόνῳ τῷ Δαβὶδ μεθ' ὅρκου

1. Πρβλ. Ἔξ. 6, 23. 2. Ἔξ. 6, 25. 3. Α' Κορ. 15, 12-15.

διαβεβαιώσεως ἐξ αὐτοῦ κατὰ σάρκα φῦναι ὁ Χριστὸς ἐθεσπίζετο· γέγραπται γοῦν· «Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσῃ αὐτήν· ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου.[1]» Καὶ πάλιν· «Ὤμοσα Δαβὶδ τῷ δούλῳ μου, ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου.[2]» Καὶ ἐν Παραλειπομένοις· «Καὶ ἔσται ὅταν πληρωθῶσιν αἱ ἡμέραι σου, καὶ κοιμηθήσῃ μετὰ τῶν πατέρων σου, καὶ ἀναστήσω τὸ σπέρμα σου μετὰ σέ, ὃς ἔσται ἐκ τῆς κοιλίας σου, καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐτοῦ· αὐτὸς οἰκοδομήσει μοι οἶκον·[3] καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως εἰς τὸν αἰῶνα· ἐγὼ ἔσομαι αὐτῷ εἰς Πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν.[4]» Τὸ ὅμοια τούτοις καὶ ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν φέρεται· ἀλλ' ἐκεῖνα μὲν κἂν ἑλκυσθείη ἐπὶ τὸν Σολομῶνα, τὰ δ' ἐν χερσὶν ὅτι μηδεμίαν ἔχει κοινότητα πρὸς Σολομῶνα, ὧδ' ἄν τις καταμάθοι. Μετὰ τὴν Σολομῶνος τελευτήν, πολλοῖς ὕστερον χρόνοις προφητεύων Ἡσαΐας, τοιάδε περὶ τοῦ γενησομένου ἐκ σπέρματος Δαβὶδ προκηρύττει· «Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί· (πατὴρ δὲ ἦν οὗτος τοῦ Δαβὶδ) καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται· καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι.[5]» Καὶ περὶ τοῦ ἐπηγγελμένου δὲ τῷ Δαβὶδ θρόνου ὧδε θεσπίζει· «Παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς Ἄγγελος· μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον· ἐπὶ τὸν θρόνον Δαβὶδ καὶ τὴν βασιλείαν αὐτοῦ, κατορθῶσαι αὐτήν.[6]» Διὰ δὲ τῶν ἐκτεθέντων εἴρηται μὲν ὅτι ἐκ τῆς ῥίζης Ἰεσσαὶ καὶ τοῦ Δαβὶδ ἀναστήσεταί τις οὐ τοῦ Ἰσραὴλ ἄρχειν, ἀλλὰ τῶν ἐθνῶν· εἴρηται δὲ ὅτι γεννηθήσεται παιδίον, καὶ ὀνομασθήσεται Υἱός, ξένοις ὀνόμασι καὶ τὴν ἀνθρώπων φύσιν ὑπεραίρουσι κεκοσμημένος, ὅτι τε ὁ τοιοῦτος τὸν θρόνον Δαβὶδ ἀναλήψεται, καὶ τὴν βασιλείαν αὐτοῦ κατορθῶσαι αὐτήν.

ι'. Ταῦτα δὲ ὅτι μετὰ Σολομῶνα περὶ ἑτέρου τινὸς μέλλοντος ἥξειν προανεφωνεῖτο, παντί τῳ δῆλον. Καὶ ἄλλως δὲ τὰ πρὸς τὸν Δαβὶδ ἐκτεθέντα λόγια οὐκ ἂν ἐφαρμόσαιεν Σολομῶνι, ἀκριβοῦς ἐξετάσεως τυγχάνοντα· σαφῶς γὰρ ὁ χρησμὸς δηλοῖ, ὅτι μετὰ τὸν θάνατον τοῦ Δαβὶδ ἀναστήσεται ὁ θεσπιζόμενος. Σολομὼν δέ, ζῶντος ἔτι τοῦ Δαβίδ, νεύματι αὐτοῦ καὶ γνώμῃ διάδοχος τῆς βασιλείας· λέγεται γοῦν ἐπὶ μόνοις ἔτεσι τεσσαράκοντα βασιλεῦσαι ἐπὶ τὸν Ἰσραήλ· πῶς οὖν εἰς αὐτὸν ἐπιφέροιτο τό, «Ἀνορθῶσαι τὸν θρόνον αὐτοῦ εἰς τὸν αἰῶνα;[7]» Ἀλλ' εἰ λέγοι τις περὶ τῆς ἐξ αὐτοῦ διαδοχῆς εἰρῆσθαι αὐτά, οὐκ ἀγνοητέον ὅτι μέχρις Ἰεχονίου καὶ τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας ἡ ἀπὸ Δαβὶδ καὶ Σολομῶνος διαδοχὴ τῆς βασιλείας διήρκεσε, μηδενὸς μετὰ τὸν Ἰεχονίαν ἐπὶ τὸν θρόνον τῆς βασιλείας τοῦ Δαβὶδ

1. Ψαλμ. 131, 11. 2. Ψαλμ. 88, 4, 5. 3. Α' Παρλ. 17, 13-14. 4. Β' Βασ. 7, 12. 5. Ἡσ. 11, 1, 10. 6. Ἡσ. 9, 6-7. 7. Β' Βασ. 7, 13.

καταστάντος. Πῶς δ' ἂν τῷ φιλογυναίῳ, καὶ οὗ οὐκ ἦν ἡ καρδία τελεία μετὰ Κυρίου Θεοῦ αὐτοῦ, ἐφαρμόσῃς τὰ τοῦ ὅρκου, καὶ τό· «Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν;[1]» Ἀλλὰ γὰρ ἄντικρυς Σολομῶνος μὲν ἀλλότρια ταῦτα· ἀνάγοιντο δ' ἂν ἐπὶ Χριστόν, ὃς ἐκ σπέρματος Δαβὶδ ἀναστάς, οἶκον τῷ Θεῷ οὐκ ἐξ ἀψύχων λίθων, οὐδ' ἐν γωνίᾳ καὶ μέρει γῆς, ἀλλὰ καθ' ὅλης τῆς οἰκουμένης καὶ ἐν πᾶσι τοῖς ἔθνεσιν ἐκ ζώντων καὶ νοερῶν λίθων συνεστήσατο τὴν θεοπρεπῆ αὐτοῦ Ἐκκλησίαν· ᾧ καὶ μόνῳ τό, «Αὐτὸς ἔσται μοι εἰς υἱὸν» ἀναφωνούμενον ἁρμόσει· ἐπεὶ καὶ ἐν ἑτέραις Γραφαῖς Υἱὸς ἀναγορεύεται τοῦ Θεοῦ· ἐν τῇ φασκούσῃ, «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε·[2]» καὶ ἐν τῇ λεγούσῃ, «Κύριος εἶπε πρός με, Υἱός μου εἶ σύ·[3]» πάλιν ἐν ᾗ λέλεκται, «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.[4]» Τούτοις γοῦν συνᾴδει καὶ ἡ ἐξ οὐρανῶν ἐπ' αὐτὸν ἐνεχθεῖσα φωνή, «Σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητός[5]», φήσασα· καὶ τὰ ἐν ἑβδομηκοστῷ δὲ πρώτῳ ψαλμῷ περιεχόμενα, τὸ «Συμπαραμενεῖ τῷ ἡλίῳ[6]», καὶ τό, «Πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν», ἄντικρυς τοῖς περὶ τοῦ Σωτῆρος ἡμῶν θεολογουμένοις συντρέχοι ἄν. Ὅτι δὲ ταῦθ' οὕτως ἔχει, ἀναμφίλεκτος ἡ ἀπὸ τοῦ Ἡσαΐου σύστασις, ὃς μετὰ τὸν Σολομῶνος θάνατον καὶ μετὰ πλείστας ἄλλας τοῦ γένους διαδοχάς, ἐκ ῥίζης Ἰεσσαὶ καὶ Δαβὶδ ἐξελεύσεσθαί τινα προφητεύει, καὶ τοῦτον ἔσεσθαι Σωτῆρα ἐθνῶν, γυμνῶς οὕτω φάσκων· «Καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν.[7]»

ια'. Ἀλλὰ γὰρ τοσούτων ἐκδεδομένων χρησμῶν μόνῳ τῷ Δαβὶδ καὶ μεθ' ὅρκου διαβεβαιώσεως περὶ τῆς ἐκ σπέρματος αὐτοῦ γενέσεως τοῦ προφητευομένου, παντός τε ὡς εἰκὸς τοῦ Ἰσραὴλ διὰ τὰς τοσαύτας προρρήσεις ὁσημέραι προσδοκῶντος τὸν ἐκ Δαβὶδ γεννηθησόμενον Σωτῆρα καὶ Λυτρωτὴν πάντων ἀνθρώπων, εἰκότως τῶν προσδοκωμένων τὴν ἄφιξιν εὐαγγελιζόμενος ὁ Ματθαῖος, ἐξ αὐτῆς τῆς ἐλπιζομένης προσδοκίας τὴν καταρχὴν τοῦ λόγου πεποίηται, υἱὸν Δαβὶδ φήσας τὸν ἐπιλάμψαντα· μετὰ δὲ τὸν Δαβὶδ ἐπὶ τὸν Ἀβραὰμ ἀνατρέχει, ἐπειδὴ πρώτῳ πάλιν τῷ Ἀβραὰμ περὶ τῆς κλήσεως τῶν ἐθνῶν διάφοροι ἐδέδοντο χρησμοί. Πρὸ γὰρ τῆς Μωϋσέως νομοθεσίας, καὶ πρὸ τοῦ Ἰουδαίων ἔθνους, οὐ μὴν ἀλλὰ καὶ πρὸ τῆς περιτομῆς, ἀλλοεθνὴς ὢν ὁ Ἀβραὰμ καὶ τῆς Χαλδαίων γῆς ὁρμώμενος, ἀπολείπει μὲν τὰ πάτρια, Θεὸν δὲ γνοὺς τὸν ἐπὶ πάντα, μεμαρτύρηται ὡς ἄρα ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην·[8] δίκαιός τε καὶ θεοφιλὴς ἀποπέφανται, οὐ διὰ περιτομῆς σώματος, οὐδὲ διὰ φυλακῆς ἡμέρας Σαββάτου, ἑορτῶν ἢ νουμηνιῶν, οὐδέ γε δι' ἄλλης τινὸς παρὰ Μωϋσεῖ φερομένης ἐθελοθρησκείας, ἀλλὰ δι' ἄλλης

1. Β' Βασ. 7, 14. 2. Ψαλμ. 109, 3. 3. Ψαλμ. 2, 7. 4. Παρμ. 8, 23. 5. Ματθ. 3, 17. 6. Ψαλμ. 71, 5. 7. Ἡσ. 11, 10. 8. Ῥωμ. 4, 3.

Θεοῦ φανείας τε τοῦ ὀφθέντος αὐτῷ Κυρίου (οὗτος δ' ἦν ὁ Σωτήρ), διά τε σεμνοῦ καὶ ἐναρέτου βίου. Τοῦτον δ' οὖν αὐτῷ κατορθοῦντι τῆς θεοσεβείας τὸν τρόπον ἡ περὶ τῶν ἐθνῶν δέδοτο ἐπαγγελία, ὡς καὶ αὐτῶν ποτε κατὰ τὸν τοῦ Ἀβραὰμ ζῆλον θεοσεβησόντων, καὶ ἴσης τῷ θεοφιλεῖ καταξιωθησομένων εὐλογίας. Λέλεκται γοῦν πρὸς αὐτόν, «Καὶ εὐλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς·[1]» καὶ πάλιν· «Ὁ δὲ Κύριος εἶπεν, Οὐ μὴ κρύψω ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου ἃ ἐγὼ ποιῶ· Ἀβραὰμ δὲ γενόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολύ, καὶ εὐλογηθήσεται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς.[2]» Ὧν οὕτως ἐχόντων, ἀκόλουθον ἦν τῆς τῶν ἐθνῶν κλήσεως προπάτορα ὄντα τὸν Ἀβραὰμ ὑπὸ τοῦ εὐαγγελιστοῦ δεύτερον παραληφθῆναι μετὰ τὸν Δαβίδ. Ἐχρῆν γὰρ τὸν περὶ τῆς γενέσεως τοῦ Σωτῆρος τὰς ὑποσχέσεις εἰληφότα, προτιμηθῆναι τῇ τάξει τοῦ τὰς περὶ τῶν ἐθνῶν ἐπαγγελίας δεξαμένου· δεύτερον δὲ ἐν τῇ γενεαλογίᾳ παραληφθῆναι τὸν τῶν ἐθνῶν ἀρχηγόν.

ιβ'. Ὁ μὲν γὰρ Ἰωάννης τῇ τοῦ κατ' αὐτὸν Εὐαγγελίου γραφῇ, τὰ μηδέπω τοῦ Βαπτιστοῦ βεβλημένου εἰς φυλακήν, πρὸ τοῦ Χριστοῦ πραχθέντα, παραδίδωσιν· οἱ δὲ λοιποὶ τρεῖς εὐαγγελισταὶ τὰ μετὰ τὸ δεσμωτήριον λέγουσιν. Οἷς καὶ ἐπιστήσαντι, οὐκέτι ἂν δόξαιεν διαφωνεῖν ἀλλήλοις τὰ Εὐαγγέλια, τῷ τὸ μὲν κατὰ Ἰωάννην τὰ πρῶτα περιέχειν, τὰ δὲ λοιπὰ τὴν ἐπιτέλειον ἱστορίαν.

Ἐκ τῆς σειρᾶς τοῦ Possini.

ιγ'. *Εὐσεβίου.* Ὅτι δὲ ἔγκυος εὑρέθη ἡ Θεοτόκος, καὶ ὅτι οὐδενὶ ἑτέρῳ ἀλλ' ἢ τῷ Ἰωσήφ, ὁ εὐαγγελιστὴς ἀπεφήνατο· ἐκ γὰρ Πνεύματος ἁγίου γέγονε, φησί, τὸ τοιοῦτον φανερόν· δικαίῳ γὰρ ὄντι τῷ Ἰωσὴφ οὐκ ἦν θαυμαστὸν γνωσθῆναι διὰ Πνεύματος ἁγίου, ἐξ οὗ καὶ ἡ κύησις γέγονεν.

Ἐξ ἀνεκδότου σειρᾶς κώδ. Βατικανοῦ.

ιδ'. *Εὐσεβίου.* Ἐνέτυχον δὲ ἑρμηνείᾳ ἀνεπιγράφῳ λεγούσῃ, ὅτι οἱ μέν φασι συγγενίδα τὴν Ἐλισάβετ τῆς Παρθένου παρὰ τοῦ ἀγγέλου ὠνομάσθαι, οὐχ ὡς ἐκ τῆς αὐτῆς φυλῆς, ἀλλὰ διὰ τὸ ἐκ τῶν αὐτῶν προγόνων, καὶ τοῦ αὐτοῦ κοινῶς τῶν Ἰουδαίων γένους ἀμφοτέρας ὡρμῆσθαι· ὡς ὁ Ἀπόστολος, «Ἐβουλόμην», λέγων, «ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα.[3]» Πολλοὶ δὲ καὶ τῶν δοκίμων λέγουσιν ἀληθῶς κατὰ συγγένειαν συνῆφθαι τὴν ἱερατικὴν φυλὴν τῇ βασιλικῇ καὶ ἄνω ἐπὶ Μωϋσέως. Ἡ γὰρ Ἐλισάβετ ἡ γυνὴ Ἀαρὼν ἀδελφὴ ὑπῆρχε Ναασσὼν υἱοῦ Ἀμιναδάβ, ὃς ἀπὸ Ἰούδα τοῦ υἱοῦ Ἰακὼβ κατήγετο, ἀφ' οὗ τὸ βασίλειον γένος τοῖς Ἰουδαίοις· καὶ κάτω δὲ ὁμοίως Ἐλισάβετ ἡ γυνὴ Ζαχαρίου ἀπὸ τῆς

1. Γεν. 12, 3. 2. Γεν. 18, 17. 3. Ῥωμ. 9, 3.

Ἰούδα φυλῆς εἷλκε τὴν γένεσιν, θυγάτηρ χρηματίζουσα Ἰακὼβ τοῦ πατρὸς Ἰωσήφ· ἐκ γοῦν τῆς συγγενείας τούτου τοῦ Νaασσὼν ὁ Κύριος κατὰ σάρκα γεγένηται· οὐ μάτην οὖν τῆς βασιλικῆς φυλῆς τὴν ἐπιμιξίαν ὁ θεῖος προφήτης ἐδίδαξεν, ἀλλὰ δεικνὺς ὡς ὁ Δεσπότης Χριστὸς ἐξ ἀμφοτέρων ἐβλάστησεν, ὡς βασιλεὺς καὶ ἀρχιερεὺς κατὰ τὸ ἀνθρώπινον χρηματίσας· ἢ ὡς ἐξ ἑνὸς προπάτορος τοῦ Ἰακὼβ ὑπαρχούσας, συγγενίδας καλεῖ.

Ἐκ τῆς σειρᾶς τοῦ Possini.

ιε'. Προσηκόντως ἐζήτηται ἡ αἰτία δι' ἣν ἄνωθεν ὁ Ματθαῖος ἐποιήσατο τὴν τοῦ Χριστοῦ γενεαλογίαν, ὁ δέ γε Λουκᾶς κάτωθεν καὶ ἐξ ἐναντίας· καὶ ῥητέον, ὡς οὐκ ἄτοπον ἄνωθέν τε καὶ κάτωθεν τὴν αὐτὴν βαδίζειν ὁδόν· ἦν γὰρ καὶ τοῦτο πάλαι τῇ θείᾳ Γραφῇ σύνηθες· οὕτω γὰρ καὶ Δαβὶδ ἐν τῇ Ῥοὺθ ἄνωθεν γενεαλογεῖται, καθὼς καὶ παρὰ τῷ Ματθαίῳ ὁ Χριστός· καὶ ἐν τῇ τῶν Βασιλειῶν δὲ πρώτῃ βίβλῳ ὁ τοῦ Σαμουὴλ πατὴρ κάτωθεν γενεαλογεῖται, παραπλησίως τῷ Λουκᾷ.

Ἐξ ἀνεκδότου σειρᾶς κώδ. Βατικανοῦ.

ις'. Περὶ τούτου ὁ Εὐσέβιος ἐν τῷ «Εἰς τὸ κατὰ Ματθαῖον» οὕτως· Φησὶ δὲ τὸν Νάθαν καὶ προφητεῦσαι κατὰ τὰ ἐν ταῖς Βασιλείαις φερόμενα. Ἐγὼ δέ, φησί τις, καὶ τὴν αἰτίαν ἐπυθόμην τὴν τὸν μακάριον Λουκᾶν ἀποκλῖναι τῆς βασιλείου φρατρίας ὑπαγαγοῦσαν, τῷ μὴ τοὺς βασιλεῖς ἀπ' αὐτοῦ Σολομῶντος εἰδωλολατρείας καθαρεύειν, πλὴν ἐλαχίστων, ταύτῃ παραιτήσασθαι τὴν δι' αὐτῶν γενεαλογίαν.

Ἐκ τῆς σειρᾶς τοῦ Possini.

ιζ'. *Εὐσεβίου.* Τὴν τοῦ Δαβὶδ μετάνοιαν ἐπὶ τῷ ἁμαρτήματι δημοσιεύων ὁ εὐαγγελιστής, ἐμνήσθη τῆς γυναικὸς μεθ' ἧς τὴν ἁμαρτίαν ἐξετέλεσε· καὶ ὅτι εἰ μὴ διὰ μετανοίας συγγνώμην τοῦ ἁμαρτήματος ἐδέξατο παρὰ Θεοῦ, οὐκ ἂν αὐτὸς ἠξιώθη προπάτωρ γεγονέναι τοῦ Χριστοῦ.

Ἐκ τῆς σειρᾶς τοῦ Possini.

ιη'. *Εὐσεβίου.* Τοῦ Ἰεχονίου ἦν κατηγόρημα, τὸ ἐκκήρυκτον αὐτὸν γεγονέναι καὶ αἰχμάλωτον· διὸ καὶ ἄτιμος ὑπῆρχε τοῖς πολλοῖς· καὶ τοῦτο ἦν τὸ διϊστῶν τοὺς γενεαλογοῦντας τὸν Χριστόν, ὥστε τοὺς μὲν ἀπὸ Σολομῶντος, τοὺς δὲ ἀπὸ Νάθαν κατάγειν τὰς γενεάς· κἀντεῦθεν ὁ εὐαγγελιστὴς μνείαν ἐποιήσατο αὐτοῦ· καί φησι τὸν Λυτρωτὴν τῶν αἰχμαλώτων παραγεγονέναι, καὶ διὰ τοῦ βαπτίσματος αὐτοὺς παραδεχόμενον.

ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ

ΕΚ ΤΟΥ ΓΝΗΣΙΟΥ ΒΙΒΛΙΟΥ «ΕΡΩΤΗΣΕΙΣ ΕΙΣ ΤΟΝ ΜΑΡΙΝΟΝ» *

Ἐκ τῆς σειρᾶς τοῦ Νικήτα Σερρῶν χειρογρ. εἰς τὸν Λουκᾶν.

Α'.

Τοῦ φόβου τῶν Ἰουδαίων ἐπικειμένου τοῖς μαθηταῖς τοῦ Σωτῆρος, λέγει γοῦν ὁ Ἰωάννης ὡς ἦσαν ὁμοῦ συνηγμένοι οἱ μαθηταὶ ἐν οἴκῳ ἑνί, τῶν θυρῶν κεκλεισμένων διὰ τὸν φόβον τῶν Ἰουδαίων. Πῶς ὁ Πέτρος καὶ ὁ Ἰωάννης ἀπήντων ἐπὶ τὸ μνῆμα; Καὶ ταῦτα στρατιωτικῆς φρουρᾶς φυλαττούσης τὸν τόπον, ὡς ὁ Ματθαῖος ἐμαρτύρησεν· ἡ γὰρ κουστωδία στρατιωτικόν ἐστι τάγμα.

Ἐροῦμεν δὲ πρὸς ταῦτα, θαρσαλέως τοὺς ἀποστόλους ἀπηντηκέναι ἐπὶ τὸ μνῆμα, προμεμαθηκότας παρὰ τῆς Μαγδαληνῆς μηδένα τῶν φυλαττόντων τὸν τόπον αὐτόθι παρεῖναι, ὅπως δῆλον ἦν ἀπὸ τοῦ τὸν λίθον ἦρθαι τοῦ μνημείου· ἦρτο δὲ οὐκ ἄλλως, ἢ τῷ τὸν ἐξ οὐρανοῦ ἄγγελον ἐξαστράψαι τὸν τόπον πολλῷ φωτί, καὶ αὐτὸν ἀποκυλίσαι τὸν λίθον, φοβῆσαί τε τοὺς φύλακας, ὡς μικροῦ δεῖν καὶ ἀπολιθωθῆναι αὐτοὺς τῷ φόβῳ· καὶ μετὰ ταῦτα ὡς εἰκὸς φυγῇ χρήσασθαι, ὡς μηδένα μὲν περιλειφθῆναι αὐτῶν, σχολάζειν δὲ τὸν τόπον τοῖς ἐπὶ τὴν θέαν ἀφικνουμένοις τῆς σωτηρίου ἀναστάσεως· αὕτη γὰρ ἦν μάλιστα ἡ αἰτία τῆς ἐπιφανείας τοῦ ἀγγέλου. Οὐ γὰρ δὴ τῆς ἀναστάσεως χάριν ἀπεκίνει τὸν λίθον, οὐδ᾽ ἕνεκεν τοῦ λίθου τοιόσδε ὤφθη, ἀλλ᾽ ἵνα τοὺς μὲν ἀπελάσῃ, τὰς δὲ ἐρχομένας ἐπὶ τὴν θέαν δεξιωσάμενος, τὴν ἀνάστασιν αὐταῖς καταγγείλειε. Τούτων οὖν μάρτυς ὁ Ματθαῖος λέγων, Ἀπὸ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγένοντο ὡσεὶ νεκροί. Φθάνει μὲν γὰρ καὶ τὸν ἄγγελον ἀναστὰς ὁ Σωτήρ, οὐδὲ ἀναμένει τὴν ἀποκίνησιν τοῦ λίθου, ἀλλὰ καὶ τούτου πρὸς τὴν θύραν κειμένου, καὶ τοῖς τῶν ἀρχιερέων σημαντῆρσι κατεσφραγισμένου, τῶν τε φρουρῶν κυκλούντων τὸν τόπον, ἀφανὴς ἦν τοῦ μνήματος, τὴν ἐκ νεκρῶν ἀνάστασιν πεποιημένος θεϊκῇ δυνάμει, καθ᾽ ἣν ὥραν οὐδεὶς ἔγνω, καὶ καθ᾽ ὃν οὐδεὶς ἐπεσημήνατο τῶν εὐαγγελιστῶν καιρόν· ὥστ᾽ ἂν εἰπεῖν εὐκαίρως τινὰ καὶ ἐπ᾽ αὐτοῦ τοῦτο δὴ τὸ περὶ τῆς καθόλου συντελείας πρὸς αὐτοῦ λελεγμένον ἐν τῷ, «Περὶ δὲ τῆς ἡμέρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τοῦ Θεοῦ.[1]» Οὕτω γοῦν πρῶτος αὐτὸς ἀπαρχὴ τῆς ἀναστάσεως γεγονὼς ὁ Σωτήρ, καθ᾽ ἣν ὥραν οὐδεὶς ἔγνω, ἐγήγερτο, λαθὼν τοὺς ἅπαντας, καὶ ἐγήγερτο τοῦ λίθου μεμενη-

* Κατὰ τὴν ἔκδοσιν τῆς Πατρολογίας τοῦ J. P. Migne.

1. Ματθ. 24, 36.

κότος ἐπὶ σχήματος. Ἀγαθῶν δὲ ἄγγελος, ἀνθρώποις παρῆν ὁ ἄγγελος, οὐδὲν μὲν τῇ ἀναστάσει διὰ τῆς αὐτοῦ παρουσίας συμβαλλόμενος, τὰ μεγάλα δὲ τῇ τῶν ἀνθρώπων διακονούμενος σωτηρίᾳ· διὸ καὶ ἐξήστραπτε τὴν μορφήν, λευχείμονα δεικνὺς ἑαυτόν, καὶ πρῶτος τῆς σωτηρίου ἀναστάσεως ἀπαρχόμενος. Καὶ ὥσπερ ἡλίου ἀνατολὰς ἑρπετὰ μὲν ἰοβόλα καὶ θηρίων ὅσα νυκτὸς καὶ σκότους εἰσὶ φίλα φεύγει, ἄνδρες δὲ ταύτας οἷα φωτὸς συγγενεῖς μεταδιώκουσι, κατὰ τὸν αὐτὸν δὴ τρόπον τοὺς μὲν τῆς ἀληθείας καὶ ζωῆς ἐχθρούς, θανάτου δὲ οἰκείους καὶ φίλους, ταῖς τοῦ φωτὸς αὐτοῦ μαρμαρυγαῖς καταστράπτων, ἤλαυνεν ὁ ἄγγελος· τοῖς δὲ ποθοῦσι τὴν σωτήριον ἀνάστασιν, ταύτην εὐηγγελίζετο, σχολὴν αὐτοῖς εὐτρεπῆ διὰ τῆς τῶν φρουρῶν ἀπελάσεως παρέχων· δύο γοῦν γνωρίσματα τοῖς οἰκείοις παρεῖχεν ὁρᾶν, τὴν ἀποκίνησιν τοῦ λίθου, καὶ τῆς θύρας τοῦ μνήματος τὴν ἄνεσιν, τῶν τε φυλάκων τὴν δίωξιν· ἃ δὴ τεθεαμένη ἡ Μαγδαληνὴ τοῖς μαθηταῖς ἐπήγγειλεν· οἱ δὲ ταῦτα παρ' αὐτῆς μεμαθηκότες, θαρσαλέως ἀπήντων δρομαῖοι, μηδενὸς αὐτοῖς ἐμποδὼν καθεστῶτος.

Β'.

Καὶ πῶς σκοτίας οὔσης, κατὰ τὸν εὐαγγελιστὴν Ἰωάννην, τὰ εἴσω τοῦ μνήματος ἑώρων οἱ δύο μαθηταί; Ὁ γὰρ αὐτὸς καὶ τὴν ὥραν ἐπεσημήνατο εἰπών· «Πρωῒ ἔτι σκοτίας οὔσης», καὶ τοὺς δύο μαθητὰς τὰ εἴσω ἐν τῷ μνήματι τεθεαμένους· «Εἰσῆλθον γάρ», φησί, «καὶ ἐπίστευσαν.»

Ἀρχομένης μὲν κατ' ἀρχὰς τῆς ἡμέρας, ἐπὶ τὸ μνῆμα ἐμαρτύρησεν ἡ Γραφὴ ἔτι τότε σκοτίαν εἶναι· πλὴν ἀλλ' ἤδη πρωΐα ἦν· τοῦτο δὲ τὸ πρωῒ ἔτι σκοτίας οὔσης αὐτὴ καθ' ἑαυτὴν ἰδοῦσα Μαρία ἐπάνεισι πρὸς τοὺς μαθητάς· εἶτ' ἄγγελος αὐτοῖς παραγίνεται. Ἐν δὴ οὖν τῷ μεταξὺ χρόνῳ μετὰ τὴν πρώτην ἄφιξιν ἀπιούσης αὐτῆς πρὸς τοὺς ἀποστόλους καὶ τὴν ὥραν προκόψαι εἰκὸς ἦν· κἀκείνων πάλιν ἐπὶ τὸν τάφον ἀφικνουμένων, ἔτι μᾶλλον αὐξῆσαι τὸν χρόνον, ὡς μηκέτι σκοτίαν εἶναι, ἀλλ' ἤδη καθαρὰν ἡμέραν, καθ' ἣν ἀπαντήσαντες οἱ εἰρημένοι, καὶ τοῦ μνημείου ἐκτὸς ἑστῶτες, διορᾶν τὰ εἴσω κείμενα ὀθόνια οἷοί τε ἦσαν· καὶ πολὺ μᾶλλον ἔνδον γενόμενοι, ὑπὸ λαμπρᾶς ἡμέρας ἤδη τοῦ τόπου καταυγασμένου. Δοκεῖ δέ μοι τὰ ὀθόνια ἔνδον κείμενα ὁμοῦ μὲν καὶ δεῖγμα παρέχειν τοῦ μὴ ὑπὸ ἀνθρώπων ἦρθαι τὸ σῶμα, ὅπερ Μαρία ὑπέλαβεν· οὐ γὰρ ἄν τινες τὸ σῶμα ὑφαιρούμενοι κατελίμπανον τὰ ὀθόνια· οὐδὲ ὁ κλέπτων ποτὲ περιέμεινεν ἕως ὅτε ἀναλύσῃ τὰ ὀθόνια καὶ καταλάβηται· ὁμοῦ δὲ καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ σώματος εἶναι παραστατικά. Ὁ γὰρ μετασχηματίζων τὰ σώματα τῆς ταπεινώσεως ἡμῶν Θεὸς εἰς τὸ εἶναι σύμμορφα τῷ σώματι τῆς δόξης τοῦ Χριστοῦ [1], τὸ μὲν σῶμα ὡς ὄργανον τῆς ἐν αὐτῷ κατοικησάσης δυνάμεως ἠλλοίου, μεταβάλλων ἐπὶ τὸ θειότερον, τὰ

1. Φιλιπ. 3, 21.

δὲ ὀθόνια ὡς περιττὰ καὶ ἀλλότρια τῆς τοῦ σώματος οὐσίας ἠφίει. Δοκοῦσι δέ μοι κατὰ καιρὸν ὁ Πέτρος καὶ ὁ Ἰωάννης ἐπὶ τὸ μνημεῖον ἀπαντᾶν ἐν ἤδη καθαρᾷ ἡμέρᾳ καὶ φωτὶ λαμπρῷ, ὡς ἂν μὴ νυκτὸς καὶ σκοτίας ἐλθόντες τοῦτο ὑπονοηθεῖεν, ὃ δὴ καὶ κατεψεύσαντο αὐτῶν οἱ ἀρχιερεῖς, ὅτι νυκτὸς ἐλθόντες ἔκλεψαν. Διόπερ οὐ νυκτὸς ἀπήντων οἱ ἄνδρες, ἀλλ' οὐδὲ σκοτίας ἔτι οὔσης, ἀλλ' ἤδη καταυγαζούσης λαμπρᾶς ἡμέρας. Εἰ δὲ λέγοι τὸ Εὐαγγέλιον ὡς ἄρα ἦσαν ὁμοῦ συνηγμένοι οἱ μαθηταὶ διὰ τὸν φόβον τῶν Ἰουδαίων, εἶτα πρὸς τοῦτο ἀνθυποφέροι τις λέγων, Πῶς οὖν οἱ συγκεκλεισμένοι ἐφοίτων ἐπὶ τὸ μνημεῖον ἐν ἡμέρᾳ διαυγεῖ; ἐροῦμεν ὅτι τοὺς μὲν ἐν τῇ πόλει μέσους οἰκοῦντας τῶν Ἰουδαίων, εἰκὸς ἦν ἀποκεκλεῖσθαι ὁμοῦ τοὺς πάντας ἐν οἴκῳ ἑνὶ συνηγμένους· οἱ δὲ ἐπὶ τὸ μνῆμα ἀφικνούμενοι τῆς πόλεως ἐκτὸς ὄντες, μακρὰν ἐτύγχανον καὶ τοῦ τῶν Ἰουδαίων φόβου, ὡς ἐπὶ ἐρημίζοντα τόπον καὶ ἀνδρῶν ἐσχοληκότα παριόντες. Τάχα δὲ καὶ κρείττους φόβου γενόμενοι τῶν μαθητῶν ὅ τε Πέτρος καὶ Ἰωάννης τολμηρότερον ἐθάρρουν προϊέναι τοῦ οἴκου, τῶν ἄλλων μὴ τοῦτο πράττειν τολμώντων, ἢ μόνων δὴ τούτων, οἳ καὶ ἐν τοῖς ἄλλοις πλείονος ἠξιωμένοι τιμῆς παρὰ τοὺς λοιποὺς ἀποστόλους μεμαρτύρηνται.

Γ΄.

Ἀλλὰ πῶς παρὰ μὲν τῷ Ἰωάννῃ τῆς Μαρίας ἀκούσαντες οἱ μαθηταί, κἄπειτα ἐλθόντες εἰς τὸ μνημεῖον ἐπίστευσαν· παρὰ δὲ τῷ Λουκᾷ εἴρηται ὅτι ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα ταῦτα, καὶ ἠπίστουν αὐταῖς;

Ἡ μὲν παρὰ τῷ Ἰωάννῃ Μαρία τοῖς ἐκκρίτοις τῶν ἀποστόλων Πέτρῳ καὶ Ἰωάννῃ μόνοις ὡς ἀπόρρητον ἐκφαίνουσα ἐξεῖπε τὸ τεθεαμένον· οἱ δὲ πάλιν λαθόντες τοὺς λοιποὺς μαθητὰς μόνοι ἀπήντων ἐπὶ τὸ μνημεῖον δρομαῖοι, καὶ ἰδόντες ἐπίστευσαν· καὶ οὐδέν γε ἦν θαυμαστὸν τοὺς μὲν ἐκκρίτους τῶν ἀποστόλων ἰδόντας πεπιστευκέναι, τοὺς δὲ λοιποὺς οἷς αἱ γυναῖκες ἀπήγγελλον, ἅτε μὴ ὄψει παραλαβόντας, μὴ πιστεῦσαι αὐταῖς. Αὐτίκα γοῦν καὶ αὐτοῖς ὁμοῦ συνηγμένοις τοῖς μαθηταῖς ὀφθέντος τοῦ Σωτῆρος κατὰ τὸν Ἰωάννην, οἱ μὲν ἰδόντες ἐχάρησαν· Θωμᾶς δέ, ἐπεὶ μὴ παρῆν μηδὲ εἶδεν, οὐκ ἐπείθετο. Εἰ δὲ οὗτος ἠπίστει τοῖς ἀποστόλοις, σχολῇ γ' ἂν μέμψαιτό τις τοῖς λοιποῖς ὅτι μηδέπω τεθεαμένοι, ταῖς γυναιξὶν ἠπίστουν. Πολλὴν δὲ βάσανον καὶ ἀκρίβειαν τῶν μαθητῶν παρίστησιν ἡ Γραφή, οὐκ εὐχερῶς τοῖς τούτων λόγοις συγκατιθεμένων, ἀλλ' ἐπεχόντων τὰ πρῶτα, εἰσότε πληρέστατα καὶ ἐναργῶς τἀληθὲς ἐπιγνόντες εἰπεῖν δυνηθεῖεν ὕστερον· «Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ Λόγου τῆς ζωῆς.[1]» Ἔχοι δ' ἂν καὶ ἑτέραν διάνοιαν ὁ τόπος. Εἴποι γὰρ ἄν τις

---

1. Α΄ Ἰω. 1, 1.

ὅτι ταῖς ἀπαγγελλούσαις γυναιξὶ τὴν ἀνάστασιν τοῦ Σωτῆρος, ὡς ἐξ ἀκοῆς τῶν ὀφθέντων αὐταῖς δύο ἀνδρῶν κατὰ τὸν Λουκᾶν οὐκ ἐπίστευσαν οἱ ἕνδεκα, ἐν οἷς ἦσαν καὶ ὁ Πέτρος καὶ ὁ Ἰωάννης, μηδὲ αὐτοὶ πεπιστευκότες. Τῇ δὲ Μαρίᾳ κατὰ τὸν Ἰωάννην εἰπούσῃ ὅτι, «Ἦραν τὸν Κύριόν μου ἐκ τοῦ μνήματος [1]», οὐ πρότερον ἐπίστευσαν οἱ δύο μαθηταὶ τοῦτο αὐτό, τὸ ἦρθαι τὸν Σωτῆρα, πρὶν ἐλθεῖν εἰς τὸν τόπον καὶ ἔργῳ τοῦτο παραλαβεῖν. Ὅτε γοῦν εἰσῆλθον οὗτοι εἰς τὸ μνῆμα, καὶ τὰ ὀθόνια εἶδον μόνα, τὸ δὲ σῶμα οὐδαμοῦ, τότε ἐπίστευσαν· τίνι δὲ ἐπίστευσαν, ἀλλ' ἢ τῷ τῆς Μαρίας λόγῳ φήσαντι, «Ἦραν τὸν Κύριόν μου;» Διὸ ἐπιλέγει ἑξῆς· «Οὔπω γὰρ ᾔδεισαν τὴν Γραφήν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι.[2]»

Δ'.

Τὸ δὲ πῶς δύο παρὰ τὸν Ἰωάννην μαθητῶν ἐλθόντων εἰς τὸ μνημεῖον, Πέτρου καὶ Ἰωάννου, ὁ Λουκᾶς ἕνα μόνον φησὶν ἀπηντηκέναι, οὕτως ἂν λυθείη.

Πολὺς ἦν ὁ Πέτρος ἀεὶ τῇ προθυμίᾳ, ὡς μόνον παρὰ τοὺς ἀποστόλους εἰπεῖν τῷ Σωτῆρι· «Κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι·[3]» καὶ μόνον πάλιν ἐπιβῆναι τοῖς κύμασιν ἀξιῶσαι· καὶ μόνον ἀποκρίνασθαι καὶ εἰπεῖν αὐτῷ· «Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος·[4]» διὸ καὶ μόνος τῶν μαθητῶν ἀκούει· «Μακάριος εἶ, Σίμων Βὰρ Ἰωνᾶ.[5]» Διὸ καὶ πρῶτος τολμᾷ εἰσιέναι εἰς τὸ μνημεῖον, σὺν τῷ ἑτέρῳ μαθητῇ ὃν ἐφίλει ὁ Ἰησοῦς ἐλθών, κατὰ τὸν Ἰωάννην· ἀλλὰ τότε μὲν παρὰ τῆς Μαγδαληνῆς ἦρθαι τὸ σῶμα τοῦ Κυρίου ἀπὸ τοῦ μνημείου μεμαθηκώς, ἀπήντα ἅμα τῷ ἑτέρῳ μαθητῇ· εἶτα ἀνεχώρει σὺν αὐτῷ, τὰ ὀθόνια εἴσω τοῦ μνήματος τεθεαμένος καὶ πιστεύσας. Κατὰ δὲ τὸν Λουκᾶν, τῶν ἄλλων ἀπιστούντων μαθητῶν, μόνος αὐτὸς πάλιν πιστεύει ταῖς λεγούσαις ταῖς γυναιξὶν ἑωρακέναι τοὺς ὀφθέντας ἀγγέλους· οὐ γὰρ ἀπιστήσας δὲ ταῖς τῶν γυναικῶν μαρτυρίαις, παλινδρομαῖος ἐπὶ τὸ μνημεῖον μόνος παραγίνεται· καὶ αὖθις παρακύψας βλέπει τὰ ὀθόνια μόνα ὡς καὶ τὸ πρότερον· εἶτα ἀπῄει, πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός· καὶ νῦν μὲν ἀπῄει θαυμάζων τὸ γεγονός, ἐπεὶ δὲ πολὺς ἦν τῇ προθυμίᾳ καὶ πλείονα σπουδὴν παρὰ πάντας ἐπεδείκνυτο, σπεύδων καὶ περιτρέχων, καὶ πάντῃ τὸν Σωτῆρα περιαθρῶν ἀνεῳγόσι τοῖς τῆς ψυχῆς ὄμμασι, πανταχοῦ δὲ ζητῶν καὶ περιβλεπόμενος, οὐκ ἠτύχησε τῆς ἐλπίδος, ἀλλὰ καὶ αὐτὸς ἀξιοῦται τῆς αὐτοῦ θεοφανείας· τούτου μάρτυς ὁ αὐτὸς εὐαγγελιστὴς Λουκᾶς ὧδέ πῃ προϊὼν ἑξῆς καὶ λέγων ὅτι ὄντως ἠγέρθη ὁ Κύριος καὶ ὤφθη Σίμωνι. Συμμαρτυρεῖ δὲ αὐτῷ καὶ ὁ ἱερὸς Ἀπόστολος ὧδε Κορινθίοις γράφων, ὅτι «Ὤφθη Κεφᾷ, εἶτα τοῖς ἕνδεκα.[6]» Κεφᾶς

1. Ἰω. 20, 2. 2. Ἰω. 20, 9. 3. Ματθ. 26, 35. 4. Ματθ. 16, 16. 5. Ματθ. 16, 17. 6. Α' Κορ. 15, 5.

δὲ αὐτὸς ἦν Σίμων ὁ καὶ Πέτρος, ᾧ καὶ πρὸ τῶν ἕνδεκα μόνος μόνῳ ὤφθη ὁ Σωτήρ, τῆς παρὰ πάντας ὑπερβαλλούσης αὐτοῦ χάριν σπουδῆς.

Ε΄.

Ἔτι ζητήσειεν ἄν τις πῶς παρὰ μὲν τῷ Ματθαίῳ ἡ Μαγδαληνὴ Μαρία μετὰ τῆς ὁμωνύμου ἑωρακέναι ἐκτὸς τοῦ μνήματος ἐπικαθήμενον τῷ λίθῳ ἕνα μόνον ἄγγελον εἴρηται· κατὰ δὲ τὸν Ἰωάννην εἴσω τοῦ μνήματος ἀγγέλους δύο θεωρεῖ καθημένους· κατὰ δὲ τὸν Λουκᾶν δύο ἄνδρες ἀπήντων ταῖς γυναιξί· κατὰ δὲ τὸν Μάρκον νεανίσκος ἦν ὁρώμενος.

Τὸ μὲν παρὰ τῷ Ἰωάννῃ καὶ Ματθαίῳ λύσεως ἂν τύχοι τοιαύτης· ἡγοῦμαι γὰρ προηγεῖσθαι μὲν τὴν παρὰ τῷ Ἰωάννῃ ἱστορίαν, τῆς παρὰ τῷ Ματθαίῳ, καὶ τὴν Μαγδαληνὴν τὸ πρῶτον ἐλθοῦσαν τοὺς δύο ἀγγέλους εἴσω τοῦ μνήματος καθεζομένους ἰδεῖν· μετὰ δὲ ταῦτα δεύτερον ἐπιστᾶσαν τῷ αὐτῷ τόπῳ μετὰ τῆς ἄλλης Μαρίας τὸν ἐπικαθήμενον τῷ λίθῳ ἄγγελον ἑωρακέναι. Ἢ τάχα ἕτερος μὲν ὁ παρὰ Ματθαίῳ ἄγγελος, ἕτερος δὲ καὶ ὁ χρόνος καὶ ὁ τόπος τῆς τοῦ ἀγγέλου θέας· ἕτεροι δὲ καὶ ἄγγελοι αὐτοῦ οἱ πρὸς τὰς γυναῖκας· ὡσαύτως δὲ καὶ οἱ παρὰ τῷ Ἰωάννῃ δύο ἄγγελοι οἱ εἴσω τοῦ μνήματος ὀφθέντες ἕτεροί εἰσι παρὰ τὸν ἔξω πρὸ μνήματος ἐπὶ τῷ λίθῳ καθεζόμενον παρὰ τῷ Ματθαίῳ. Εἰ μὲν γὰρ τοῦ Ματθαίου ὀψὲ Σαββάτων εἰρηκότος, καὶ ἕνα πρὸ τῆς θύρας τοῦ μνημείου καθήμενον ἐπὶ τῷ λίθῳ ἱστορηκότος, φυλάξας ὁ Ἰωάννης τὸν αὐτὸν καιρὸν καὶ τὸν αὐτὸν τόπον εἰρήκει ὀψὲ Σαββάτων, πρὸ τῆς θύρας τοῦ μνήματος ἐπὶ τῷ λίθῳ δύο καθεζομένους ὁρᾶσθαι, ἦν ἀληθῶς διαφωνίαν αἰτιᾶσθαι. Καὶ ὁ Ματθαῖος ὡσαύτως εἰ ὁμοίως Ἰωάννῃ τὴν πρωϊνὴν ὥραν τηρήσας, εἴσω τοῦ μνήματος καὶ αὐτὸς οὐ δύο ἀγγέλους ἀλλ' ἕνα ἔφησε τεθεωρῆσθαι, τἀναντία ἔδοξεν ἂν εἰκότως συγγράφειν. Εἰ δ' ἀφώρισαν οἱ εὐαγγελισταὶ καὶ τοὺς χρόνους καὶ τοὺς τρόπους, καὶ τὰ πρόσωπα τῶν θεωμένων, καὶ τοὺς τῶν ἀγγέλων λόγους, οὐκ ἄν τις εὐλόγως μέμψαιτο διαφωνίαν τῆς Γραφῆς, ἀληθευούσης ἑκάστης κατὰ τὸν οἰκείας ἱστορίας λόγον, διαφόρων τε πραγμάτων ὑφήγησιν δηλούσης. Ἀλλ' οἱ μὲν παρὰ τοῖσδε τοῖς εὐαγγελισταῖς ἄγγελοι, καὶ τοῦ Σωτῆρος αἱ μετὰ τὴν ἀνάστασιν θεοφάνειαι, παρὰ μόνοις τούτοις ὡς ἂν παρὰ κρείττοσι καὶ αὐτοῦ τοῦ Σωτῆρος αὐτόπταις τε καὶ αὐτηκόοις φερόμεναι, ταύτην σῴζοιεν ἂν τὴν ἀκολουθίαν. Οἱ δὲ παρὰ τῷ Λουκᾷ δύο ἄνδρες ἐν ἐσθῆτι ἀστραπτούσῃ ὀφθέντες, διὰ τὰ τῆς ἑορτῆς σύμβολα· καὶ ὁ παρὰ τῷ Μάρκῳ νεανίσκος λευκὴν περιβεβλημένος καὶ αὐτὸς στολήν, δεξιός τε ἀλλ' οὐκ ἀριστερὸς ἑωραμένος, τῷ τε φαιδρᾷ καὶ δεξιᾷ ταῖς γυναιξὶν εὐαγγελίζεσθαι, πάλιν ἕτεροι ἂν εἶεν καὶ αὐτοί, ἀλλήλων τε καὶ τῶν παρὰ τοῖς πρώτοις. Διὸ οὐδὲ ἀγγέλους αὐτοὺς οἶδε ὠνόμασαν, ἐπεὶ μηδὲ τῶν τοῦ Σωτῆρος ὀπτασιῶν ἐμνημόνευσαν τοῖς κρείττοσιν ἢ καθ' ἑαυτοὺς Ματθαίῳ καὶ Ἰωάννῃ τὰ κρείττονα γράφειν

καὶ ἱστορεῖν παρακεχωρηκότες· αὐτοὶ δὲ τὰ δεύτερα διηγούμενοι, καὶ τῷ χρόνῳ τὰ μετὰ τὴν τῶν πρώτων μνήμην ὕστερον πεπραγμένα, παρῆσαν μὲν τὰ παρὰ τοῖς αὐτόπταις εἰρημένα, ἀντανεπλήρουν δὲ τὰ παρ' ἐκείνοις σεσιγημένα· ἃ δὴ δεύτερα ἦν καὶ μακρῷ λειπόμενα τῆς τῶν προτέρων ἱστορίας· οὕτω τοῦ ἁγίου Πνεύματος διανείμαντος τὰς πρεπούσας ἑκάστῳ καὶ καταλλήλους διηγήσεις.

Ϛ'.

Αἱ γοῦν παρὰ τῷ Λουκᾷ ὄρθρου βαθέος ἐπὶ τὸ μνῆμα ἐλθοῦσαι γυναῖκες καὶ φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα, ἕτεραι ἂν εἶεν τῶν παρὰ τῷ Ματθαίῳ καὶ Ἰωάννῃ. Οὐ γὰρ ἂν ἔχοι λόγον τὰς τοσαῦτα προτεθεαμένας Μαρίας ἄρτι πρῶτον ἀρώματα φέρειν, ὡς μήπω τὴν ἀνάστασιν προμεμαθηκυίας. Σαφῶς γὰρ δι' ὧν φησι δείκνυσι ὅτι καὶ οἱ ὀφθέντες, ἕτεροι παρὰ τοὺς ἔμπροσθεν δεδηλωμένους· καὶ ὁ τόπος ἔνθα ὤφθησαν ἕτερος· οὔτε γὰρ εἴσω τοῦ μνήματος ἦσαν, ὡς ὁ Ἰωάννης ἐδίδαξεν, οὔτε ἐπὶ τὸν λίθον καθεζόμενοι, ὡς ὁ παρὰ τῷ Ματθαίῳ ἄγγελος· ἀλλ' οὐδὲ ὅλως ὠνόμασεν ἀγγέλους ὁ Λουκᾶς, δύο δὲ ἄνδρας, πλὴν ἀλλὰ καὶ αὐτοὺς ἐν ἐσθῆτι ἀστραπτούσῃ, διὰ τὰ τῆς ἑορτῆς σύμβολα· καὶ οἱ λόγοι δὲ αὐτῶν οἱ πρὸς τὰς γυναῖκας ἰδιάζουσι· καὶ αἱ γυναῖκες δὲ πλείους ἦσαν, ἀλλ' οὐχ ἡ παρὰ τῷ Ματθαίῳ δύο Μαρίαι, ἀλλ' ἁπαξαπλῶς αἱ συνελθοῦσαι αὐτῷ ἐκ τῆς Γαλιλαίας· ὀλίγωροι δὲ καὶ αὗται, οὐδὲ τοσαύτην ἐνδειξάμεναι σπουδὴν ὅσην αἱ διὰ νυκτὸς καρτερήσασαι καὶ παραμείνασαι τῷ μνημείῳ. Μαρτυρεῖ γοῦν ὁ Ματθαῖος τῇ Μαγδαληνῇ καὶ τῇ ἄλλῃ Μαρίᾳ εὐτονίαν πολλὴν καὶ παραμονήν, λέγων μετὰ τὸ πάθος αὐτοῦ ταῦτα· «Ἦν δὲ ἐκεῖ Μαρία ἡ Μαγδαληνὴ καὶ ἄλλη Μαρία, καθήμεναι ἀπέναντι τοῦ τάφου·[1]» ἀλλ' αὗται μὲν τῇ ἡμέρᾳ τῆς Παρασκευῆς παρεκάθηντο ἀντικρὺ τοῦ μνήματος· διὸ καὶ θᾶττον ὁρῶσι πρῶτον μὲν τὸν τῶν ἀγαθῶν ἄγγελον, εἶτα καὶ αὐτὸν τὸν τῆς ζωῆς ἀρχηγόν. Ἡ δὲ παρὰ τῷ Ἰωάννῃ, καὶ αὕτη τὸ μὲν πρῶτον τοὺς ἀγγέλους, μετὰ δὲ τούτους καὶ αὐτὸν τὸν Σωτῆρα θεωρεῖ· οὐ μὴν ἀρώματα ἔφερον αὗται, οὐδὲ περὶ ταύτην κατεγίνοντο τὴν σπουδήν. Αἱ δὲ ἀπὸ τῆς Γαλιλαίας ἀκολουθήσασαι αὐτῷ γυναῖκες, πολλαὶ οὖσαι κατὰ τὸν Λουκᾶν, τῇ μὲν Παρασκευῇ ὑποστρέψασαι, ἡτοίμασαν τὰ ἀρώματα, ἅτε δὴ μηδὲν μηδέπω προμαθοῦσαι περὶ τῆς ἀναστάσεως. Διὸ ταύταις μὲν δύο ἄνδρες ἐσθῆτι ἀστραπτούσῃ φαίνονται καὶ τὴν ἀνάστασιν εὐαγγελίζονται. Οὐκέτι δὲ αὐταῖς ὁ Σωτὴρ ὤφθη, ὥσπερ οὖν τῇ παρὰ τῷ Ἰωάννῃ καὶ ταῖς παρὰ τῷ Ματθαίῳ· ὥστε ἰδιάζουσαν ἡγεῖσθαι προσήκει τὴν ἱστορίαν. Κατὰ δὲ τὸν Μάρκον λίαν πρωῒ τῇ μιᾷ τῶν Σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον ἀνατείλαντος τοῦ ἡλίου ἄλλαι πάλιν αὗται, καὶ ἐν ἑτέρῳ καιρῷ πάλιν, αἳ καὶ ἔλεγον πρὸς ἑαυτάς, «Τίς ἀποκυλίσει ἡμῖν τὸν

1. Ματθ. 27, 61.

λίθον;[1]» καὶ ἔρχονται, καὶ εὑρίσκουσιν ἀποκεκυλισμένον, καὶ εἰσελθοῦσαι εἶδον νεανίσκον· ἔνθα πάλιν ἐπὶ τοῦ Λουκᾶ ἄνδρες ἀλλ' οὐκ ἄγγελοι, οὕτω ὡς καὶ νῦν οὐκ ἄγγελος ὠνόμασται, ἀλλὰ νεανίσκος· ὥστε καὶ ταύτην ἀφωρισμένην εἶναι τὴν διήγησιν, καὶ τὸν ὀφθέντα ἕτερον, καὶ τὰς ἀφικομένας ἄλλας, καὶ τὸν καιρὸν ὁμοίως τὸν μετὰ ἡλίου ἀνατολάς· ὃς εἰ μὲν καὶ παρὰ τῷ Λουκᾷ τετήρητο, εὐλόγως ἄν τις τοὺς παρ' αὐτῷ δύο ἄνδρας ἀπήτει, καὶ τοὺς αὐτοὺς λόγους. Εἰ δ' ὁ Λουκᾶς τὸν πρὸ ἡλίου ἀνατολῆς καιρὸν προὔλαβεν, εἰκότως καὶ τοὺς τότε ὀφθέντας δύο ἄνδρας, ἀλλ' οὐ τὸν νεανίσκον ἱστορεῖ.

Ζ'.

Τεττάρων δὲ ὄντων τῶν εὐαγγελιστῶν, ἰσάριθμοι τούτων καὶ αἱ πρὸς αὐτῶν ἀναγραφεῖσαι φαίνονται ὀπτασίαι· οἵ τε καιροὶ τέσσαρες, καὶ οἱ καθ' ἕκαστον καιρὸν ὀφθέντες, ἰδιάζοντες· ὁμοίως δὲ καὶ αἱ θεώμεναι, διάφοροι· καὶ οἱ τῶν ὀφθέντων αὐτοῖς λόγοι, διαλλάττοντες. Πρῶτος μὲν γὰρ ἦν καιρὸς ὁ παρὰ τῷ Ματθαίῳ ὀψὲ Σαββάτων λεγόμενος· τέταρτος δὲ καὶ τελευταῖος ὁ παρὰ τῷ Μάρκῳ ἡλίου ἀνατείλαντος ἱστορηθείς· μέσοι δὲ ὅ τε παρὰ τῷ Ἰωάννῃ καὶ ὁ παρὰ τῷ Λουκᾷ· διὸ καὶ οἱ ὀφθέντες κατὰ καιρὸν ἰδιάζοντες. Ὀψὲ μὲν γὰρ Σαββάτων ἄγγελος εἷς ἐκ τοῦ μνήματος· μεθ' ὃν καὶ αὐτὸς ὁ Σωτήρ· πρωῒ δὲ ἔτι σκοτίας οὔσης, εἴσω τοῦ μνήματος ἄγγελοι δύο· μεθ' οὓς πάλιν ὁ αὐτὸς Σωτήρ. Ὄρθρου δὲ βαθέος ἕτεροι κατὰ τὸν Λουκᾶν δύο ἄνδρες ὠνομασμένοι οὐκ εἴσω τοῦ μνήματος ὀφθέντες. Εἶθ' ὕστερον ἁπάντων ὁ νεανίσκος, ὁ ταῖς ἡλίου ἀνατείλαντος ἀφικομέναις τεθεαμένος. Εἰ μὲν οὖν ἕνα καιρὸν εἰρηκότες οἱ πάντες καὶ τὸν αὐτὸν ἀναγράψαντες τόπον, οὐ τὰς αὐτὰς ἐπιφανείας ἐδήλουν, κἂν εὐλόγως ἄν τις ἐμέμψατο. Εἰ δ' ἀφώρισαν τοὺς χρόνους, ἔνειμάν τε καθ' ἕκαστον χρόνον καὶ τόπον ἰδιάζοντα, ἀκολούθως δὲ διαφόρους καὶ τὰς ὀπτασίας ἀνέγραψαν. Ὡς εἴπερ ἦσαν μιᾶς μὲν οἱ πάντες ἐπιφανείας μνημονεύσαντες, καὶ ἕνα φάντες ἄγγελον ὦφθαι ἢ δύο συμφώνως ἀγγέλους εἰρηκότες, ἢ αὖ πάλιν δύο ἄνδρας ἢ νεανίσκον ἕνα· εἶτα τοὺς καιροὺς διήλλαττον, ἢ μὴ τοὺς αὐτοὺς ἐδήλουν τόπους, ἦν ἂν καὶ οὕτω μέμψασθαι. Νῦν δ' ὁ λόγος ἀκριβὴς μένει καὶ ἀδιάβλητος ἐπὶ καιροῖς διαφόροις καὶ τόποις ἐναλλαττούσας τὰς ὀπτασίας εἰσάγων, καὶ τὰς τούτων θεωροὺς πάλιν διαφόρους, ἑτέρας μὲν τὰς δύο πρώτας, παρὰ τὴν δευτέραν· καὶ τὰς τρίτας δὲ ὡσαύτως ἑτέρας τῶν τετάρτων. Αὐτίκα δ' οὖν μετὰ τὴν τοῦ νεανίσκου πρὸς τὰς τελευταίας γυναῖκας ὁμιλίαν, ὧν τὰ ὀνόματα οὐκ ἐμφέρονται, ἐπιλέγει ὁ Μάρκος· «Καὶ ἀκούσασαι ἔφυγον, καὶ οὐδενὶ οὐδὲν εἶπον, ἐφοβοῦντο γάρ·[2]» αὗται μὲν οὖν τοιαῦται καὶ ἔμφοβοι καὶ λίαν δειλαί, ὡς μηδὲ πεισθῆναι τῷ νεανίσκῳ φάντι πρὸς αὐτάς· «Ὑπάγετε καὶ εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ

1. Μάρκ. 16, 3. 2. Μάρκ. 16, 8.

Πέτρῳ, Ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν·[1]» τούτων γὰρ ἀκούσασαι τῶ λόγων, τοὐναντίον διεπράξαντο· αἱ δὲ παρὰ τῷ Λουκᾷ ἀποστρέψασαι ἀπὸ τοῦ μνήματος ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα. Ὁμοίως δὲ καὶ ἡ παρὰ τῷ Ἰωάννῃ ἔρχεται πρὸς τοὺς μαθητὰς ἀπαγγέλλουσα ἃ ἑώρακε. Μόναι δὲ αἱ παρὰ τῷ Μάρκῳ πασῶν ὕσταται ἐλθοῦσαι, καὶ ἀληθῶς ὀψισθεῖσαι, ὡς μετὰ ἀνατολὴν ἡλίου ἐπιστῆναι, οὔτε τὸν Σωτῆρα θεάσασθαι καταξιοῦνται, οὔτε τὸν ἄγγελον τὸν ἐξαστράπτοντα, οὔτε τοὺς δύο τοὺς εἴσω τοῦ μνήματος, οὔτε τοὺς δύο τοὺς παρὰ τῷ Λουκᾷ ἄνδρας· ψιλὸν δέ τινα νεανίσκον εἶδον περιβεβλημένον στολὴν λευκήν, ἀναλόγως τῇ τῆς διανοίας αὐτῶν σμικρότητι τὴν ὀπτασίαν ἰδοῦσαι· καὶ τοῦτον δὲ λευχείμονα τῆς ἑορτῆς χάριν θεασάμεναι, ὅμως ἐθαυμάσθησαν· τοῦτο γὰρ ἐμαρτύρησεν αὐταῖς ὁ Μάρκος· καίτοιγε ἐπὶ τῶν προτέρων μηδαμοῦ τοῦ θάμβους ὠνομασμένου. Τὴν Μαγδαληνὴν δὲ σχολάζουσαν καὶ προσκαρτεροῦσαν, εἰκὸς οὐ μόνον τὰς πρώτας ὄψεις τεθεᾶσθαι τῶν αὐτῇ μόνῃ ὀφθέντων, ἀλλὰ καὶ τὸν παρὰ τῷ Μάρκῳ ταῖς λοιπαῖς γυναιξὶν ἑωραμένον νεανίσκον. Ταὐτὸν δ' ἂν εἴποις καὶ ἐπὶ τῆς κατὰ τὸν Λουκᾶν ἱστορίας, ὃς μετὰ τὴν ἄφιξιν τῶν πολλῶν γυναικῶν, καὶ μετὰ τὴν θέαν τῶν ὀφθέντων αὐταῖς δύο ἀνδρῶν διηγεῖται λέγων· «Καὶ ἀποστρέψασαι ἀπὸ τοῦ μνημείου ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα·» οἷς ἐπιφέρει, «Ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία[2]», καὶ τὰ ἑξῆς. Οὐκ ἀπεικὸς μὲν γὰρ ἦν, καὶ νῦν πάλιν τὴν Μαγδαληνὴν πάλαι προαφιγμένην καὶ παραμείνασαν εὐτόνως παρὰ τῷ μνήματι εὑρῆσθαι, ὅτε πολλαὶ ἀπὸ τῆς Γαλιλαίας συνελθοῦσαι γυναῖκες ἀπήντων ἐπὶ τὸν τάφον φέρουσαι τὰ ἀρώματα, ὥστε καὶ αὐτὴν ἅμα ταῖς λοιπαῖς τοὺς δύο ἄνδρας τεθεᾶσθαι, καὶ τῶν λόγων αὐτῶν ἀκηκοέναι· εἶτα σὺν ταῖς πολλαῖς ἐπανελθεῖν καὶ διηγεῖσθαι τοῖς ἕνδεκα. Δύναται δὲ καὶ ἄλλως ὁ λόγος, τὰ μὲν πρῶτα ταῖς ἀπὸ τῆς Γαλιλαίας γυναιξὶν ἀπονεῖμαι, λέγω δὴ τὴν εἰς τὸ μνῆμα ἄφιξιν, καὶ τὴν τῶν ἀρωμάτων κομιδήν, τήν τε γενομένην αὐταῖς τῶν δύο ἀνδρῶν ἐπιφάνειαν, καὶ τοὺς τούτων πρὸς αὐτὰς λόγους· τὴν μὲν οὖν ἀπαγγελίαν τὴν πρὸς τοὺς ἕνδεκα μηκέτι παρ' αὐτῶν μόνον γεγενῆσθαι, ἀλλ ὁμοῦ παρὰ πασῶν, ἑκάστης ἃ τεθέατο διηγημένης· ἐν αἷς πάλιν τὴν Μαγδαληνὴν εἶναι μετὰ τῶν λοιπῶν καὶ αὐτὴν τοῖς μαθηταῖς ἀπαγγέλλουσαν τὰ ἰδίως μόνῃ αὐτῇ ἑωραμένα.

Η'.

Ἐγὼ δὲ κἀκεῖνο ζητῶ, πῶς παρὰ μὲν τῷ Μάρκῳ εἴρηται, ὡς ἄρα διαγενομένου τοῦ Σαββάτου ἡτοίμασαν ἀρώματα, παρὰ δὲ τῷ Λουκᾷ πρὸ τοῦ Σαββάτου τοῦτ' ἔπραξαν ἐν αὐτῇ τῇ Παρασκευῇ.

Καὶ τοῦτο δὲ τοῖς προτέροις συμπεπλεγμένον ζητήμασι, τῆς ὁμοίας ἐκείνοις τύχοι ἂν ἑρμηνείας· ἀποδεικνύντων δὲ ἡμῶν μὴ εἶναι τὰς αὐτάς,

1. Μάρκ. 16, 7. 2. Λουκ. 24, 9 ἑξ.

ἀλλ' ἑτέρας μὲν τὰς πρὸ τοῦ Σαββάτου ἐν αὐτῇ τῇ Παρασκευῇ, καθ' ἣν πέπονθεν ὁ Σωτήρ, περὶ τὴν κηδείαν ἀσχοληθείσας, ἑτέρας δὲ τὰς μετὰ τὸ Σάββατον· σαφῶς γὰρ ταύτας Λουκᾶς μεμαρτύρηκε κατ' αὐτὴν τὴν ἡμέραν τοῦ πάθους ταῦτα πεποιηκέναι, οὐδαμῶς ὀνόματος γυναικῶν μνημονεύσας, ἀλλ ἁπλῶς γυναῖκας εἰπὼν τὰς συνελθούσας αὐτῷ ἀπὸ τῆς Γαλιλαίας· ὁ δὲ Μάρκος ὀνομαστὶ τρεῖς μόνας ἀνέγραψε καθ ἑαυτὰς πρόνοιαν πεποιημένας τῶν ἀρωμάτων, οὐ τῇ Παρασκευῇ, ἀλλὰ μετὰ διαγενέσθαι τὸ Σάββατον· ἑτέρας δὲ εἶναι ταύτας παρὰ τὰς παρὰ τῷ Λουκᾷ, καὶ τὰ ἑξῆς ἐπαγόμενα δείκνυσιν. Αὗται μὲν οὖν γυναῖκες παρὰ τῷ Μάρκῳ τὸν νεανίσκον ὁρῶσι καθήμενον ἐν τοῖς δεξιοῖς, ὃς καί φησιν αὐταῖς· «Μὴ φοβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνόν· ἠγέρθη, οὐκ ἔστιν ὧδε.[1]» Ταῖς δὲ παρὰ τῷ Λουκᾷ δύο ἄνδρες ἐπέστησαν ἐν ἐσθῆτι ἀστραπτούσῃ, καὶ ἑτέρας προφέρονται φωνὰς λέγοντες· «Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν;[2]» καὶ τὰ ἑξῆς· καὶ αἱ μὲν παρὰ τῷ Μάρκῳ ἀκούσασαι τοῖς μαθηταῖς ἐπαγγεῖλαι τὰ παρηγγελμένα· οὐδενὶ οὐδὲν εἶπον· αἱ δὲ παρὰ τῷ Λουκᾷ πορευθεῖσαι ἀπήγγειλαν τοῖς ἕνδεκα· ὡς διὰ τούτων ἁπάντων συνάγεσθαι, μὴ τὰς αὐτὰς εἶναι· διὸ μηδὲ ὑφ' ἕνα καιρὸν πεποιηκέναι τὰ ἀναγεγραμμένα.

Θ'.

«Ταῦτα δὲ αὐτῶν λαλούντων αὐτὸς ὁ Ἰησοῦς ἔστη ἐν μέσῳ αὐτῶν, καὶ λέγει αὐτοῖς. Εἰρήνη ὑμῖν.» Ἐνταῦθά τις ἀπορήσειε πῶς τοῖς ἕνδεκα μαθηταῖς ὁμοῦ συνηγμένοις μετὰ τὴν ἀνάστασιν ἐπιστὰς ὁ Κύριος κατὰ τὸν Λουκᾶν καὶ κατὰ Ἰωάννην συμφώνως ταῦτα ἀπομνημονεύσαντας, οὐκέτι παρ' ἀμφοτέροις ταὐτὰ πράττων οὐδὲ φάσκων ἀναγέγραπται.

Ὅτι τὴν αὐτὴν ὀπτασίαν οἱ δύο συνέγραψαν εὐαγγελισταὶ κατὰ μίαν καὶ τὴν αὐτὴν ὥραν τε καὶ ἡμέραν γενομένην, παραστῆσαι δεῖ πρότερον· τοῦτο δ' ἂν γένοιτο φανερὸν ἐπιτηρήσαντί σοι ἀκριβῶς τὴν Γραφήν. Ὁ μὲν γὰρ Ἰωάννης προειπών, «Τῇ δὲ μιᾷ τῶν Σαββάτων ἔρχεται Μαρία ἡ Μαγδαληνὴ ἀπαγγέλλουσα τοῖς μαθηταῖς ὅτι ἑώρακε τὸν Κύριον καὶ ταῦτα εἶπεν αὐτῇ[3]», ἑξῆς ἐπισυνάπτει λέγων· «Οὔσης ὀψίας ἐν ἐκείνῃ τῇ ἡμέρᾳ συνηγμένων τῶν μαθητῶν, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον καὶ εἶπεν, Εἰρήνη ὑμῖν.[4]» Ὥστ' εἶναι σαφὲς ἐκ τούτων ὅτι κατ' αὐτὴν τὴν Κυριακὴν ἡμέραν τῆς ἀναστάσεως ὀψίας ἦν πεπραγμένα τὰ παρὰ τῷ Ἰωάννῃ· καὶ κατὰ τὸν Λουκᾶν ἡ αὐτὴ ἡμέρα καὶ ὥρα εὑρεθήσεται· λέγει γοῦν καὶ αὐτός· «Τῇ δὲ μιᾷ τῶν Σαββάτων ὄρθρου βαθέος, ἐπὶ τὸ μνῆμα ἦλθον αἱ γυναῖκες.[5]» Εἶθ' ἑξῆς, ὅτι ἰδοῦσαι ἀγγέλους, ἐπανῆλθον καὶ ἀπήγγειλαν τοῖς μαθηταῖς

---

1. Μάρκ. 16, 6. 2. Λουκ. 24, 5. 3. Ἰω. 20, 1 ἑξ. 4. Ἰω. 20, 19. 5. Λουκ. 24, 1.

